DR. RUDOLF HABELT

Digitized by the Internet Archive
in 2026 with funding from
Graduate Theological Union

https://archive.org/details/eusevioutoupamph02euse

ΕΥΣΕΒΙΟΥ ΤΟΥ ΠΑΜΦΙΛΟΥ

ΕΥΑΓΓΕΛΙΚΗΣ ΠΡΟΠΑΡΑΣΚΕΥΗΣ

ΛΟΓΟΙ ΙΕ.

EUSEBII PAMPHILI

EVANGELICÆ PRÆPARATIONIS

LIBRI XV.

AD CODICES MANUSCRIPTOS

RECENSUIT

THOMAS GAISFORD, S.T.P.

ÆDIS CHRISTI DECANUS

NECNON

LINGUÆ GRÆCÆ PROFESSOR REGIUS.

GRADUATE THEOLOGICAL UNION
LIBRARY
1962

ACCEDUNT

FRANC. VIGERI VERSIO LATINA ET NOTÆ,

ET

L. C. VALCKENÆRII DIATRIBE DE ARISTOBULO.

TOMUS II.

CHURCH DIVINITY SCHOOL
of the
PACIFIC
LIBRARY

OXONII,

E TYPOGRAPHEO ACADEMICO.

M.DCCC.XLIII.

Property of
CBDP
Please return to
Graduate Theological
Union Library

BR
65
E75
D38
1843
v.2

GMB
E91
NP
v.2

ΕΥΣΕΒΙΟΥ ΤΟΥ ΠΑΜΦΙΛΟΥ

ΠΡΟΠΑΡΑΣΚΕΥΗΣ ΕΥΑΓΓΕΛΙΚΗΣ

ΒΙΒΛΙΟΝ ϛʹ.

ΠΡΟΟΙΜΙΟΝ.

ΤΟΥ *περὶ τῶν χρηστηρίων τρόπου διὰ τῶν προδιη-* p. 236
νυσμένων αὐτάρκως ἡμῖν ἀπεληλεγμένου, καὶ τῆς θείας
δυνάμεως τοῦ Σωτῆρος ἡμῶν διὰ τῆς εὐαγγελικῆς αὐτοῦ
διδασκαλίας τὸ θεοπρεπὲς ἅμα καὶ βιωφελὲς ἐπιδεδει-
γμένης, ὅτι δὴ διὰ μόνης αὐτῆς, καὶ οὐ δι' ἄλλης, τῶν ἐξ b
αἰῶνος τὸν πάντα βίον ἐπισκοτισάντων τε καὶ λυμηνα-
μένων δαιμονικῶν φαντασμάτων ἐλευθερία πᾶσιν ὑπῆρ-

p. 236. 4. *τρόπου*] *τόπου* I. 6. *ἀπεληλεγμένου*] *ἀπεληλαγμένου* B. 7. *δυνάμεως*] *ἀρετῆς καὶ δυνάμεως* E.S.I. 9. *καὶ βιωφελὲς*] *καὶ ωφελὲς* C. 10. *ὅτι*] *ὅτι δὴ* B.C. *ὅτι δὲ* E.I. b. *τὸν πάντα—τε καὶ* om. B.C.D. 3. *φαντασμάτων*] *γρ. φασμάτων* S.V. Vigeri marg. *τὸν ἡμέτερον βίον* addit D. Steph. sed om. I. Vig. 4. *ὑπῆρχεν*] *ὑπῆρξεν* E.

EUSEBII PAMPHILI

PRÆPARATIONIS EVANGELICÆ

LIBER SEXTUS.

PROŒMIUM.

Oraculorum rationem uti superioribus libris abunde confutavimus, ita divinæ Servatoris nostri potestatis, quæ doctrina ipsius evangelica sese prodit, et dignam Deo majestatem, et fructum in hominum vitam ab ea profectum satis superque probavimus: cum ejus unius, non alterius cujuscunque vi, humanum genus ab ea fuerit, qua dæmonum præstigiæ universam ex omni memoria vitam oppresserant, caligine pesteque liberatum. Nunc ergo expendendis iis præ-

40111

χεν ἀνθρώποις· φέρε καὶ ἀπὸ τῶν περὶ εἱμαρμένης ψευ-
δοδοξουμένων αὐτοῖς τὸν περὶ τῶν αὐτῶν ἀπευθύνωμεν
λόγον, ὡς ἂν μὴ διὰ μόνης τῆς τοῦ τρόπου μοχθηρίας,
ἀλλὰ καὶ διὰ τῶν οὐκ ὀρθῶς οὐδὲ ἀληθῶς αὐτοῖς δοξα-
ζομένων, φαῦλοι καὶ ἀδρανεῖς ὄντες οἱ τὰ χρηστήρια
2 κινεῖν νενομισμένοι δαίμονες δειχθεῖεν. Σκέψαι δ' οὖν, c
εἰ μὴ καί σοι θείας ἀλλότριος ὢν δυνάμεως ὁ περὶ αὐτῶν
ὑποπεσεῖται λόγος, ἔκ τε ὧν παραθήσομαι ἀνατρεπτι-
κῶν τοῦ περὶ [αὐτῶν] εἱμαρμένης, καὶ αὐτόθεν ἐκ τοῦ
3 τρόπου, καθ' ὃν τὰς μαντείας ποιεῖσθαι λέγονται. Οὐ
γὰρ δὴ δυνάμει κρείττονι τὴν τῶν μελλόντων γνῶσιν
προειληφέναι φασὶν αὐτούς, ἐκ θεωρίας δὲ τῆς τῶν
ἄστρων κινήσεως ὁμοίως ἀνθρώποις τὰ μέλλοντα κατα-
στοχάζεσθαι. Οὕτως οὐδὲν δύνασθαι, οὔτ' ὠφελεῖν,
οὔτε τοι τὸ παράπαν ἐνεργεῖν αὐτούς, εἰ μὴ τὰ καθ'
εἱμαρμένην, φασί. Τούτων δὲ ἔλεγχος αὐτὸς ἐκεῖνος ὁ

b 6. τῶν] τῆς B. om. C. Tum ἀπευθύνομεν B. c. δειχθεῖεν] ἀποδειχθεῖεν E.I. 2. ἀλλοτρίας ὑποπεσεῖται δυνάμεως ὁ περὶ αὐτῶν λόγος B.C. σὺ pro σοι D. καὶ μὴ σοὶ I. 4. ἀνατρεπτικῶν] ἀνατρεπικῶν B. 5. περὶ αὐτῶν] αὐτῶν om. B.C.D.I. 9. κινήσεως ὁμοίως] ὁμ. κιν. B. 10. καταστοχάζεσθαι] στοχάζεσθαι C.D.G. 12. τοι] τι B.C.G.I. 13. εἱμαρμένην] ἡμαρμένα B. εἱμαρμένα I.

terea, quæ falso ab istis de fato constituta sancitaque sunt, affectam hisce de rebus disputationem recta certoque prosequamur: ut non ejus modo rationis, quam in vaticinando tenuerunt, improbitate, sed eorum etiam quæ ab illis decreta sunt pravitate ac vanitate, quam impotentes et imbecilli dæmones ii fuerint ostendamus, quorum motu
2 impulsuque regi oracula putabantur. Vide porro tu mihi, num ejusmodi quoque tibi accidat tota hæc de illis disputatio, ut eam ab omni similiter divina virtute vacuam haberi putes oportere, cum ex iis quæ ad convellenda de eorum fato placita subjiciam, tum ex ipsomet ritu quem ab iisdem suis in divinationibus adhiberi servarique ferunt.
3 Nec enim (ut ipsimet fatentur) ex vi quadam superiore futuri præsensiones ducunt hauriuntque suas; sed tantum de eo, perinde uti homines solent, observando astrorum motu conjiciunt. Ita nihil ipsi posse dicuntur, juvare nihil, nihil omnino, nisi quod fati necessitate teneatur, efficere. Ac reprehensionis hujus auctor ille ipse nobis

τῶν δαιμόνων προήγορος, ἐν οἷς ἐπέγραψε Περὶ τῆς ἐκ d
λογίων φιλοσοφίας ὧδε λέγων πρὸς λέξιν·

1 Ἃ γὰρ λέγουσιν οἱ θεοί, εἴπερ τὰ μεμοιραμένα γινώ- ΠΟΡΦΥΡΙΟΥ
[139] σκοντες λέγουσιν, ἀπὸ τῆς τῶν ἄστρων φορᾶς δηλοῦσιν, καὶ p. 237
τοῦτο σχεδὸν πάντες ἐξέφηναν οἱ ἀψευδεῖς τῶν θεῶν.

2 Εἶθ' ἑξῆς ὑποβάς φησιν,

Ἐρωτηθεὶς ὁ Ἀπόλλων τί τέξεται ἡ γυνή, ἐκ τῶν ἄστρων εἶπεν ὅτι θῆλυ, ἐκ τοῦ σπορίμου ἐπιγνοὺς χρόνου. Λέγει δ' οὕτως·

Ἐκφύεται γαίηθεν ὁδῶν, ὅθι λείμακες ὄμβρου
διψοσύνῃ κατέμαρψεν ὅλον πόμα μητέρος αὐτῆς,
ἔνδον ὀρινομένης χρόνον ἄρκιον· οὔ τι δὲ κοῦρον, b
ἀλλὰ κόρην· Φοίβη γὰρ εὔσκοπος ἤροσεν ἁγνὴν
Κύπριν, ἐπειγομένην θῆλυν γόνον, ὦ φίλε, σεῖο.

3 Ἰδοὺ καὶ ἀπὸ τοῦ σπορίμου, ὅτι σελήνη ἐπὶ Ἀφροδίτην ἐφέρετο, εἶπεν ὅτι θῆλυ γεννηθήσεται. Καὶ μὴν καὶ τὰς νόσους ἐκεῖθεν προλέγουσιν. Ἐπάκουσον γάρ,

d 8. ὅτι καὶ ἃ δοκοῦσι καὶ] ἃ γὰρ B.C.D.G. 9. εἴπερ] ὁ περὶ C.G. Tum μεμοιρασμένα B.C.G.

p. 237. 7. ἐκφύεται] ἐκφαίνεται D. qui mox ὀθηλείμακες. Mox ἴσ. διψοσύνῃ κατέμαρψαν Vigeri margo. b 3. κόρην] κούρην B.D. ἀλλὰ κόρην om. C. 8. ὅτι] σοι C.G.

dæmonum vindex et defensor esto. Is enim, in eo quod De Oraculorum Philosophia inscripsit opere, sic ad verbum loquitur.

1 Jam vero, inquit ille, quæcunque statuunt prænuntiantque dii, si quando forte quæ vi fatorum eventura noverint, pronuntient, eadem ab illis ex astrorum motu et conversione prædici, nemo fere deorum, quibus veritas placet, aperte non fatetur.

2 Deinde pergit:

Consultus Apollo, cujusmodi partum enixura mulier esset; fœminam, inquit; id enim cognito satus conceptusque tempore, ex astrorum situ et ratione intellexerat. Ergo hunc in modum cecinit,

Nascitur ex terra, pluviæ qua sicca liquentis
Prata siti, potum genitricis funditus omnem
Exugunt: justo interea cui tempore venter
Succutitur. Sed fœmineus, non masculus olli
Fœtus erit: castam observans nam Cyprida Phœbe
Tum subiit, quæ fœmineam tibi semine prolem
Urgebat.

3 En, ut ex conceptus tempore, quod luna cum Venere concurreret, fœminam natum iri conjecerit. Atqui morbos etiam eadem ratione prænuntiant. Audi enim,

ΠΟΡΦΥΡΙΟΥ

Ἦ μάλα μιν κακὸς ἰὸς ἐνὶ στέρνοισι δαμάζοι, c
πνεύμονος ἀλγινόεσσαν ὑπερβλύζων κακότητα.

4 Καὶ ἑξῆς, οἷς ἐπιλέγει·

Ταῦτα δὲ Μοιράων νόος ἤγαγεν, ἠδὲ κελαινὴν
εἰς ἔριν ἐστήριξε, κακηπελίῃσι δαμάζειν,
ὑψιπόλοιο Κρόνοιο κακὴν ὑπ᾽ ἀταρπὸν ἰόντος.

5 Καὶ μεθ᾽ ἕτερα,

Ἀλλά σε μόρσιμον ἦμαρ ἀναπλῆσαι βιότοιο d
ἀλγινόεις βροτολοιγὸς ἐπισπέρχων Κρόνῳ ἄντα
ψεύσατο, σῆς δὲ θέμειλον ἀπὸ φρενὸς ἠΐστωσε·
τοὔνεκα καὶ πατέρος θεοειδέος ἱερὸν ἦτορ
φευγέμεναι κακοεργὸν ἐπηπείλησεν Ἄρηα.

6 Ταῦτα μὲν ὅτι οὐδὲ ἐκ θείας αὐτῶν δυνάμεως μαντεύονται, ἀλλ᾽ ἐξ ἄστρων ἐπιτηρήσεως κατὰ τοὺς μαθηματικῶν λόγους, ὡς μηδὲν ἐν τούτῳ διαφέρειν ἀνθρώπων, μηδέ τι κρεῖττον καὶ φύσεως θειοτέρας ἔργον ἐπιδεικνυ-

c. ἐνὶ στ.—ἄρηα om. B. ἐνστέρνοισι I. δαμάζοι] δαμάζει C.G.I. δαμάζοιο D. 3. πνεύμονος] πλεύμονος I. ἀλγυνόεσσαν] ἀλγεινόεσσαν D.I. Vigeri margo. 5. οἷς ἐπιλέγει om. C.G. τὰ ἑξῆς I. 6. κελαινὴν] κελαινὰ C.G. 8. κακοῖς πελίοισι] κακὴ πελήισι C. κακῇ πελήισι D. κακοπελίοισι E.I. κακηπλήισι G. κακηπελίῃσι Toupius. 10. ἀταρπὸν] ἀτραπὸν C.G. 12. ἕτερα] ἕτερα πάλιν φησὶν ἐν ἑτέρῳ E.I.V. d 3. ἀλγυνόεις] ἀλγεινόεις C.G. 5. ψεύσατο] ἴσ. σπεύσατο Vigeri margo. 10. δυνάμεως ἑαυτῶν] αὐτῶν δυνάμεως B.C.G. αὐτῶν D. ἑαυτῶν δυν. I. 11. ἐξ] ἐκ τῆς τῶν C.G. 12. μαθηματικῶν] μαθηματικοὺς B. τῶν μαθ. E.I. 14. κρείττων D.

Hunc perimet serpens media in præcordia pestis,
Unde ægro fœdi exundant pulmone dolores.

4 Et quæ sequuntur. Subditque deinceps,

Hunc morbum tibi fata creant: his certa voluntas
Atque immota manet, liventi absumere tabe,
Pestiferum nam stella subit Saturnia callem.

5 Et quibusdam interjectis,

Saturni at properans tristi Mars obvius astro,
Mars hominum pestis, vitalem abrumpere lucem
Cogit, et emotæ vertit fundamina mentis.
Divini te propterea mens sacra parentis
Jusserat infesto vitam subducere Marti.

6 Ex his profecto intelligis, eos non vi quadam sua eaque divina, sed astrorum observatione mathematicorum ad leges et præceptiones exacta, vaticinari solitos fuisse; nihil ut prorsus hoc in genere deos inter et homines interesset, nullumque ipsi vel superius, vel naturæ
7 divinioris proprium opus exererent. Vide nunc, quemadmodum id

σθαι. Θέα δ' ὡς καὶ τὸ ἐφ' ἡμῖν ἀναιροῦσιν, οὐ μόνον p. 238 τὰ ἐκτὸς καὶ τὰ οὐκ ἐφ' ἡμῖν τῇ τῶν ἄστρων ἀνατιθέντες φορᾷ, ἀλλὰ καὶ τὰς ἡμετέρας προαιρέσεις.

2 Οὕτως καὶ ὁ Ἀπόλλων περί τινος, ἅμα καὶ τὴν περὶ b ΠΟΡΦΥΡΙΟΥ στρατιὰν προθυμίαν ἀφηγούμενος πόθεν αὐτῷ γίνεται, ἔφη,

Ἄρεα κραιπνὸν ἔχει γενεθλήϊον, ὅς μιν ὀρίνει,
οὐδέ ἑ ταρχύσει· Ζηνὸς γὰρ ἐπέχραε βουλή,
ἥ οἱ κῦδος ἄρειον ἀπ' Ἄρεος εὐθὺς ὀρέξει.

Καὶ πάλιν ἐπ' ἄλλου,

Εὐχαίτης ἐπέκειτο Κρόνος, στυγεροῖσι δὲ κέντροις
ἄλγυνεν παιδὸς Ταλαοῦ δυσπέμφελον ἠῶ. c

Εἰς τοσοῦτον δὲ τὴν εἱμαρμένην οἱ γενναῖοι θεοὶ πεφρίκασιν, ὡς ὁμολογεῖν μηδὲ κεραυνουμένοις αὐτῶν τοῖς ἱεροῖς δύνασθαι ἐπαμύνειν. Πολλὴ ἄρα γένοιτ' ἂν ἐλπὶς ἀνθρώποις εὐχομένοις τυχεῖν βοηθείας παρὰ τῶν [140] μηδὲ σφίσιν αὐτοῖς ἐπαρήγειν δυνατῶν. Τί δὲ χρὴ λοι-

p. 238. μόνον] μόνα I. b. καὶ ὁ] καὶ om. C.G. 6. ταρχύσει] ταρχήσει C.G. 7. βουλή] βουλὴν B.C.D.G. 11. εὐχαίτης] εὐχέτης B.G. εὐχέταν C. Mox ἐπίκειται C.D.G.I. στυγεροῖσι] στυφελοῖσι C.G. c. ἄλγυνεν] ἀλγύνει B.C.G.I. δυσπέμφελον—ὁμολογεῖν om. B. δυσπάμφιλον ἑοῦ G. 2. εἶο] ἑοῦ D. αἰῶ I. γρ. αἰοῦ ἴσ. ἠῶ Vigeri marg. hoc probante Valckenærio ad Euripid. Phœn. 425. 6. ἐλπὶς om. D. 7. μηδὲ] π. τῶν μηδὲ I. ἴσ. τῶν μηδὲ Vigeri margo. 8. ἐπαρήγειν] ἐπαρρήγειν B.

etiam quod in nostra potestate arbitrioque situm est, omnino tollant, dum non res tantum externas, aut quæ nostra ex voluntate non pendent, sed libertatis quoque nostræ consiliique rationes ex astrorum conversione suspendunt.

2 Ita nimirum Apollo, qui fieret, uti tanto nescio quis ad militiam impetu et ardore raperetur, edisserens,

Mars olli natalis adest, stimulatque ruentem;
Nec premet is tumulo; Jovis est nam certa voluntas,
Martis ut eximium subito decus auferat armis.

Itemque de altero,

Cæsarie densa incubuit, stimulosque cruentos
In tristem pueri auroram Saturnus adegit.

2 Ac fatum sane præclara numina tantopere pertimescunt, ut se ne fulmen quidem suis a templis arcere posse fateantur. Proinde sperent inter precandum homines de eorum auxilio vehementer, qui ne sibi quidem ipsis opem ferre queant. Quorsum vero pietas deinceps

πὸν εὐσεβεῖν, καὶ τοὺς θεοὺς προσκυνεῖν, [καὶ σέβειν,] καὶ θεραπεύειν, μηδὲν οἵους τε καθόλου μηδὲ ἑαυτοῖς ἐπαρκεῖν; Ἄκουε δ' οὖν ἃ φησιν ὁ χρησμός· d

ΠΟΡΦΥΡΙΟΥ

3 Οὕτω καὶ ναῶν μοῖραι καὶ ἱερῶν, καὶ αὐτοῦ γε τοῦ Ἀπόλλωνος τὸ ἱερὸν μεμοίραστο κεραυνωθῆναι, ὥς φησιν,

Ὦ ζαθέης γεγαῶτες Ἐριχθονίοιο γενέθλης,
ἔτλητ' ἐλθέμεναι καὶ ἐμὴν ἐρεεινέμεν ὀμφὴν, p. 239
ὁππόθι δηωθῇ περικαλλέος ἕδρανα σηκοῦ.
Κλῦτε δαφνηρεφέων μυχάτων ἄπο θέσκελον ὀμφήν.
Εὖτ' ἂν ἄνω πνείοντες ὑπ' ἠέριοι κελάδοντες
τρίβωνται πατάγοισιν ἐναντία δηριόωντες,
κρυμὸς δ' αὖ περὶ κόσμον ἀπείρονα νήνεμος ἔσται,
μηδὲ διεξερύγησιν ἔχῃ κεκακωμένος αἰθήρ·
αἰθαλόεις περὶ γαῖαν, ὅπῃ τύχεν, ἔκπεσε πυρσός·
τὸν μὲν δὴ θῆρές τε κατ' οὔρεα δειμαίνοντες
φεύγουσιν πυμάτοις ὑπὸ κεύθεσιν, οὐδὲ μένουσιν

c 10. καὶ σέβειν om. B.C.D.G. Mox οἵους pro οἵοις ex Vigeri marg. 11. ἑαυτοῖς] αὐτοῖς C.D. d. τι] ἃ B.C.D.G. 7. μεμοίραστο] μεμοίρατο I. pen. ζαθέης] ζαθέησοις C. ζαθέης (οις superscr.) G. Tum ἐριχθόνιοι B.D.G. ἐριχθηνίοι I.

p. 239. ἐλθέμεναι] ἐνθέμεναι B.C.G. Mox ἐρεεινέμην B. 3. ὁππόθι δηωθῇ] ὁπόπτο θηωθῇ C. ὁπόπτοδι δηωθῇ G. 5. μυχάων] μυχάτων B.C.G.I. 7. ἄνω] ἄνα C. Mox ἴσ. πνείουσιν Vigeri margo. 9. δηριόωντες] δηριόοντες B. δηριήωντες C. 11. κρυμνὸς] κρυμὸς B.G. Vigeri margo. 13. μὴ δὲ—θυμῷ om. B. 19. πυμάτοις] πυμέτοις C.

colatur? Quorsum diis honor, veneratio, obsequium debeatur, qui sibi nullam prorsus in rem per se ipsos satis esse possint? Sed oraculum audi.

3 Sunt enimvero, inquit Porphyrius, sua quoque templis delubrisque fata: imo et in fatis erat, ut ipsummet Apollinis templum fulmine conflagraret. Id enim hunc in modum ille cecinit,

Oraculum de vi fulminis etiam in deorum templa.

Huc age Erichthonii soboles divina parentis,
Quæ nostram expectas quæsito in limine vocem,
Postquam eversa jacent radiantis culmina templi,
E tectis lauro specubus diam accipe sortem.
Cœleste ad flamen, dum contra obmurmurat aër,
Quassatusque minas adversaque prælia miscet:
Dum ventorum expers magno stat frigus in orbe,
Libera nec pressus spiracula repperit æther;
Ignea fax humiles cæco petit impete terras.
Hanc pavidæ summis pecudes in montibus horrent,
Inque altas subeunt foveas, nec cœlitus actam

ΠΟΡΦΥΡΙΟΥ

εἰσιδέειν ὅσσοισι καταιβάσιον Διὸς ἔγχος.
Τοῦ μὲν καὶ νηοὶ μακάρων, καὶ δένδρεα μακρὰ,
ἠλιβάτων τ' ὀρέων κορυφαὶ, νῆές τ' ἐνὶ πόντῳ, c
δάμνονται ζαπύροις πωτήμασιν ἐμπελάοντος·
καὶ δ' αὐτὴ πληγεῖσα Ποσειδάωνος ἑταίρη
πολλάκις ἠχήεσσ' ἀναχάζεται Ἀμφιτρίτη.
Ὑμεῖς οὖν καὶ ἄτλητον ἐνὶ φρεσὶν ἄλγος ἔχοντες,
τέτλατε Μοιράων ἀμετάτροπα δήνεα θυμῷ·
ταῖσι γὰρ οὐρανίδαο Διὸς κατένευσε κάρηνον, d
ὅττι κε δινήσωσι μένειν ἀσάλευτον ἀτράκτοις.
Αἶσα γὰρ ἦν δολιχοῖσι χρόνοις περικαλλέα σηκὸν
πυρσῶν αἰώραισι διϊπετέεσσι δαμῆναι.

2 Εἰ δὴ οὖν Μοιρῶν ἀτράκτοις καὶ τῶν σεβασμίων θεῶν οἱ ναοὶ, τά τε ἱερὰ αὐτῶν δώματα δάμναται ζαπύροις πωτήμασι, τίς ἂν ἔτι λείποιτο ἐλπὶς θνητοῖς ἀνθρώποις τῆς τῶν πεπρωμένων ἀποφυγῆς; Εἰ δὲ καὶ μηδεμία ἐκ p. 240 θεῶν ὑπάρχοι βοήθεια, δεῖ δὲ ἐξ ἅπαντος τετλάναι

b 21. ὅσσοισι] ὥς σοι I. c. τ' ἐνὶ] δ' ἐνὶ C.G. 3. δάμνονται] δάμναντai I. ζαπύροις] ζαπύρους C. ζωπύροις G. ζωπύροις ποτήμασιν D. ἐμπελάοντες] ἐμπελάοντος C.I. Viger. 5. ποσειδαῶνος] ποσειδάονος C. 7. ἀμφιτρίτη] ἀμφιτρίτως I. 9. ἡμεῖς D. 11. τέτλατε] τέτλαται C.G. d. κατένευσε] κατεύνασε C.G. 3. δινήσωσι] δὴ νήσωσι Scaliger. 7. πυρσῶν] πυρσὸν B. Tum αἰώρεσι B.D. αἰώρασι C. αἰωρῆσι Theodoretus p. 141, 7. διιπ.] διηπ. C. 9. ναοὶ] νηοὶ B.C.G. δώματα] δόματα B. 10. ζαπύροις] ζωπ. C. Tum πωτέμασι B.C. ζωπύροις ποτήμασι D.

p. 240. μηδεμία ἐκ θεῶν ὑπάρχοι] μηδεμιᾶς βοηθείας ἐκ θεῶν B. ὑπάρχει C.D.G.

Spectare adverso Jovis hastam lumine possunt.
Hujus templa deûm, quæque alta vertice surgunt
Robora, et excelsi prærupta cacumina montis,
Ac medio naves pelago flagrantibus alis
Afflatæ pereunt. Quin et Neptunia conjunx
Hoc concussa vagos retro flectit verbere gressus.
Vos igitur, licet immenso præcordia luctu
Confecti, Parcarum animis immobile ferte
Consilium: quibus ætherii Jovis ardua cervix
Annuit, ut certo quicquid sub pollice fusus
Voluerit, immotum maneat. Nempe hæc quoque templa
Cœlitus illapsis olim succumbere flammis
Fatum erat.

2 Si ergo prout Parcarum fusi tulerint, venerandorum quoque deorum templa, sacræque ipsorum ædes igneorum turbinum vi superantur, quænam deinceps miseris mortalibus declinandi fati spes reliqua esse possit? Quod si opis a diis præterea nihil ostendetur, sed necesse prorsus erit

Μοιράων ἀμετάτροπα δήνεα θυμῷ,

τίς ἡ περὶ τοὺς θεοὺς ματαία σπουδή; εἴποι ἄν τις.
3 Τί δὲ δεῖ λοιβῆς τε κνίσης τε, καὶ τὸ ἐκ τούτων γέρας
τοῖς μηδὲ τούτων ἀξίοις ἀπονέμειν, εἰ κατ' οὐδὲν ἡμᾶς
ὠφελεῖν δύνανται; Ἐπεὶ μηδὲ τῶν ἀγαθῶν δοτῆρας οἴε-
σθαι χρῆν αὐτοὺς, ἀλλ' ἦν καὶ τῶν ἐναντίων ὡμολόγουν
4 αἰτίαν. Εἰ γὰρ πέπρωται ἀνθρώποις εἴτε τι ἀγαθὸν, b
εἴτε τι καὶ ἐναντίον, ἔσται ἐξ ἀνάγκης καὶ παρέσται
τοῦτο καὶ βουλομένων καὶ μὴ τῶν θεῶν. Μόνην ἄρα
τὴν ἀνάγκην θεραπευτέον, σμικρὰ μᾶλλον δὲ τὸ μηθὲν
φροντίσαντας τῶν θεῶν, μήτε λυπεῖν μήτε εὐεργετεῖν
[141] 5 δυναμένων. Εἰ δὲ δὴ τῶν Μοιρῶν μόνος ὁ ἐπὶ πάντων
ἐπιστατεῖ θεὸς, καὶ μόνος καὶ τούτων ὑπάρχει κύριος,

Ταῖσι γὰρ οὐρανίδαο (φησὶ) Διὸς κατένευσε κάρηνον,
ὄττι κε δινήσωσι μένειν ἀσάλευτον ἀτράκτοις,

τί δὴ οὐχὶ πάντα ὑπερθέμενος τὸν παμβασιλέα καὶ τῆς c
εἱμαρμένης δεσπότην μόνον θεὸν εἶναι ὁμολογεῖς, καὶ

a 3. δήνεα] δίνεα B.C.G. 5. τίς ἡ] καὶ τίς ἡ I. 6. ἄν τις] τις ἂν C.G. τί δὲ δεῖ—ἀτράκτοις om. B. 7. τούτων] τούτοις D. τούτου I. 9. δύνανται] δύναται I. 10. ἦν] ἣ C. b 3. μόνην—θεῶν om. C. 4. σμικρὰ] εἰς μικρὰ D. μικρὰ G. infra φροντίσαντες D.G. 8. τούτων] καὶ τούτων C.D.E.G.I. 9. ταῖσι] τοῖσι C.G. 11. ἀτριάκτοις] ἀτράκτων I.

Æquis ferre animis Parcarum immobile fatum:

Quorsum dicat aliquis, hæc tam supervacanea deorum in cultu dili-
3 gentia? Quorsum indignis vel libatio, vel nidor, quæque rebus istis
inesse fertur præmii ratio tribuatur, si nulla nos in re juvare possint?
Quippe ne bonorum quidem auctores haberi debeant, sed illa potius
4 quam ipsorum quoque malorum caussam esse fatebantur. Nam si
fatum erit, ut quid hominibus seu boni seu mali eveniat; id necessi-
tate quadam eveniet, adeoque seu volentibus, seu invitis diis, omnino
futurum erit. Itaque una jam supersit colenda necessitas; deorum,
qui neque nocere, neque prodesse queant, vel exigua, vel nulla
5 prorsus habenda cura. Sin autem Parcis quoque præest rerum om-
nium moderator deus, isque summum unus in eas habet imperium,

His etenim (*inquit*) magni Jovis annuit ardua cervix,
Ut certo quicquid volvat sub pollice fusus,
Immotum maneat.

Quidni ergo quem tu regem universi, supra rerum omnium gradum et ordinem, ipsiusque adeo fati dominum constituis, eundem solum

μόνον ἀγαθῶν δοτῆρα καὶ σωτῆρα; ὅτι δὴ μόνῳ αὐτῷ καὶ ἃ φῂς Μοιράων ἀμετάτροπα δήνεα τρέπειν καὶ μεταλλάττειν ῥᾴδιον· ὡς μήτ' ἀνάγκῃ μήτε εἱμαρμένῃ τὸν τῷ παμβασιλεῖ θεῷ καθωσιωμένον καὶ μόνον αὐτὸν εὐσεβοῦντα δουλεύειν, οἷα δὲ ἐλεύθερον καὶ παντὸς ἀφειμένον δεσμοῦ ταῖς ἐνθέοις καὶ σωτηριώδεσιν οἰκονομίαις ἀκωλύτως ἐφέπεσθαι. Ἀλλ' ὁ μὲν ἀληθὴς d τοιαῦτα προφαίνει λόγος· ὁ δ' ἔμπαλιν ὅρα διὰ τίνων φησὶ τὰ τῆς εἱμαρμένης λύεσθαι.

4 Δεηθέντος γάρ τινος καταδέξασθαι θεὸν, εἰπὼν ὁ θεὸς, ὅτι ἀνεπιτήδειός ἐστι διὰ τὸ ὑπὸ φύσεως καταδεδέσθαι, καὶ διὰ τοῦτο ἀποτροπιασμοὺς ὑπαγορεύσας, ἐπάγει, ΠΟΡΦΥΡΙΟΥ

Ῥιπῇ δαιμονίῃ γὰρ ἅλις ἐπιδέδρομεν ἀλκῇ p. 241
σαῖσι γοναῖς, ἃς χρή σε φυγεῖν τοίαισι μαγείαις.

2 Δι' ὧν καὶ σαφῶς δεδήλωται, ὅτι ἡ μαγεία ἐν τῷ λύειν τὰ

c 3. ἀγαθῶν] ἀγαθὸν D. 5. δήνεα] δίνεα B.C.G. 8. καθωσιωμένον] καθωσιωμένων C. d. ὁ δ' ἔμπαλιν—ὁμολογεῖ om. B. 8. ὁ θεὸς ὅτι] ὅτι ὁ θεὸς C.G. 9. ὑπὸ] ἀπὸ C.G. 10. ὑποτροπιασμοὺς] γρ. ἀποτροπιασμοὺς I. Vigeri marg.
p. 241. ῥιπῇ] ῥιπῇ E. et sic leg. Viger. qui mox ἣν χρή.

quoque deum, et bonorum auctorem unum, ac servatorem esse confiteris? quippe qui solus etiam immutabilia, uti vocas, Parcarum decreta mutare possit: ut qui semel universi regi consecratus, unum eum colere cœperit, is neque necessitati deinceps, neque fato serviat, sed tanquam liber, omnique solutus vinculo, divinis tantum ac salutaribus citra ullum impedimentum legibus et institutis obsequatur. At ista quidem veræ rationis docet auctoritas. Tu vero, quibus tandem artibus idem philosophus vim illam fati solvi posse tradat, mecum intuere.

4 Nam cum forte quispiam obsecraret, sibi ut numen excipere liceret; deus, cum huic rei minus idoneum, quod naturæ vinculis constrictus teneretur, illum esse responderet, eoque certos quosdam procurationum expiationumque ritus ipsi præscriberet, ita subjunxit,

Vis divina tuo pridem magno impete victrix
Incubuit generi. Magica hanc fugere arte licebit.

2 Ex quibus manifeste profecto constat, magicam illam artem, quæ in sol-

τῆς εἱμαρμένης παρὰ θεῶν ἐδόθη εἰς τὸ ὁπωσοῦν ταύτην παρατρέπειν.

3 Ταῦτά σοι ὁ Πορφύριος, οὐκ ἐγώ. Ὁ τοίνυν μαγείαις παραινῶν λύειν τὰ τῆς εἱμαρμένης, πῶς αὐτὸς θεὸς ὢν τὰ πεπρωμένα κατὰ τοῦ ἰδίου ναοῦ κεραυνῷ πιμπραμένου μὴ ἔλυσεν; Ὁ δὲ δὴ μαγεύειν, ἀλλὰ μὴ b
φιλοσοφεῖν παρορμῶν, πῶς οὐκ ἂν εἴη δῆλος ὁποῖος ὢν τυγχάνει τὸν τρόπον; Ἐπὶ πᾶσι τούτοις καὶ ψεύδεσθαι τοὺς θεοὺς ὁ αὐτὸς ὁμολογεῖ.

5 Ἀλλ' ἤδη καὶ τὴν γνῶσιν τῆς φορᾶς τὴν ἀκριβῆ καὶ τὰς c
ΠΟΡΦΥΡΙΟΥ
ἐκ τούτων συμβάσεις ἀκατάληπτον εἶναι ἀνθρώποις, καὶ οὐ μόνον τούτοις, ἀλλὰ καί τισι τῶν δαιμονίων· ὅθεν καὶ ψεύδονται περὶ πολλῶν ἐρωτηθέντες.

2 Τούτοις αὖθις ἐπιλέγει,

Καὶ τὸ περιέχον ἀναγκάζον ψευδῆ γίνεσθαι τὰ μαντεῖα, οὐ τοὺς παρόντας ἑκόντας προστιθέναι τὸ ψεῦδος. Πολλάκις γοῦν προλέγουσιν ὅτι ψεύσονται· οἱ δὲ μένουσι, καὶ λέ-
3 γειν ἀναγκάζουσι διὰ τὴν ἀμαθίαν. Εἶπε γοῦν ὁ Ἀπόλλων

a 7. ὁπώσουν] ὁποσοῦν C. 11. ναοῦ] νηοῦ D. c 6. ἀναγκάζον] ἀναγκαῖον B. 9. γοῦν] οὖν I. 10. μένουσι] λέγουσι C.G. 11. εἶπε] εἴτε B.

venda fati necessitate versatur, ad eam utcunque declinandam hominibus divino munere concessam fuisse.

3 Atque hæc oratio, Porphyrii tota est, non mea. Sed, qui auctor homini erat uti magicis artibus fati vim legemque solveret, idem cum deus esset, quidni prohibere potuit, quo minus fatali suum ipsius templum fulmine deflagraret? Imo vero, qui ad consectanda non philosophiæ, sed magiæ studia cohortatur, ejus mores obscuri esse qui possint? Quid quod ipsos quoque deos mentiri, his verbis confitetur?

5 Sed quoniam, inquit, accuratam et exquisitam astrorum motus, ac proinde futurorum ex eo pendentium cognitionem assequi non homines modo, sed ne dæmonum quidem plerique possunt; fit ut ii persæpe multis de rebus consulti mentiantur.

2 Mox ita subdit,

Et aërem quidem circumfusum in caussa esse aiunt, quamobrem falsa edantur oracula, non autem præsentes deos sponte mendacium attexere. Sæpe itaque falsum dicturos se esse prænuntiant. Hærent isti nihilominus, atque illos, qua stultitia sunt, vel invitos respondere cogunt.

ποτὲ, τοιαύτης οὔσης τῆς καταστάσεως, ὡς ἐδείξαμεν, πονη- d ΠΟΡΦΥΡΙΟΥ
ρᾶς τοῦ περιέχοντος,

Κλεῖε βίην κάρτος τε λόγων· ψευδηγόρα λέξω.

Καὶ ὅτι ταῦτα ἀληθῆ ἐστὶν ἅπερ ἔφαμεν, δηλώσει τὰ λόγια.
4 Ἔφη γοῦν τις κληθεὶς τῶν θεῶν,

Σήμερον οὐκ ἐπέοικε λέγειν ἄστρων ὁδὸν ἱρήν,
ἕδρανα μαντοσύνης γὰρ ἐν ἄστρασι νῦν πεπέδηται.

Καὶ ἐπιλέγει,

Πέφηνεν ἄρα, πόθεν πολλάκις τὸ ψεῦδος συνίσταται.

6 Ἆρά σοι πέπαυται λοιπὸν τὰ τῆς ἀμφιβόλου γνώ- p. 242
μης, ὅτι μηδέν τι ἦν θεῖον ἐν τοῖς τῶν θεῶν χρησμοῖς. Πῶς γάρ ποτε τὸ θεῖον ψεύσαιτ' ἂν, τὴν φύσιν ὂν ἀψευδέστατον, εἴ γε ἀψευδὲς τὸ θεῖον; Πῶς δὲ ἀγαθὸς
[142] δαίμων ταῖς ψευδολογίαις ἀπατήσειέ ποτε τοὺς χρω- b
μένους; Πῶς δ' ἂν εἴη κρεῖττον ἀνθρώπου τὸ τῇ τῶν
2 ἄστρων φορᾷ πεπεδημένον; Θνητὸς μὲν οὖν ἀνὴρ βρα-

d 8. ἐπέοικε] ἐπέεικε D. 9. εἴρειν Θ' ἕδραν· ἀμαντοσύνης] Ita legebatur. Correxit Valckenærius Diatr. Eurip. p. 287. ἴσ. μαντοζύνη Vigeri margo. 10. θ' ἕδραν] δ' ἕδραν C.G. Mox ἄστροισι D. ult. συνίσταται] συνίστασθαι C.G.

p. 242. b 3. τὸ τῇ] τὸ om. B.

3 Apollo sane, cum ejusmodi aliquando esset, quam ante descripsimus, ambientis cœli molestior difficiliorque tempestas, hunc in modum cecinit,

Ne me ultra precibus cogas: nam falsa profabor.

4 Ac nihil a nobis affingi, vel oracula ipsa fidem facient. Sic enim evocatus e diis quispiam respondit,

Non hodie licet effari, qui sidera cursus,
Quæ sedes habeant: vis quippe futura canendi
Nunc astris constricta manet.

Tum ita concludit,

Qua nimirum ex caussa oraculorum sæpe vanitas existat, ostendit.

6 Jam, credo, quam ab omni divinitate vacua deorum oracula fuerint, plane ac citra dubitationem ullam intelligis. Nam qui fieri possit, ut vel numen, quod natura sua ab omni vanitate sejunctum est, si quidem ejusmodi numen per sese est, aliquando mentiatur? vel bonus genius mendaciis in fraudem eos, a quibus consulatur, inducat? Quis porro aliquid homine majus id fuisse arbitretur,
2 quod astrorum motu constrictum teneretur? Nam homo quidem,

χεῖαν ἀρετῆς σπουδὴν εἰσενεγκάμενος οὔ ποτ' ἂν ψεύσαιτο, τἀληθὲς προτιμᾶν προθέμενος, οὐδ' εἱμαρμένης ἀνάγκην οὐδ' ἄστρων φορὰν αἰτιάσαιτο ψευσάμενος· ἀλλ' εἰ καὶ τῷ σώματι πῦρ τις ἢ σίδηρον προσφέροι, διαφθείρειν ἐξαναγκάζων τὸν ἀληθῆ λόγον, ἀλλὰ καὶ πρὸς τοῦτο ἐλευθεροστομῶν ἀντιφθέγξεται, c

Ἴτω μὲν πῦρ, ἴτω δὲ φάσγανα·
τέμνε, κάταιθε σάρκας, ἐμπλήσθητί μου
πίνων κελαινὸν αἷμα· πρόσθε γὰρ κάτω
γῆς εἶσιν ἄστρα, γῆ δ' ἄνεισ' ἐς οὐρανὸν,
πρὶν ἐξ ἐμοῦ σοι θῶπ' ἀπαντῆσαι λόγον.

3 Τὸ δέ γε λαοπλάνον καὶ ἀπατηλὸν δαιμόνιον σκήπτεται,
τοὺς ἄφρονας σοφιζόμενον, ἵν' ἐν οἷς ἂν τῆς τοῦ μέλ-
λοντος προρρήσεως ἀποπίπτοι καταφυγὴν αὐτῷ τῆς
4 ἀλογίας τὴν εἱμαρμένην πορίζοιτο. Πάντα δ' εἱμαρμέ- d

b 5. εἰσενεγκάμενος] εἰσενην. C.G. εἰσυνην. B. εἰσενηνεγμένος I. 6. προτιμᾶν] τιμᾶν B.C.G.I. 7. ἀνάγκην D. 9. τῷ σώματι] τὰ σώματα B. προσφέρει] προσφέροι B. προφέρει I. 11. τοῦτο] τοῦτον B.G.I. ἀντιφθέγξεται] ἀντιφθέγγεται C.G. c 2. φάσγανον] φάσγανα B.C.G.I. Tum τέμνε om. C.G. ubi πίμπρα Philo Jud. T. II. p. 449. Vide Porsonum ad Eurip. Phœn. 531. 4. γαίης ἴασιν] γῆς εἶσιν B.C.D.E.G.I. Mox ἄνωσ' D. 6. σε] σοι B.C.D.G.I. 7. καὶ om. G. 8. σκήπτεται] σκέπτεται C. 9. τοῖς] τῆς B.C. Mox αὐτῷ τῆς om. B.

mortalis licet, qui modo virtutis aliquid studio tribuat, nulla vi ad mentiendum adduci unquam poterit, quod semel veritatem omni conditione potiorem habere statuerit: nec jam fati necessitatem astrorumve motum vanitati prætexet suæ; at ignem licet corpori aut ferrum admoveris, quo veraci linguæ vim afferas, stabit ille contra, et libera constantique voce exclamabit,

Occurrat ignis, gladius occurrat: seca,
Exure corpus: sanguine ardentem sitim
Restingue nostro. Sidera in terram prius
Labentur: ante siderum tellus plagam
Invadet, ore quam tibi nostro excidat
Vox ulla mendax.

3 At gentium illusor, et fraudium artifex dæmon, hoc nimirum callide
finxit, quo facilius insanis hominibus imponeret; atque, ubi res aliter
quam prædictum ab eo foret, eveniret, ad fatum continuo, perfugium
4 sibi ac receptum pararet. Jam vero, cum ipse omnia suis illis ora-

νης διὰ τῶν χρησμῶν ἀναρτήσας ὁ δαίμων, καὶ τὸ ἐφ'
ἡμῖν ἐκ τῆς αὐτοπροαιρέτου κινήσεως ἀνελὼν, ἀνάγκῃ
δὲ καὶ τοῦτο καταδουλώσας, θέα εἰς οἷον κακῶν δογμά-
5 των ὄλεθρον τοὺς αὐτῷ πειθομένους καταβέβληκεν. Εἰ
γὰρ ἄστροις καὶ εἱμαρμένῃ οὐ μόνα τὰ ἐκτὸς ἀλλὰ καὶ
τὰς κατὰ λογισμὸν προθυμίας ἀναθετέον, καί τις ἀπα-
ραίτητος ἀνάγκη τὰς ἀνθρωπίνας ἐκβιάζεται γνώμας,
οἰχήσεταί σοι φιλοσοφία, οἰχήσεται καὶ εὐσέβεια· οὐδέ
τις ἦν τοῖς σπουδαίοις ἔπαινος ἀρετῆς, οὐδέ τις θεο-
φιλία, οὐδὲ τῶν ἐν ἀσκήσει πόνων καρπὸς ἐπάξιος,
ἀνάγκης καὶ εἱμαρμένης τὴν αἰτίαν πάντων ἀναδεδεγμέ-
6 νης. Οὐ δὴ οὖν προσήκει καταμέμφεσθαι τοῖς περὶ
τὸν βίον πλημμελοῦσιν, οὐδέ γε τοῖς ἀσεβέσι καὶ ἐπιρ-
ρητοτάτοις, ἀλλ' οὐδὲ τοὺς σπουδαίους θαυμάζειν· ταύ- p. 243
τῃ δὲ, ὡς ἔφην, οἰχήσεται καὶ τὸ μέγα τῆς φιλοσοφίας
κλέος, οὐκ αὐτοπροαιρέτου μελέτης καὶ ἀσκήσεως, ἀλλ'
7 ἐκ τῆς τῶν ἄστρων ἀνάγκης ἀπῃωρημένον. Ὅρα οὖν

d 9. καί τις ἀπαρ.—βιαζομένων (p. 245 b.) om. B. 11. οἰχήσεται] οἴχεται δὲ E.I. Mox item οἴχεται I. 12. θεοφιλία] θεοφίλεια C.G.I. 15. πάντων] τῶν πάντων C.G.I. Tum ἀναδεδειγμένης D.G.
p. 243. 2. τὸ μέγα] καὶ τὸ μ. C.G.I. 5. ἀπῃωρημένον] ἀπηωρημένων C.

culis ex fati necessitate suspendit, atque id etiam quod pro libertatis
nostræ motu ac potestate agitur, funditus sublatum, eadem servitute
constrinxit; vide sis obsecro, quam in exitialem dogmatum pestem
5 suos ille sectatores conjecerit. Nam si astris atque fato, non exter-
narum modo rerum, sed earum etiam cupiditatum, quæ mentis et
intelligentiæ ductum sequuntur, alligandæ rationes erunt, si humanæ
cogitationes atque sententiæ vi quadam inexorabilis necessitatis
agentur; nulla jam profecto philosophia est, nulla religio; probis
laus ex virtute nulla; nulla dei benevolentia, nullus denique fructus
susceptorum laborum contentione dignus, cum necessitati atque fato
6 rerum caussæ omnium assignentur. Enimvero nec improbis dein-
ceps, aut impiis, omniumque adeo scelerum turpitudine laborantibus
succensendum erit; nec virtutis amatoribus laudis quicquam ho-
norisque tribuendum. Ex quo profecto sequitur, quod ante dicebam,
ingens illud philosophiæ decus periturum, si astrorum ex necessitate,
7 non ex voluntaria meditatione studioque pendebit. Vide ergo quam

Fatum philosophiam ac religionem tollit.

εἰς οἷον κακῶν δογμάτων βυθὸν οἱ θαυμάσιοι θεοὶ κατα-
βεβλήκασι, καὶ σκέψαι ὡς εἰς ἀσωτίαν καὶ ἀδικίαν καὶ
ἄλλα μυρία κακὰ παρορμᾳ̃ καὶ προτρέπει τουτὶ τὸ
δόγμα, ἀνατροπὴν τοῦ παντὸς βίου ἀθρόως κατεργα-
8 ζόμενον. Εἰ γοῦν τις αὐτόθεν πιστεύσειε τοῖς θαυμα-
στοῖς τῶν θεῶν χρησμοῖς, ὅτι τε τὸ ἀληθεύειν καὶ τὸ b
ψεύδεσθαι οὐχ ἡμέτερον ἔργον ἦν ἀλλὰ τῆς ἀπαραιτή-
του εἱμαρμένης, καὶ τὸ θέλειν ἐπὶ στρατείαν ἢ ἐπ' ἄλλο
τι τῶν πρακτέων ὁρμᾶν, καὶ τὸ μὴ θέλειν τὰ τοιάδε·
πῶς οὐκ ἂν ἐθελήσειεν ἀμελεῖν καὶ καταρραθυμεῖν ἐν
ἅπασι τοῖς μὴ ἄνευ καμάτων καὶ πόνων καὶ τῆς ἡμῶν
9 αὐτῶν προθυμίας κατορθοῦσθαι δυναμένοις; Εἰ γὰρ ἐξ
εἱμαρμένης τόδε τι γενήσεσθαι νομίζοι, εἴτε πονοίημεν
ἡμεῖς περὶ αὐτὸ καὶ σπουδάζοιμεν εἴτε καὶ μή, πῶς οὐκ
ἄν τις ἐθελήσειε τὸ ῥᾷον αἱρεῖσθαι, παρεὶς ἑαυτὸν καὶ c
ἀμελῶν, ὡς ἐξ εἱμαρμένης καὶ ἀνάγκης γενησομένου
10 τοῦ πραχθησομένου; Ὅθεν καὶ λεγόντων ἐστὶν ἀκοῦ-

a 7. καταβεβλήκασι] καταβεβήκασι G. Quid deesse suspicatur Vigerus. 8. μυρία κακὰ] κακὰ μυρία I. 10. ἀθρόως] ἄθροον C.D.G. 11. πιστεύσοι] πιστεύσειε C.G. 12. ὅτι] ὅτι τε C.E.G.I. Mox οὐχ ante ἡμέτερον om. E.I. b. καὶ οὐχ] καὶ om. G. 3. ἐπ' ἄλλο] ἐπ' om. C. 9. νομίζοι] νομίζει C.G. 10. σπουδάζοιμεν] σπουδάζομεν C.G. c. ὡς ἐξ] καὶ ἐξ G. 3. παραχρησομένου G. De seqq. vide Wyttenbach. ad Plutarch. II. p. 168 C.

in exitialium dogmatum voraginem clientes suos egregia numina
conjecerint: atque ut ejusmodi sententia, dum ad nequitiam, injuria-
rum licentiam, aliorumque malorum vim ac multitudinem infinitam
8 extimulat, vitæ simul universæ perniciem ultimam moliatur. Nam
ubi quis semel præclaris deorum permotus oraculis, in animum in-
duxerit suum, vera pariter falsaque loqui, voluntatem ad militiam
adjungere, aut rem ejusmodi aliquam persequi, vel contra fugere,
inexorabilis fati esse, non nostræ potestatis: quis non eum continuo
videat, quæcunque sine molestiis, atque laboribus, nostraque adeo
contentione perfici non poterunt, in iis omnibus languidum et iner-
9 tem futurum? Etenim qui certo quodam fato hoc illudve futurum
sibi persuaserit, sive aliquid ipsi quoque laboris et industriæ contule-
rimus, sive non; eum tu facilioribus mollioribusque delectis, non
dissolute ac negligenter victurum putas, quasi necessario futurum
10 illud sit, quod agendum fuerit? Et vero plerosque propterea sic

σαι τῶν πολλῶν, ὅτι ἄρα πραχθήσεται τοῦτο εἴ γε εἵμαρταί μοι, καὶ τί με χρὴ παρέχειν ἐμαυτῷ πράγματα;
11 Εἰ γὰρ ὁ ἐπὶ στρατείαν ὁρμῶν οὐκ ἐκ προαιρέσεως οἰκείας τοῦτ' ἔπραττεν, ἐλαυνόμενος δὲ ὑπὸ τῆς ἔξωθεν ἀνάγκης, δηλονότι καὶ ὁ ἐπὶ λῃστείαν καὶ τυμβωρυχίας καὶ ἐπὶ τὰς ἄλλας ἤτοι ἀνοσιουργίας καὶ ἀκολασίας ἢ κοσμίους καὶ σώφρονας ἐπιτηδεύσεις· τοῦτο γὰρ ἂν εἴη d
12 ἀκόλουθον τῷ περὶ εἱμαρμένης λόγῳ. Πῶς οὖν ὁ ταῦτα
[143] μὴ ἐξ αὐτοῦ ἡγούμενος ἐγχειρεῖν ἀλλ' ὑπὸ τῆς ἔξωθεν ἀνάγκης προσέξοι ἄν ποτε τῷ νουθετοῦντι καὶ διδάσκοντι μὴ ἑαυτὸν ἐπιδιδόναι ἔκδοτον τοῖς προειρημένοις;
13 Εἴποι γὰρ ἂν πρὸς τὸν νουθετοῦντα, ὡς καὶ τῶν πρὸ ἡμῶν τισὶν εἴρηται, Τί με ὦ ἄνθρωπε, νουθετεῖς; Ταῦτα γὰρ οὐ δήπου ἐστὶν ἐπ' ἐμοὶ, τὸ μεταβάλλειν τὴν
14 προαίρεσιν· ἡ γὰρ εἱμαρμένη προκατείληφε. Τί οὖν δεῖ συντετάσθαι πρὸς ἃ οὐδὲ προθυμεῖσθαι δυνήσομαι,

c 5. με] ἐμοὶ C. ἐμὲ G. 6. ἐμαυτῷ] ἑαυτῷ C.G. ἐν αὐτῷ I. 9. ἐπὶ λῃστείαν] ὁ ἐπὶ λῃστείᾳ C.G. ὁ ἐπὶ λῃστείαν καὶ ἐπὶ τ. I. 10. τυμβωρυχίαν D.G. d. ἀκόλουθον] ἀκόλαστον C.G 3. αὐτοῦ] ἑαυτοῦ C.I. Mox ἐγχωρεῖν I. 7. ἂν om. I. 9. ταῦτα] ἴσ. τοῦτο Vigeri margo.

loqui audias, Fiet illud omnino, si fatum ita meum tulerit. Quorsum
11 autem frustra molestus ipse mihi sim? Nam qui militiam sectatus est, is si non eo volens ac sua se sponte contulit, sed externa quadam necessitate compulsus; liquet profecto de cæteris idem sentiendum esse, qui vel latrociniis, vel sepulcris effodiendis, vel aliis impietatis atque intemperantiæ generibus, aut etiam honestioribus ac sanioribus institutis se dediderint. Hoc enim ex ista fati ratione consequens
12 plane est. Qui ergo semel in eam inductus opinionem fuerit, nihil istorum sua se voluntate persequi, externæ necessitati tribuenda esse omnia: qui fieri poterit, ut sese, ab iis abstinendum monenti ac
13 præcipienti, dicto audientem præbeat? Referet utique monitori suo, quemadmodum nonnullis qui superiori memoria vixere contigit, Ad quid hæc tu mihi monita, bone vir? Nec enim integrum mihi est hanc mentem consiliumque mutare, quando jam fatum occupavit.
14 Quid me porro juvet contendere, ubi ne optandi quidem facultas arbitriumque relinquatur, nisi optare fatum quoque mihi sit? Optabo

εἰ μὴ καὶ τοῦτο καθείμαρταί μοι; Προθυμήσομαι δέ, εἰ καθείμαρται, καὶ ἄνευ τῆς σῆς διδασκαλίας ὑπὸ τῆς p. 244
εἱμαρμένης ἀγόμενος. Τί οὖν μάτην σεαυτὸν ἐνοχλεῖς;
15 Ἀλλ' εἰ καὶ τό σε παραινεῖν καὶ διδάσκειν φήσεις κατὰ ἀνάγκην ἐπιτελεῖσθαι εἰς τὸ παραινεῖν καὶ πείθειν ἐμὲ τοιαῦτα· ἀλλὰ κἂν τούτῳ τί χρὴ σπουδάζειν; Ἀργὴ γὰρ καὶ ἀνωφελὴς ἡ παραίνεσις. Εἰ γὰρ εἵμαρταί μοι, φιλοπονήσω· εἰ δὲ μὴ εἵμαρται, ματαίαν ποιεῖσθαι τὴν
16 σπουδὴν ἀμφοτέρους συμβήσεται. Πῶς δὲ οὐ μᾶλλον ἀπορραθυμῶν εἴποι ἂν πρὸς ἑαυτὸν ὁ ταύτην ἔχων τὴν δόξαν, Ἄγε μηδαμῶς φιλοπονήσω, μηδὲ μάτην ἐνο- b
χλήσω ἐμαυτῷ· γενήσεται γὰρ τὸ εἱμαρτὸν ἐξ ἀνάγκης· ὁ δὲ περί τι σπουδάζων, ἢ διδάσκων ἢ προτρέπων ἑαυτὸν ἢ ἄλλον καὶ τὸ πείθεσθαι καὶ τὸ μὴ πείθεσθαι, καὶ τὸ ἁμαρτάνειν καὶ μή, τό τε ἐπιτιμᾶν τοῖς ἁμαρτάνουσι, καὶ τὸ ἐπαινεῖν τοὺς κατορθοῦντας, πῶς οὐκ ἐναργῶς ἐλέγχεται τὸ μὲν ἔργον καταλιπὼν τοῦ παρ' ἡμῖν καὶ τοῦ αὐτεξουσίου, τὸ δὲ τῆς εἱμαρμένης ὄνομα αὐτῷ

p. 244. 2. σεαυτὸν] σεαυτῷ C.G. 11. πρὸς ἑαυτὸν] ὁ πρὸς αὐτὸν D. b 4. ἢ καὶ] καὶ om. C.D.G. Mox ἢ ἑαυτὸν E.I. 6. ἢ μὴ] καὶ μὴ C.G. et nescio an D. 9. ἡμῖν] ἡμᾶς C.D.G. Supra καταλοιπὸν D.

vero si fatum erit, ut nihil præcipias, ipsamet fati necessitate adactus.
15 Cur ergo frustra molestus ipse tibi es? Urget nimirum eadem te necessitas, atque ut ista mihi suadeas omnino cogit. At quorsum hac in re tantum studii? Cassa quippe et inutilis cohortatio tua est. Nam in rem ipsemet incumbam ultro, si fatum erit: sin autem;
16 inanis est utriusque contentio. Quidni autem, dissoluto potius animo, qui ac semel imbutus opinione sit, hunc in modum loquatur ipse secum: Mihi vero certum est labori parcere, nullamque mihi frustra molestiam facessere. Necessario enim quicquid in fatis erit eveniet. At vero qui rei cujuscunque vel studium persequitur, vel præcepta tradit; qui se ipsum aut alium quemlibet adhortatur, uti vel morem gerat, vel jussa negligat; peccatum aut admittat aut fugiat; vel arguat improbos, vel probos laude afficiat: is, non palam et aperte libertatis arbitriique nostri facultatem ac potestatem relinqait, fati

17 συνάπτων μόνον; Ὥσπερ εἴ τις τὴν τοῦ ἀγαθοῦ φύσιν,
ἧς κατὰ τὴν παρουσίαν ἄριστα διοικεῖται τὸ ζῷον, τῷ
τοῦ κακοῦ προσαγορεύοι ὀνόματι. Οὕτω γὰρ ἐπεὶ
ἐναργῶς ἑαυτῶν αἰσθανόμεθα μὴ βιαζομένων ὑπ' ἄλλης
τινὸς αἰτίας ἐν τῷ παιδεύειν τοὺς υἱεῖς, καὶ μαστίζειν
τοὺς οἰκέτας ἁμαρτήσαντας, καὶ ἐν τῷ τόδε τι βούλεσθαι
καὶ μὴ βούλεσθαι, ἀλλ' αὐτοτελῶς ἐκ τῆς ἰδίας ἐξου-
σίας εἰς τὰς τοιαύτας κινήσεις ἀφικνουμένων, ἁμαρτάνοι
ἂν ὁ ταῦτα λέγων γίνεσθαι καθ' εἱμαρμένην, πρὸς τὸ
παραλύειν τάς τε ἡμῶν αὐτῶν προθυμίας καὶ τὰς εἰς
ἄλλους γινομένας παρακλήσεις καὶ νουθετήσεις, ἐξ ὧν d
ὁρῶμεν μάλιστα κατορθούμενα τὰ τῶν ἀνθρώπων πρά-
18 γματα. Καὶ μὴν καὶ νόμους ἀνατρέποι ἂν οὗτος ὁ λό-
γος, τοὺς τοῦ συμφέροντος ἕνεκεν ἀνθρώποις κειμένους.
Τί γὰρ δεῖ προστάττειν ἢ ἀπαγορεύειν τοῖς ὑφ' ἑτέρας
ἀνάγκης κατεσχημένοις; Ἀλλ' οὐδὲ τοὺς ἁμαρτάνοντας
δεήσει κολάζειν μὴ παρὰ τὴν αὐτὴν αἰτίαν ἡμαρτηκότας,

c 2. ἄριστα om. C.G. 3. προσαγορεύει] προσαγορεύοι C.G. 4. ἐπεὶ] ἐπειδὴ C.G. 6. υἱεῖς] υἱοὺς C. 7. ἁμαρτάνοντας] ἁμαρτήσαντας C.D.G.I. 9. αὐτοτελῶς] αὐτὸ τελῶν C.G. 12. πρὸς τῷ] πρὸς τὸ C.D. d 5. δεῖ] χρὴ I. 7. κατεχομένοις D.G. κατισχημένοις I. 8. δεήσει] ἐξήσει C. 9. αὐτὴν] αὐτῶν C.E.G.I.

17 nomen ei solum ac vocem adjungit? Perinde omnino, ut si quis illam boni naturam, qua, hoc statu rerum, optime animantes reguntur, mali nomine appellaret. Sic enim, cum plane sentiamus, vel ad erudiendos liberos, vel ad plagas improbis mancipiis infligendas, vel ad quidlibet sive amplectendum, sive rejiciendum, non alterius nos caussæ necessitate cogi, sed prorsus voluntario nostræ libertatis impetu ad hæc similiave consilia ferri: errare is merito fallique censeatur, qui hæc omnia fato quodam fieri dixerit: quo non contentionem modo studiumque nostrum, sed alios etiam vel cohortandi vel commonendi vim ac voluntatem infringat, qua tamen ratione potissi-
18 mum res hominum videmus bene feliciterque succedere. Jam ipsas quoque leges ad hominum utilitatem et commodum institutas hæc opinio labefactat. Nam cui tu bono, aut imperes iis quidpiam, aut vetes, qui jam alia coustricti necessitate teneantur? Imo nec hominum scelera punire oporteat, quippe qui propter eandem caussam

οὐδὲ τοῖς τὰ κάλλιστα πράττουσι τιμὰς ἀπονέμειν, ὧν
ἑκάτερον πολλὴν αἰτίαν παρέσχηκεν εἰς ἀναστολὴν ἀδι-
19 κίας, καὶ εἰς εὐποιίας ἑτοιμότητα. Ἀλλὰ καὶ τὴν πρὸς
τὸ θεῖον εὐσέβειαν ἀνατρέποι ἂν ἥδε ἡ δόξα, εἴ γε μηδὲν
ἡμῖν ὁ Θεὸς, μηδὲ μὴν αὐτοὶ οἱ τῶνδε χρησμῳδοὶ, μήτ' p. 245
εὐχομένοις μήτ' εὐσεβοῦσι συμβάλλονται εἱμαρμένης
20 ἀνάγκαις πεπεδημένοις. Τὸ δὲ δίκην ἀψύχων λέγειν
κινεῖσθαι ἡμᾶς, τῇδε καὶ τῇδε ὑπό τινος ἔξωθεν δυνά-
μεως νευροσπαστουμένους, εἰς τὸ ἐπάναγκες ἐθελῆσαι
τάδε πρᾶξαι, καὶ ἑλέσθαι παρὰ προαίρεσιν ἕτερα, πῶς
οὐκ ἂν εἴη ἀναιδὲς καὶ ἀναισχυντότατον, ἐπείπερ
ἐναργῶς αἰσθανόμεθα ἑαυτῶν ἡμετέρᾳ ὁρμῇ καὶ κινήσει
τάδε τινὰ προθυμουμένων, καὶ ἀμελούντων πάλιν ἑαυτῶν
ἀντιλαμβανόμεθα, καὶ παρὰ ταύτην τὴν αἰτίαν κατορ-
θούντων ἢ μὴ κατορθούντων, καὶ ἐξ οὐδενὸς ἑτέρου βια- b
ζομένων, ἀλλὰ τὰ μὲν ἑκουσίῳ γνώμῃ αἱρουμένων, τὰ
δὲ φευγόντων καὶ παραιτουμένων ἐκ τῆς ἡμῶν αὐτῶν
21 προαιρέσεως; Οὕτω δὲ ἄρα ἐναργὴς ἦν ὁ τοῦ αὐθε-

p. 245. 5. ἐπ' ἀνάγκαις] ἐπάναγκες C.G. Vigeri marg. 8. αἰσθό-μεθα D.G. 11. παρὰ] περὶ D. b 4. ὁ τοῦ αὐθ'] ὁ περὶ τοῦ αὐθ. I.

peccarint nihil: nec eos contra, qui præclare se gesserint, honoribus
præmiisque donare; quod utrumque tamen cum ad improbitatem
coercendam, tum ad excitandum virtutis studium, momenti semper
19 ac virium plurimum habuit. Adde religionem ac pietatem in Deum
eadem sententia ruere, si nec Deus ipse, nec vaticiniorum istorum
auctores, nobis hac semel fati necessitate obligatis, precibus licet ac
religioni operam demus, præsidii quicquam aut emolumenti conferre
20 possint. Nos porro more brutarum animantium, huc illucque trahi,
externa vi, quibusdam quasi funibus circumactos, ut alia necessario
facere velimus, alia contra sensum mentemque nostram eligamus,
cui non indignissimum ac turpissimum jure videatur? maxime cum
nos ad alia sponte quadam impetuque nostro ferri sentiamus, alia
rursus cum negligimus, nostri tum ipsi quoque domini compotesque
maneamus; adeoque in caussa simus, quamobrem feliciter quid, aut
secus eveniat, cum vis aliunde nulla nobis afferatur, atque hæc uti
optamus ultro, sic illa vicissim eadem plane libertate, aut defugiamus
21 omnino, aut ex parte detrectemus. Et vero tam certa nobis explo-

Libertas in homine perspicua.

κουσίου λόγος, ὥστε ὁμοίως τὸ ἀλγεῖν καὶ τὸ ἥδεσθαι,
καὶ τὸ τόδε τι ὁρᾶν, καὶ τόδ' ἀκούειν, οὐ συλλογισμῷ
[144] ἀλλ' ἐνεργείᾳ καταλαμβανομένων, συναισθέσθαι ἑαυτῶν
ἐξ ἡμῶν αὐτῶν καὶ τῆς ἡμετέρας βουλῆς ὁρμώντων, καὶ
τάδε τινὰ αἱρουμένων, τινὰ δὲ ἀποστρεφομένων, ὥστε
ἐξ ἅπαντος τὸ ἐλεύθερον καὶ τὸ αὐτεξούσιον τῆς ἐν c
ἡμῖν λογικῆς καὶ νοερᾶς φύσεως ἐνδίκως ὁμολογεῖσθαι.
22 Εἰ δὲ καὶ παρὰ προαίρεσιν μυρία συμβαίνοντα ἡμῖν
τοὺς πολλοὺς τῶν ἀνθρώπων ταράττει, διαιρετέον ἐν-
ταῦθα τὴν τῶν ἐν οἷς ἐσμὲν φύσιν, καὶ τὸν λόγον, καθ'
ὃν τὰ οὐκ ἐφ' ἡμῖν γίνεται, ἐπιθεωρητέον. Οὕτω γὰρ
καὶ τούτων τὸ αἴτιον οὔτις ἄλογος ἀναδέξεται εἱμαρ-
μένη, λόγος δὲ πάλιν ἄλλος τῆς τῶν ὅλων προνοίας
ἀπηρτημένος. Φέρ' οὖν ἐπιμελῶς τὸ πρόβλημα ἐπι-
σκεψώμεθα.

23 Πάντα μὲν ἀθρόως ἐκ Θεοῦ προνοίας εἶναί τε καὶ d
διοικεῖσθαι οἱ τῆς ἀληθοῦς εὐσεβείας θεσμοὶ διαγορεύ-

b 5. τῷ—τῷ—τῷ] τὸ ter B.D. bis C. ubi τῷ 3. om. 8. ἑαυτῶν] αὐτῶν B.G. 10. τινὰ δὲ ἀποστ. om. C. et credo G. 11. τὸ αὐτ.] τὸ om. B.C.G. c. λογικῆς καὶ νοερᾶς] νοερᾶς καὶ λογικῆς B.C.G.
θε δια
d 2. δεσμοὶ D. qui mox προσαγορεύουσιν.

rataque est hæc arbitrii nostri ratio, ut perinde ac dum aut dolemus ipsi, aut lætamur, aut videmus quidpiam, aut audimus, id a nobis re ipsa, non ratiocinatione ulla percipi sentimus, ita nos sponte consilioque nostro duci, ac delectis nonnullis, ab aliis abhorrere sentiamus, prorsus ut illam arbitrii potestatem penes naturam hanc nostram
22 ratione et intelligentia præditam esse, fateri nemo non debeat. Sin autem, quod infinita quoque nobis præter voluntatis consiliique rationem eveniant, id hominum vulgus perturbat; tum vero et distinguenda secernendaque rerum illarum, in quibus versamur, natura erit, et illa simul ratio consideranda, per quam ea fiant, quæ potestati nostræ subducta sint. Sic enim ejusmodi quoque rerum caussam non absurdo fato, sed alteri consilio ex divina res in omneis providentia suspenso tribuendam et assignandam esse constabit. Age ergo, quæstionem istam diligenter excutiamus.
23 Primum quidem divinæ providentiæ nutu, cum esse, tum regi simul
24 universa, veræ religionis decreta sanciunt. Jam vero, quæ fiunt singula,

24 ουσιν. Ἤδη δὲ κατ᾽ εἶδος ἰδίως ἕκαστα τῶν γιγνο-
μένων, τὰ μὲν ἕξει, τὰ δὲ φύσει, τὰ δὲ ὁρμῇ καὶ φαν-
τασίᾳ, τὰ δὲ λογισμῷ καὶ οἰκείᾳ κρίσει τε καὶ προαιρέ-
σει κινούμενα, καὶ ἄλλα μὲν κατὰ προηγούμενον λόγον
γιγνόμενα, ἕτερα δὲ κατ᾽ ἐπισυμβεβηκότα τοῖς προηγου-
μένως γεγονόσι, ποικίλην καὶ πολύτροπον τὴν τοῦ παν-
τὸς συνεστήσατο διακόσμησιν, ἑκάστῳ γένει τῶν ὄντων
ἰδίαν καὶ ἀφωρισμένην τινὰ φύσεως κατασκευὴν τοῦ
25 τῶν ὅλων αἰτίου διανείμαντος. Σχολῇ μὲν οὖν τις τὸν
περὶ τῶν ἄλλων διεξέλθοι λόγον· τὸν δὲ περὶ τοῦ αὐ-
26 τεξουσίου ῥᾷον ἂν καταμάθοι ὧδε. Ἐπεὶ μὴ μονογενὲς p. 246
χρῆμα μηδ᾽ ἐκ μιᾶς συνεστὼς φύσεως τυγχάνει ὢν ὁ
ἄνθρωπος, ἐκ δυοῖν δὲ ἐναντίων εἴληχε τὴν σύνοδον, σώ-
ματος καὶ ψυχῆς, τοῦ μὲν κατὰ συμβεβηκὸς ὀργάνου τῇ
ψυχῇ δεδεμένου, τῆς δὲ νοερᾶς οὐσίας κατὰ τὸν προη-
γούμενον ὑποστάσης λόγον, καὶ τοῦ μὲν ἀλόγου, τῆς δὲ
λογικῆς τυγχανούσης, καὶ τοῦ μὲν φθαρτοῦ, τῆς δὲ

d 3. ἰδίως] ἰδία B.C.D.G. 5. οἰκείᾳ κρίσει] κρίσει οἰκείᾳ I. 7. προηγούμενον λόγον] -μένου λόγου C. 15. καταμάθοι ἂν] ἂν κ. C.D.G. ἂν om. B.

p. 246. τι χρ.] τι om. B.C.D.G.I. δ᾽ ἐκ] δὲ C. 8. πάλιν τοῦ] πάλιν om. B.C.D.G.

pro sua quæque ac peculiari forma, dum alia quidem habitu, alia natura, rursusque alia impetu atque sensu, alia vero ratiocinatione, ac judicio, suaque adeo sponte arbitrioque moventur: dumque similiter alia superiori quadam et prævia ratione fiunt, alia modo superiorum vim ac ductum consequente, variam ac multiplicem hujus universi speciem ornatumque conflarunt; cum auctor omnium molitorque Deus suam cuilibet rerum generi singularemque naturæ conditionem attribuerit.
25 Ac cæterarum quidem vim atque rationem exequi complectique difficile fuerit; arbitrii vero libertatem hunc in modum ostendere, longe
26 facilius. Cum homo non res una quædam sit atque simplex, aut unica natura constans, sed ex duarum ac diversarum, corporis nimirum et animi, societate conflata; et corpus quidem animo, tanquam instrumentum, consequentia quadam alligatum; spiritalis vero intelligensque natura, vi principis illius rationis existat: cumque alterum ratione careat, altera prædita sit; alterum corruptionem patiatur,

ἀφθάρτου, καὶ θατέρου θνητοῦ, θατέρας δὲ ἀθανάτου,
ὥσθ' ἡμᾶς θηρσὶ μὲν ἀλόγοις ἀδελφὸν φέρειν τὸ σῶμα,
ψυχὴν δὲ τῇ λογικῇ καὶ ἀθανάτῳ φύσει συγγενῆ· ταύτῃ b
τοι εἰκὸς τὸ διφυὲς τουτὶ βλάστημα, διττῆς ἅτε φύσεως
κεκοινωνηκὸς, διττῷ καὶ διαφόρῳ τὸ ζῆν ἀπευθύνειν τρό-
πῳ, τοτὲ μὲν φύσει σώματος δουλεῦον, τοτὲ δὲ τῇ θειο-
τέρᾳ μοίρᾳ τὴν οἰκείαν ἀσπαζόμενον ἐλευθερίαν· ὡς καὶ
δοῦλον εἶναι τὸν αὐτὸν καὶ ἐλεύθερον, τοιαύτην τινὰ
παρὰ τοῦ Θεοῦ, δι' οὓς οἶδε λόγους αὐτὸς, κεκληρωμένον
27 ψυχῆς καὶ σώματος ἐπιμιξίαν. Εἰ δὴ οὖν τις τὰ κατὰ
φύσιν ἤτοι τοῦ σώματος ἢ καὶ τῆς ψυχῆς, εἱμαρμένης
ὀνόματι χρώμενος, ὑπ' αἰτίαν ἀνάγκης καταβάλλοι, δια- c
μάρτοι ἂν τῆς οἰκείας προσηγορίας. Εἰ γὰρ εἱμαρμένης
ἀνάγκη τις ἦν ἀκώλυτος, πολλὰ δὲ τῶν τῷ σώματι καὶ
τῇ ψυχῇ κατὰ φύσιν προσόντων παραποδίζεται, μυρία
τε ἔξωθεν ἄλλα συναντᾷ παρὰ φύσιν κατά τι συμβε-
βηκὸς καὶ ψυχῇ καὶ σώματι παρεπόμενα, πῶς ἂν εἴη

a 11. φέρειν] φέρει D. b 6. θειοτέρᾳ] θεωτάτη B. θείᾳ D. 10. κεκληρωμένον] κεκληρωμένην C.G. c 3. ἀνάγκη] ἀνάγκης ed. Viger. mox om. τῶν D.

altera minime; postremo alterum mortale sit, altera immortalis: ac proinde corpus illud brutis animantibus affine ac geminum habeamus, animum contra, cum intelligente immortalique natura quadam veluti cognatione conjunctum: mirum profecto non est, si geminum hocce germen, utpote duplicis naturæ communione temperatum, duplici quoque vitam, eaque diversa, ratione conformet: ut modo corporis naturæ serviat, modo libertatem partis divinioris propriam complectatur; adeoque simul in servitute, simul in libertate versetur, hanc a Deo, quas ob caussas ipse novit, corporis animique conjunctionem

Homo pro duplici parte liber ac servus.

27 sortitum. Quare, quisquis ea quæ corporis aut animi naturæ conveniunt, fati abusus nomine, necessitati tanquam caussæ subjecerit, is profecto a vera appellatione aberrarit. Nam si nec fati necessitati obviam iri potest, et quæ tam corpori quam animo naturæ jure debeantur, partem sæpe maximam impediri solent: si rursus infinita prope alia extrinsecus eveniunt, quæ præter naturam casu quodam animum corpusque consequantur; fatum et naturam idem esse quis

28 ταυτὸν εἱμαρμένη καὶ φύσις; Εἰ γὰρ ἀπαράλλακτόν φασιν εἶναι τὴν εἱμαρμένην, καὶ μὴ δύνασθαί τι παρ' αὐτὴν γίνεσθαι· (ἀνάγκην γὰρ εἶναι ἀπαραίτητον·) πολ- d
λὰ δὲ, ὡς ἔφην, παρὰ τὰ κατὰ φύσιν καὶ ψυχῇ καὶ σώματι συμβαίνει, οὐκ ἂν ὀρθῶς τις ὀνομάζοι, ταυτὸν εἶναι
29 λέγων εἱμαρμένην καὶ φύσιν. Γένοιτ' ἂν οὖν τῶν ὄντων ἐν ἡμῖν τὰ μὲν κατὰ λογισμὸν καὶ προαίρεσιν τὴν ἐφ' ἡμῖν γιγνόμενα, οἷα τὰ κατὰ φύσιν ψυχῆς, τὰ δὲ κατὰ φύσιν τοῦ σώματος, τὰ δὲ τούτοις μὲν συμβεβηκότα, ψυχῇ λέγω καὶ σώματι, ἑτέροις δὲ συντελούμενα κατὰ φύσιν· ἀλλ' οὔτε τῆς ψυχῆς τὸ ἐφ' ἡμῖν, οὔτε τοῦ σώματος τὸ κατὰ φύσιν, οὐδὲ μὴν τῶν ἔξωθεν τὸ κατὰ συμβεβηκὸς, ἐνδίκως ἄν τις ἀποστεροίη τὸν αἴτιον.
30 Θεὸς γὰρ αὐτὸς, ὁ τῶν ὅλων, καὶ τῶν ἐφ' ἡμῖν, καὶ τῶν κατὰ φύσιν, καὶ τῶν κατὰ συμβεβηκὸς δημιουργὸς ὢν p. 247
[145] ἀποπέφανται. Καθόλου γὰρ περὶ πάντων ἀκουστέον

d 10. φασιν] φησὶν C.F.G. 11. παρ' αὐτὴν] παρὰ ταύτην B.F. G.I. d. δὲ om. D. 2. παρὰ] περὶ D. Mox καὶ ante ψυχῇ om. I. 3. ὀνόμάζοι] ὀνομάζων C.F.G. Supra συμβαίνειν D. 4. εἶναι] εἶναι ἀπαραίτητον D. 5. ὄντων om. C.F.G. 6. ὑφ' ἡμῶν] ἐφ' ἡμῖν B.C.F.G. Vigeri margo. ὑφ' ἡμῖν I. 7. γιγνομ.] γινομ. B.C.G. 11. τῆς ψυχῆς om. D. 13. τὸ κατὰ τὸ συμβ.] τὸ κατασυμβ. B.C.F.G. et ni fallor D. ult. ἀποστεροῖ] ἀποστεροίη B. C.D.F.G.

Fatum non idem ac natura.

28 putet? Si enim aut fatum ullo modo declinari, aut præter illud fieri quicquam posse negent, quod inexorabilis sit necessitas; et plurima tamen, uti dixi, animo corporique præter naturam eveniunt, perperam sane fecerit, qui unum idemque fato naturæque nomen indiderit.
29 Enimvero, ut eorum quæ nobis insunt, alia ratione consilioque fiant nostro, cujusmodi sunt quæcunque cum animi natura conveniunt, alia prout corporis natura postulat; alia demum utrique, animo inquam corporique sic eveniant, ut cum aliarum rerum natura cohæreant: tamen nec ea, quæ ad animi arbitrium, nec ea quæ corporis ad naturam pertinent, imo nec ea quæ casu contingunt extrinsecus,
30 caussæ suæ merito subduci queant. Idem enim ille Deus, qui totius universi, eorum quoque simul, quæ seu libertatis nostræ sunt, seu naturæ, seu casus, auctor omnium molitorque celebratur. Nam illud

τῆς θείας γραφῆς, τὸ Αὐτὸς εἶπεν, καὶ ἐγενήθησαν· αὐτὸς
31 ἐνετείλατο, καὶ ἐκτίσθησαν ἀποφηναμένης. Εἰ δὴ οὖν
βουλομένοις ποτέ τινα ἕτερα παρὰ τὴν ἡμετέραν γνώμην
συμβαίνει, ὑπομνηστέον αὐτοὺς, ὡς ἄρα τοῦτ' ἦν ἐκεῖνο
τὸ διττὸν καὶ ἑτερογενὲς τῆς ἐν ἡμῖν συμπλοκῆς, λέγω
δὴ ψυχῆς καὶ σώματος, παρ' ὃ καὶ ψυχῆς οὐσία, τὴν
φύσιν οὖσα νοερὰ καὶ λογικὴ, ἐν νηπιάζοντι κατὰ φύσιν b
σώματι παρὰ φύσιν αὐτὴ χώραν ἀλόγου μετείληφε· καὶ
νοῦς ὁ φρονήσεως οἰκεῖος ἀφραίνει πολλάκις κατά τι
συμβεβηκὸς, παρατραπεὶς ἐν ὑπερβαλλούσαις, φέρε, σώ-
32 ματος ἀρρωστίαις. Πολλάκις δὲ καὶ γῆρας ἐπελθὸν
σώματι κατὰ φύσιν τῶν κατὰ τὴν ἀκμὴν κατορθωμάτων
τὴν διάνοιαν ἀπεστέρησε, τῆς νοερᾶς ψυχῆς τὸ λογικὸν
33 παρὰ φύσιν ἀμβλύναν. Αἰκίαι δ' αὖ πάλιν καὶ ἀλγη-
δόνες σώματι πηρώσεις τε ἐπισυμβᾶσαι παρὰ φύσιν, τὸ c

p. 247. 3. ἐνθέου] θείας B.C.D.F.G.V. γρ. S. mox ἐγενήθ. D.F.G. τῆς δὲ ἐνθέου E. 6. ποτε om. F. 8. αὐτοὺς] ἑαυτοὺς I.V. γρ. S. 10. λέγω δὴ] λέγω δὲ I. καὶ ψυχῆς] καὶ om. B.C.D.F.G. Tum παρὰ φύσιν αὐτὴ F. b. ἐν νηπιάζοντι—μόνον ἐστὶ om. B. ἐκ νηπιάζ. E.I. κατὰ φύσιν] κατὰ om. I. 2. αὐτὴ] αὐτὸς I. 3. ἀφραίνει] εὐφραίνει C. 4. παρατρ.] περιτρ. C.F.G. 6. δὲ καὶ] καὶ om. D. 8. ἀπεστέρησε] ἐστέρησε E.I. 9. λογικὸν] λογιστικὸν I. ἀμβλύναν] ἀμβλύναι C. 10. σώματος πηρώσεις] σώματι πυρ. C.F.G. σώματι π. E.I.

divinæ scripturæ de nulla re non accipiendum est, *Ipse dixit, et facta* Ps. 148.
31 *sunt; mandavit et creata sunt.* Itaque, si quando nobis certa quædam
expetentibus, alia præter voluntatem eveniant, admonere tum ipsi
nos debemus, illud nimirum esse, duplicis hujus nostræ diversæque
naturæ, corporis, inquam, animique commercium; quo fiat, uti et
animus, qui natura spiritalis ac ratione præditus est, infantili adhuc
per naturam corpore inclusus, præter naturam ipse suam, in ratione
carentium numero censeatur: et mens, cujus propria prudentia est,
aliquo persæpe casu deliret, dum eam graviores præcipue corporis
32 morbi sua de sede movent. Senectus ipsa quoque, postquam naturæ
ordine corpus invasit, mentem iis solertiæ facultatisque viribus, quibus
per integram adhuc ætatem florentemque præstabat, spoliare solet,
et rationis, quæ tota spiritalis animi est, præter naturam, aciem
33 retundere. Quinetiam plagæ doloresque corporis, membrorumque
debilitationes, quæ præter naturam contingunt, casu ipso plerumque

αὐθεκούσιον τῆς ψυχῆς παρὰ τὸ συμβεβηκὸς ἐξενίκησαν, ἐνδούσης ταῖς ἀλγηδόσι διὰ τὴν πρὸς τὸ σῶμα συμπλοκήν· ὡς ἁλίσκεσθαι δεσμὸν ἄφυκτον ἐμποδὼν προβεβλῆσθαι τῷ κατὰ ψυχὴν ἐλευθέρῳ τοτὲ μὲν τὴν τοῦ σώματος φύσιν, τοτὲ δὲ τὰ ἐκτὸς ἐπισυμβαίνοντα.

34 Ἦν δὲ ἄρα καὶ τὸ τῆς ἐφ' ἡμῖν προαιρέσεως εἰς τοσοῦτον ἧκον ἀρετῆς καὶ ἰσχύος, ὡς ἀντιβαίνειν ἐπὶ πολλῶν τολμᾶν καὶ ἀντιλέγειν τῇ τε τοῦ σώματος φύσει καὶ

35 τοῖς ἔξωθεν ἐπισυμβαίνουσιν. Ἡ μέν γε τοῦ σώματος φύσις ἐπὶ τὴν τῶν ἀφροδισίων ὁρμὴν τὸν ἄνδρα καλεῖ, ἡ d δὲ ψυχὴ λόγῳ σώφρονι χαλινὸν ἐμβαλοῦσα τῷ πάθει κρείττων καθίσταται τῆς τοῦ σώματος φύσεως· καὶ πάλιν ἡ μὲν πεινῆν καὶ διψῆν καὶ ῥιγοῦν καὶ τὰ τοιαῦτα προσαναγκάζουσα ἐπὶ τὰς κατὰ φύσιν θεραπείας τε καὶ πληρώσεις παρακαλεῖ, ἡ δὲ προαίρεσις λόγοις σώφροσιν ἀναπεισθεῖσα, καί τινας ἀσκητικὰς προτροπὰς αὐθεκουσίως ἀγαπήσασα, πολυημέροις ἀσιτίαις καὶ καρ-

c. 2. αὐθεκούσιον] αὐτεξούσιον C.F.G. 3. ἐνδούσαις] γρ. ἐνδούσης Vigeri margo. Sic F.G.I. 5. ἄφυκτον] ἄφευκτον C.F.G. Tum καὶ ἐμπ. E.I. 13. τῶν] τὴν τῶν C.F.G.I. 9. αὐθεκουσίως] αὐτέκ. C.

animi libertatem expugnant, dum is corporis societate victus, molestiis quoque doloribusque cedit: prorsus ut certum id exploratumque habeatur, liberam illam animi facultatem, partim natura corporis, partim iis quæ extrinsecus accidunt, quodam quasi vinculo, quod

Voluntas aliquando vincit aliquando cedit.

34 evitari nequeat, impeditam et constrictam teneri. Quanquam ejusmodi profecto sæpe est arbitrii nostri virtus atque robur, ut in plerisque rebus, et naturæ corporis, et occurrentibus aliunde casibus

35 opponere sese ac reluctari audeat. Quippe hominem enim ad rerum venerearum appetentiam corporis natura trahit: animus vero temperantiæ ductum et consilium sequutus, injecto cupiditati frœno, corporis naturam impetumque frangit. Eadem fame, siti, frigore aut cæteris id genus incommodis dum urget ac premit, ad ea quæ naturæ conveniant exquirenda remedia, satisque ventri faciendum, hominem excitat. Voluntas contra severioribus adducta rationibus, et religiosis quibusdam cohortationibus sponte susceptis, nativam illam corporis cupiditatem plurium etiam dierum inedia tolerantiaque vincit, ad

τερίαις παρακρούεται τὴν τοῦ σώματος φύσιν, ἀρετῇ
36 λογισμοῦ κρίνασα τοῦτο καὶ ἑλομένη. Καὶ αὖ πάλιν ἡ
μὲν κατὰ φύσιν πάσαις ἡδοναῖς χαίρει, καὶ τῇ λείᾳ τῶν
σωμάτων κινήσει· ἡ δὲ προαίρεσις ἀρετῆς ἐπιθυμίᾳ p. 248
37 τὸν ἐπίπονον καὶ τραχὺν ἠσπάσατο βίον. Εἰσὶ δὲ οἱ
καὶ ἐπὶ τὸ χεῖρον τραπέντες, Μετήλλαξαν τὴν φυσικὴν
χρῆσιν εἰς τὴν παρὰ φύσιν, ἄρσενες ἐν ἄρσεσι τὴν ἀσχημο-
38 σύνην κατεργαζόμενοι. Οὕτως ἄρα καὶ τῇ φύσει οὐ
κατὰ πάντα ἐνδίδωσιν ὁ λογισμὸς, κρατεῖ δὲ ἐν πλεί-
στοις, ὡς καὶ κρατεῖται, καὶ τοτὲ μὲν αὐτὸς ἄγει, τοτὲ
δὲ αὐτὸς ἄγεται, ὡς καὶ πρὸ ὥρας ἔσθ' ὅπῃ χερσὶν
ἐπισπᾶσθαι τὴν ἀπαλλαγὴν τοῦ σώματος, ὅτε τὸ ζῆν
39 αὐτῷ μὴ λυσιτελὲς κριθείη. Εἰ μὲν οὖν πρὸς μόνην b
τὴν οἰκείαν τοῦ σώματος φύσιν ὁ πᾶς ἀγὼν ἦν αὐτῷ,
μέτριος ἂν ἦν οὗτος· ἐπεὶ δὲ τὴν πολιτείαν καὶ τὸν ἐν
ἀνθρώποις βίον ὁ Θεὸς αὐτῷ μεταξὺ πολλῶν καταβέβλη-
ται, ὡς μετὰ θηρίων καὶ ἑρπετῶν ἰοβόλων, ἐν μέσῳ τε

11. φύσιν om. C. τὴν φύσιν τοῦ σώματος F.G.
p. 248. 3. καὶ ἐπὶ] καὶ om. C.F.G. 8. τοτὲ] τὸ D. qui mox τὸ δέ.
9. αὐτὸς ἄγεται] καὶ ἄγεται F.G. 10. ὅποι] ὅπῃ C.D.F.G. b 3. αὐτῷ]
αὐτῶν D.

eam subeundam vi ratiocinationis, ac suopte instinctu consilioque
36 permota. Similiter natura sua corpus omni voluptatum genere, ac
lævi mollique corporum commotione delectatur. At voluntas studio
37 virtutis impulsa difficile atque asperum vitæ genus arripit. Jam vero
existunt etiam aliquando nonnulli, qui in pejus deteriusque prolapsi,
naturalem usum cum eo quem horreat natura, commutent, mares cum Rom. 1,
38 *maribus libidini fœdissimæ indulgentes.* Ita ratio non semper naturæ 27.
cedit, sed in plerisque vincit, interdumque vincitur, ac modo trahit,
modo vicissim trahitur : adeo ut si quando perniciosam fore vitam
duxerit, hominis ipsa nonnunquam manibus corporis sese vinculis
39 ante tempus expedire conetur. Quanquam, si cum propria duntaxat
corporis natura luctandum ipsi foret, modica certe quidem esset ista
contentio. Nunc autem, cum Deus humanæ vitæ rationes, cum aliis
plerisque, uti cum feris venenatisque serpentibus, conjunctas ei ac
permixtas esse voluerit; cum inter ignem, aquam, et circumfusum

πυρὸς καὶ ὕδατος ἀέρος τε τοῦ περιέχοντος καὶ τῶν ἐν
τούτοις ἅπασι παρηλλαγμένων καὶ διαφόρων φύσεων
τὰς διατριβὰς πεποιῆσθαι, εἰκότως αὐτῷ ἡ διαμάχη καὶ
ἡ ἔνστασις οὐ πρὸς τὴν οἰκείαν ἐστὶ καὶ συνημμένην
αὐτῷ μόνον φύσιν τοῦ σώματος, ἀλλὰ καὶ πρὸς μυρία c
τὰ ἐκτὸς συμβεβηκότα, ὧν ἐν μέσῳ ζῇ ὁ τὸν θνητὸν
βίον διεξάγων, ὥστε καὶ πρὸς ταῦτα καρτερῶς ἀντέχειν.
40 Πολλαὶ γοῦν ἤδη καὶ τοιῶνδε τροφῶν φύσεις, καὶ τοιαίδε
συγκράσεις τοῦ περιέχοντος, κρυμῶν τε ἐπιφοραί, καὶ
φλογμῶν ἐκκαύσεις, πλεῖστά τε ἄλλα κατά τινας οἰ-
κείους λόγους φυσικῶς μὲν κινούμενα συμβατικῶς δὲ
ἡμῖν προσπίπτοντα τάραχον οὐ τὸν τυχόντα τῷ καθ'
[146] ἡμᾶς αὐτεξουσίῳ διὰ τὴν πρὸς τὸ σῶμα συμπλοκὴν
παρέσχηκε, τῆς τῶν ἡμετέρων σωμάτων φύσεως τὰς d
τῶν ἔξωθεν ἐπιφορὰς οὐχ ὑπομενούσης, κρατουμένης δὲ
καὶ νικωμένης ὑπὸ τῶν ἐκτὸς κατὰ φύσιν οἰκείαν ἐπι-

φύ

b 9. τὰς διατρ.] τὰς om. C. Supra χρήσεων D. 10. καὶ ἡ] καὶ om. D. ἡ om. G. πεποιεῖσθαι I. 11. οἰκείαν μόνον] μόνον om. C.E. F.G.I. c. αὐτόνομον φύσιν] αὐτῷ φύσιν μόνον B. αὐτῷ μόνον φύσιν C.F.G. 3. τὸν θνητὸν] τῶν θνητῶν C. 5. καὶ τοιῶνδε] ἤδη καὶ τοιῶν δὲ B.C. τοιωνδὲ D.F. γρ. add. ἤδη Vigeri marg. ἤδη καὶ τοιῶνδε G.I. 8. ἄλλα κατὰ] ἄλλα om. B. Mox λόγους om. I. 10. τῷ—αὐτεξουσίῳ] τῶν—αὐτεξουσίων C.F.G. d 3. νικωμ.] νικομ. C.

aërem, illasque naturas omnes, tam varias tamque multiplices, quæ iisdem elementis continentur, sedem ipsi domiciliumque statuerit: mirum profecto non est, si non modo cum propria conjunctaque secum ejusdem corporis natura, quæ suis legibus ipsa vivit, grave ac difficile certamen instet, verum etiam cum sexcentis aliis extrinsecus ingruentibus, inter quæ mortalis homo vivere, summaque tolerantia

Libertas rerum etiam externarum vi premitur.

40 vim eorum sustinere cogatur. Enimvero certa quoque tum ciborum quorundam natura, tum cœli temperatio; vis item frigorum, æstusque flagrantior, aliaque permulta, ut peculiares quasdam naturæque suæ proprias habeant motus sui rationes, dum tamen casu nos invadunt, perturbationem libertati nostræ non vulgarem afferre solent, propter initam sibi cum corpore societatem, cujus natura rerum externarum impetus ferre non potest, sed ab iis sæpe, tametsi naturæ

41 τελουμένων. Πάλιν τε αὖ, ἐπειδὴ μετὰ πλείστων ἀνδρῶν ποιούμεθα τὰς διατριβάς, οἱ δὲ καὶ αὐτοὶ τῆς ἴσης ἡμῖν λαχόντες οὐσίας τὸ ἐφ' ἡμῖν αὐτοῖς ἐπὶ τῆς ἰδίας ἐξουσίας ἀποφέρονται, ἐλευθέρᾳ τῇ σφῶν χρώμενοι προαιρέσει· ταύτῃ πάλιν εἰκότως καὶ ταῖς ἑτέρων γνώμαις ὑποκεισόμεθα, τοῦ αὐτῶν ἐκείνων αὐτεξουσίου ὧδέ πως ἡμῖν κατὰ τοῦ σώματος ἢ περὶ τὴν ψυχὴν χρωμένου.

42 Ὥσπερ γὰρ ἡ τοῦ σώματος ἡμῶν φύσις νικᾶται πολλάκις πρὸς τῶν ἔξωθεν προσπιπτόντων, οὕτως ἐστὶν ὅτε καὶ προαίρεσις ὑπὸ μυρίων ἔξωθεν ἐνοχλουμένη προαιρέσεων, αὐτεξουσίῳ γνώμῃ πεισθεῖσα, ἑαυτὴν p. 249 τοῖς ἔξωθεν ἐπιδίδωσι· καὶ τοτὲ μὲν βελτίων, τοτὲ δὲ χείρων ἀποτελεῖται. Οἶδε γὰρ συνουσία φαύλη κακύνειν, ὥσπερ αὖ τοὐναντίον ποιεῖν ἀμείνους τῶν καλῶν ὁμιλία. Φθείρουσι γὰρ ἤθη χρηστὰ ὁμιλίαι κακαί, ὥσπερ οὖν καὶ σώζουσι βελτιοῦσαι τῶν ἀγαθῶν αἱ συνουσίαι.

43 Καὶ λόγοις μὲν ἡ λογικὴ τῆς ψυχῆς δύναμις τῶν ἔξω-

d 5. πάλιν τε] πάλιν δὲ F. 13. ἡμῶν φύσις] φύσις ἡμῶν I. 14. ὑποπιπτόντων] προσπιπτόντων B.C.F.G. ult. ἐνοχλουμένη] ἐνοχλουσῶν B.C.F.G.

p. 249. 4. αὖ πάλιν] πάλιν om. B.C.D.F.G. 6. σώζουσι] σώζουσαι D. 7. καὶ λόγοις] εὐλόγοις C.F.G.

41 suæ vi fiant, omnino superatur. Præterea, quoniam degere nos oportet versarique cum plurimis, iique similem nostræ sortiti naturam, quod nostræ facultatis est, sua ipsi auferunt potestate, arbitrii sui libertate usi: fit etiam ut alienæ simul voluntati succumbamus, dum ipsa nobis hunc in modum vel corpore vel animo tenus abutitur.

42 Quemadmodum enim ab iis, quæ extrinsecus eveniunt corporis sæpe nostri natura vincitur: ita voluntas ipsa nonnunquam sexcentis aliorum opinionibus sententiisque jactata, sponte licet arbitrioque suo, voluntati tamen obsecundat alienæ. Ita melior ipsa modo, modo deterior efficitur. Improborum enim consuetudine vitium contrahimus, quemadmodum efficimur proborum usu ac societate meliores. *Corrumpunt enim mores bonos colloquia mala:* perinde nimirum, uti virorum bonorum congressus virtutem nobis pariter salutemque

Libertas communibus sæpe opinionibus cedit.

1 Cor. 15, 33.

43 conciliat. Verum, ut animi facultas illa rationis compos, alienis

θεν ἐπισυμβαινόντων ὧδέ πως καὶ τῇδε φέρεται· ἰσχύει
δὲ πάλιν οἰκεία καὶ λογικῆς οὐσίας ἀρετὴ, καὶ θείαν ὡς b
ἀληθῶς καὶ θεοειδῆ τὴν δύναμιν ἐπιδείκνυται, ὅτε πρὸς
πάντα τὰ ἐκτὸς ἀντέχουσα, καὶ τὰ πάντα ἐλευθέρῳ φρο-
νήματι ὑπερνικῶσα, πρὸς οὐδὲν τῆς οἰκείας ἀρετῆς ὑφιε-
μένη, φιλοσοφεῖν παρεσκεύασται. Ὅτε μὴν ὀλιγωρεῖ,
ὑπὸ τῶν χειρόνων τὰ χείριστα διατίθεται, ὥσπερ οὖν
44 καὶ βελτιοῦται τῆς ἔξωθεν τυγχάνουσα ἐπιμελείας. Τί
χρὴ λέγειν ἐπὶ τούτοις, ὡς καὶ φοραὶ καὶ ἀφορίαι τοιῶνδε
ψυχῶν καὶ σωμάτων, κατά τινα περίπτωσιν οἰκείως τῇ
τῶν παντὸς διοικήσει συντελούμεναι, εὖ τε καὶ ὀρθῶς c
ἔχουσαι τῷ παντὶ, πλείστην ὅσην τοῖς κατὰ μέρος καὶ
δὴ καὶ τοῖς ἐφ' ἡμῖν παντοίας κινήσεως περιουσίαν
45 ἀπειργάσαντο; Πᾶσιν δὲ καθόλου τοῖς οὖσι, τοῖς τε
παρ' ἡμᾶς γινομένοις καὶ παρὰ τὴν ἡμετέραν αἰτίαν, καὶ
τοῖς ἔξωθεν κατὰ συμβεβηκὸς ἐπιοῦσι, τοῖς τε φυσικῶς

a 10. ἰσχύει] ἰσχύι C.F. b 2. ὅτι—πάντα] ὅτε—ταῦτα C. ὅτε D. F.G.I.V. γρ. S. ἴσ. ὅτε Vigeri margo. 6. ὅσα γε μὴν] ὅτε μὴν B.F. ὅτε μὲν C.D.G. ὅτε γε μὴν I. Tum ὀλιγωρεῖν D. 7. χειρόνων] χρό-νων C. 10. ἀφορίαι] εὐφορίαι C. Tum τοιωνδὶ B.C.D.F. 11. περί-πτωσιν] τρόπον περίπτωσιν V. τρόπον περιπίπτωσιν I.S. c. συντελού-μεναι] συντελουμένη D. 5. οὖσι] πᾶσι B. qui om. τοῖς τε—γινομένοις. 7. φυσικῶς] φυσικοῖς C.F.G. Supra ἐπισιοῦσι D.

sæpe verbis atque rationibus huc illucque versetur: vincit tamen sua virtute nonnunquam, vimque plane divinam ostendit; quoties adversus externos assultus omnes obfirmata, cunctorumque libera quadam ingenuaque constantia victrix, nihil usquam virium remittens suarum, ad strenue philosophandum sese comparat. Quod studium dum ipsa negligit, a deterioribus pessime haberi afficique solet; quemadmodum exteriore cultu perpolita, majoris in dies probitatis accessione cumu-
44 latur. Quid porro commemorare attinet, ut certorum quorundam et animorum et corporum aut proventus, aut penuria, tametsi casu quodam ad universi gubernationem proprie conferat, ejusque ordini præclare omnino conveniat, tamen cum singulis partibus, tum iis quoque rebus, quæ facultatis ac potestatis nostræ sunt, incredibilem

Divinam providentiam cunctis præesse.

45 sæpe affert mutationis æstum. Cæterum cunctis omnino rebus, seu consilio fiant impulsuque nostro, seu fortuito aliunde contingant, seu

ἐνεργουμένοις, μία παναλκὴς καὶ παντοδύναμος ἐπιστατεῖ ἡ διὰ πάντων ἐπιπορευομένη τοῦ Θεοῦ πρόνοια, ἣ καὶ τὰ πλεῖστα θειοτέροις ἡμῖν τε ἀρρήτοις οἰκονομεῖ λόγοις,
εὐηνίως τὸ πᾶν διακυβερνῶσα, πολλά τε καὶ τῶν κατὰ d
φύσιν ἐπὶ τὸ προσῆκον τοῖς καιροῖς μετασκευάζουσα, συνεργοῦσά τε καὶ συμπράττουσα τοῖς ἐφ' ἡμῖν, καὶ τοῖς ἐκτὸς πάλιν συμβαίνουσι τὴν δέουσαν τάξιν ἀπονέμουσα.

46 Τούτων εἰς τρία τοῦτον διῃρημένων τὸν τρόπον, εἴς τε τὰ ἐφ' ἡμῖν, καὶ τὰ κατὰ φύσιν γινόμενα, τά τε κατὰ συμβεβηκὸς, πάντων δὲ ἐφ' ἕνα λόγον τὸν ἐκ Θεοῦ βουλῆς ἀνακεφαλαιουμένων, οὐδαμοῦ μὲν ὁ περὶ
47 εἱμαρμένης χώραν ἕξει λόγος. Γένοιτο δ' ἂν ἡμῖν
εὑρημένη καὶ ἡ παρὰ τοῖς πολλοῖς ἀπορουμένη τῆς κακίας πηγὴ, ἐν οὐδενὶ μὲν χώραν ἔχουσα τῶν κατὰ φύσιν, οὔτ' ἐν σώμασιν, οὔτ' ἐν οὐσίαις, πολλοῦ δεῖ ἐν τοῖς κατὰ συμβεβηκὸς ἔξωθεν ἐπιγινομένοις· εὑρεθείη δ' ἂν

d 3. τοῖς] τοῦ F. 5. τοῦτον] om. B. 7. γινομ.] γιγνομ. B. 8. τε ἐφ'] δὲ ἐφ' B.C.F.G. 9. μὲν ὁ] μὲν om. C.G. et ni fallor F. Mox χώραν om. C.D. 12. τῆς κακ.] τῆς om. I. 13. ἔχουσαν D. et mox σώματι. 14. Post οὐσίαις ἴσ. add. πνευματικαῖς Vigeri margo. δὲ] δεῖ B.C.I. Viger.

denique naturalem habeant ortus sui rationem, summa una præpotensque Dei providentia moderatur, quæ cum omnia permeet, tum plurima divinioribus quibusdam rationibus, captumque nostrum fugientibus administrat: cumque suis veluti habenis obsecundans hoc universum ac flexibile habeat, tum res etiam plerasque naturales ad varias temporum occasiones fingit ac mutat, itaque potestati arbitrioque nostro subditas auxilio promovet suo, ut iis quæ extrinsecus eveniunt suum quoque locum et consentaneum ordinem attribuat.

46 Cum ergo tria hæc rerum genera statuantur, ut aliæ nostra ex voluntate pendeant, aliæ prout natura postulat, aliæ denique fortuito eveniant, eædemque simul ad unam divini consilii rationem universæ
47 revocentur; locus plane nullus fato relinquatur necesse est. Quin-
etiam fontem jam illum improbitatis noverimus, a plerisque omnibus ignoratum, qui cum nec in corporum, nec in spiritalium substantiarum natura, multo minus in iis quæ extrinsecus accidunt positus sit; reliquum est, ut in libero tantum animi sensu motuque reperiatur:

ἐν μόνῃ τῇ τῆς ψυχῆς αὐτοπροαιρέτῳ κινήσει, καὶ ἐν p. 250 ταύτῃ οὐχ ὅτε κατὰ φύσιν ὁδεύουσα τὴν εὐθεῖαν βαδίζει, ἀλλ᾽ ὅτε τῆς βασιλικῆς ἐκστᾶσα οἰκείᾳ γνώμῃ τὴν παρὰ φύσιν τρέπεται, αὐτὴ ἑαυτῆς καθεστῶσα κυρία.
48 Ἐπειδὴ τοῦτο γέρας ἐξαίρετον παρὰ Θεοῦ λαβοῦσα, ἐλευθέρα καὶ αὐτοκράτωρ τυγχάνει, τῆς οἰκείας ὁρμῆς τὸ κριτήριον εἰς ἑαυτὴν ἀναδεδεγμένη· νόμος δὲ θεῖος αὐτῇ συνεζευγμένος κατὰ φύσιν, λαμπτῆρος καὶ φωστῆρος
[147] δίκην, ἐπιφωνεῖ ἔνδοθεν ὑπηχῶν αὐτῇ καὶ λέγων, Ὁδῷ βασιλικῇ πορεύσῃ, οὐκ ἐκκλινεῖς δεξιὰ οὐδὲ ἀριστερά· βασιλικὴν τὴν κατὰ τὸν ὀρθὸν λόγον πορείαν εἶναι δι- b
49 δάσκων. Τοῦτον γὰρ ἁπάσῃ ψυχῇ φυσικὸν νόμον βοηθὸν αὐτῇ καὶ σύμμαχον ἐπὶ τῶν πρακτέων ὁ τῶν ὅλων δημιουργὸς ὑπεστήσατο· διὰ μὲν τοῦ νόμου τὴν εὐθεῖαν αὐτῇ παραδείξας ὁδὸν, διὰ δὲ τῆς αὐτῇ δεδωρημένης αὐτεξουσίου ἐλευθερίας τὴν τῶν κρειττόνων αἱρε-

d 15. τῇ τῆς] τῇ om. F.
p. 250. βαδίζουσα—ὁδεύει] ὁδεύουσα—βαδίζει C.F.G.S.V. βαδίζει item
εύ
B.D. ὁδοῦσαι D. 5. παρὰ] περὶ D. 7. ἀναδεδειγμένη] ἀναδεδεγμένη B.C.F.G. 8. συνεζευγμένος] συνεζευγμένως C. συνεζευμένος F. 11. ἐκκλινεῖς] ἐκλινεῖς B. Tum δεξιᾷ—ἀριστερᾷ B. ἢ B.C.D.F.G. pro οὐδέ. Mox πορείαν post διδάσκων F.G. b 6. αὐτεξουσίου] αὐθεκουσίου D.F.G.I.

nec tamen, dum naturam sequutus, rectam insistit viam, sed tum duntaxat, cum a regio deflectens itinere, suopte arbitratu, uti juris ille sui suæque potestatis est, in alienam a natura semitam deerrat.
48 Enimvero, cum eximium hoc a Deo et singulare munus acceperit, ut libertatem ac summum in se ipsam imperium obtineret; motuum quidem suorum rationes habet suo ex arbitrio judicioque pendentes: sed tamen divina lex cum eodem, naturali quadam societate, lampadis instar facisque conjuncta, inclamat subinde ac monet interius, uti
Num. 20, 17. *regia incedat via, nec ad sinistram aut dexteram ullatenus declinet,* viam hanc regiam, congruentem et consentaneam rectæ rationi viam
Lex naturalis a deo nobis impressa.
49 esse docens. Quippe naturalem hancce legem, qua suis in actionibus uteretur, animæ cuilibet tanquam auxiliatricem, universi molitor impressit: atque ita, quemadmodum hujus vi legis, rectam ipsi viam commonstravit, sic plena illa, quam eidem concessit, integraque libertate perfecit, uti rerum meliorum delectus non laude tantum et

σιν ἐπαίνου καὶ ἀποδοχῆς ἀξίαν ἀποφήνας γερῶν τε καὶ μειζόνων ἐπάθλων τῶν ἐπὶ τοῖς κατορθουμένοις, ὅτι μὴ βεβιασμένως γνώμῃ δὲ αὐτεξουσίῳ κατώρθου, παρὸν καὶ τὴν ἐναντίαν ἑλέσθαι· ὡς ἔμπαλιν τὴν τὰ χείριστα c ἑλομένην ψόγου καὶ τιμωρίας εἶναι ἀξίαν, ἅτε οἰκείᾳ κινήσει τοῦ μὲν κατὰ φύσιν νόμου παραμελήσασαν, κακίας δὲ ἀρχὴν καὶ πηγὴν ἀπογεννήσασαν, φαύλως τε ἑαυτῇ κεχρημένην οὐκ ἔκ τινος ἔξωθεν ἀνάγκης ἀλλ' ἐξ
50 ἐλευθέρας γνώμης καὶ κρίσεως. Αἰτία δὴ τοῦ ἑλομένου, Θεὸς ἀναίτιος. Οὔτε γὰρ φύσιν φαύλην ὁ Θεὸς εἰργάσατο, οὐδέ γε ψυχῆς οὐσίαν· ἀγαθῷ γὰρ οὐδὲν πλὴν ἀγαθὰ δημιουργεῖν θέμις. Ἀγαθὸν δὲ πᾶν ὅ τι κατὰ φύσιν. Ψυχῇ δὲ πάσῃ λογικῇ κατὰ φύσιν πάρεστι τὸ d αὐτεξούσιον ἀγαθὸν, καὶ τοῦτο ἐπ' ἀγαθῶν αἱρέσει γε-
51 γενημένον. Φαύλως δὲ ὅτε πράττει, οὐ τὴν φύσιν αἰτιατέον. Οὐ γὰρ κατὰ φύσιν, παρὰ φύσιν δὲ αὐτῇ

b 10. γνώμη δ' αὐτεξουσίου F.G. c 2. ἑλομένην] ἑλουμένην D. ψόγου] ψόγον C. 7. τε καὶ] τε om. B.C.F.G. Mox αἰτία δὲ I. 8. οὔτε] ὅτι F. 11. ἀγαθὸν δὲ] ἀγαθὸν γὰρ C. d. κατὰ φύσιν om. D. πάρεστι] παρέστη C. κατὰ φύσιν B.C.D.F. post ἀγαθόν. Al. post λογικῇ. 2. γεγενημένον] γεγενημένων C. 4. γίνεται] γίνετο F.

approbatione, sed amplioribus etiam, ubi res præclare cessisset, præmiis dignus esset; quod citra vim ullam, pro arbitratu consilioque suo recte agere statuisset, cum tamen contrarium optare potuisset: contraque deteriorum electioni vituperatio suppliciumque deberetur, quod in eam suopte nutu spreta naturæ lege ferretur, ac sese perperam abusa, nulla extrinsecus necessitate cogente, sed libero plane sensu atque judicio, improbitatis ipsa caput fontemque aperiret.
50 Tota ergo culpa deligentis est, nulla Dei. Neque enim pravam Deus, aut naturam, aut animi substantiam procreavit. Nam bonus ipse cum sit, ullius eum rei, nisi bona quoque fuerit, auctorem esse nefas est. Bonum id omne porro est, quicquid a natura est: cuilibet autem animo ratione prædito libertatis et arbitrii bonum a natura inest, nec alium ad finem, quam ad boni electionem inditum. Neque vero, prava cum sequitur, naturæ assignandum id est; cum ipsi pravum non a natura, sed præter naturam contingat, utpote quod
51 voluntatis opus sit, non naturæ. Cui enim optandi boni vis et

Plat. Rep. X. p. 617 c.
Aberratio voluntatis, culpæ nostræ est, non Dei vel naturæ.

γίνεται τὸ φαῦλον, προαιρέσεως ὂν ἀλλ᾽ οὐ φύσεως
ἔργον. Ὧι γὰρ παρῆν δύναμις τῆς τἀγαθοῦ αἱρέσεως,
ὅτε μὴ τοῦτο εἵλετο, ἑκὼν δὲ τὸ κρεῖττον ἀπεστράφη
τοῦ χείρονος μεταποιηθεὶς, τίς ἂν τούτῳ τόπος ἀποφυ-
γῆς λείποιτο τῆς οἰκείας αἰτίῳ καταστάντι νόσου, τοῦ
τε συμφύτου νόμου σωτῆρος οἷα καὶ ἰατροῦ παραμελή-
52 σαντι; Ὁ δὴ τούτων ἁπάντων μηδένα λόγον ποιούμε-
νος, ἀνάγκης τε καὶ ἄστρων φορᾶς ἀναρτῶν τὰ πάντα,
τῆς τε τῶν πλημμελουμένων ἀνθρώποις ἀτοπίας μὴ ἐξ p. 251
ἡμῶν εἶναι φάσκων τὰ αἴτια ἀλλ᾽ ἐκ τῆς τὰ πάντα
κινούσης δυνάμεως, πῶς οὐκ ἀνόσιον καὶ δυσσεβῆ λο-
53 γισμὸν εἰσφέροι ἄν; Εἴτε γὰρ αὐτόματον καὶ ἀπρονόη-
τον θείη τὴν τοῦ παντὸς φορὰν, ἐλέγχοιτ᾽ ἂν ὡς αὐτόθεν
ἄθεος, πρὸς τῷ καὶ ἀβλεπτεῖν περὶ τὴν πάνσοφον ἁρ-
μονίαν καὶ τὴν τῶν ὅλων διάταξιν εὖ καὶ ἐν κόσμῳ τὴν
δι᾽ αἰῶνος κίνησιν ἀνακυκλουμένην· εἴτε θεοῦ πρόνοιαν

d 5. οὐχὶ] οὐ B.C.D.F.G. 6. τἀγαθοῦ] τοῦ ἀγ. B.C.F.G. 8. ἀπεστράφη] ἀπεστράφθαι I. 10. καταστάντι] καταστήσαντι C.F.G. 11. ὁ δὴ] εἰ δὴ C.F.G. Supra καὶ om. F. 12. ποιούμενος] πεποιημένος I. 13. ἀναρτῶν] ἀναργῶν C. ult. τῆς τε τῶν πλημ.—ἀπ᾽ αἰῶνος om. B. τε om. I.

p. 251. ἀλλ᾽ ἐκ] ἀλλὰ C.F.G. 3. δυσσεβῆ] ἀσεβῆ C.D.F.G.S.V. 5. ἂν ὡς] ἂν ὢν I. 6. περὶ] παρὰ C.D.F.G. 7. καὶ om. D.

facultas insit, is si minime optaverit, si repudiatis sponte melioribus,
deteriora sectatus fuerit, quem ipse tandem reliquum habeat effugi-
endi locum, qui et intestinum sibi morbum crearit, et innatam sibi
legem, perinde ac servatorem quendam medicumque neglexerit?

Flagitium est, sideribus vim humanam in voluntatem tribuere.

52 Quisquis ergo, nulla horum omnium habita ratione, ex necessitate
potius ac siderum conversione cuncta suspendit, quique eorum quæ
ab hominibus peccantur pravitatem, non jam nobis, sed vi cuidam ac
potestati, qua moventur omnia, tribuendam esse docet; quis non
53 flagitiosam ab eo impiamque sententiam invehi arbitretur? Nam
sive casu ac temere hoc universum moveri statuet, præterquam quod
in exquisitissimo illo concentu, ac rerum universarum ordine, qui
motum ipse suum ex omni ævo summa cum æquabilitate convertit,
omnino cæcutiet; divinam hoc ipso naturam plane sustulerit. Sive
divina providentia flecti regique orbem, eamque non cunctis modo

ἄγειν καὶ φέρειν ἐπιστατεῖν τε πᾶσι καὶ πανσόφῳ λόγῳ διοικεῖν ὁμολογήσει, οὐδ᾽ οὕτω τοῦ δυσσεβοῦς ἐκπέφευγε τὴν ἀτοπίαν· ἐπειδὴ τῶν ἐν ἀνθρώποις ἁμαρτανομένων τοὺς μὲν πλημμελοῦντας ἀπολύει, ὡς μηδὲν τῶν ἀτόπων b ἐξ οἰκείας γνώμης διαπεπραγμένους, ἀνάγει δὲ τὴν αἰτίαν τῶν κακῶν ἐπὶ τὴν καθόλου πρόνοιαν, ἀνάγκην αὐτὴν καὶ εἱμαρμένην ἀποκαλῶν, καὶ πάσης τῆς ἐν ἀνθρώποις αἰσχρουργίας καὶ ἀρρητοποιίας ὠμότητός τε
54 καὶ μιαιφονίας αἰτίαν εἶναι λέγων. Καὶ τίς ἂν εἴη τούτου δυσσεβὴς ἄλλος, τὸν τῶν ὅλων Θεὸν, αὐτὸν δὴ τὸν ποιητὴν καὶ δημιουργὸν τοῦδε τοῦ παντὸς, εἰσάγων ἐπάναγκες ἐκβιαζόμενον τόνδε μὲν οὐκ ἐθέλοντα ἀσεβεῖν τοῦτο πράττειν, καὶ ἄθεον εἶναι κατ᾽ ἀνάγκην, καὶ εἰς c ἑαυτὸν βλάσφημον, τόνδε δὲ, ὃν αὐτὸς τὴν φύσιν ἄρρενα συνεστήσατο, πάσχειν παρὰ φύσιν τὰ θηλειῶν οὐ κατὰ προαίρεσιν κατηναγκασμένον δὲ πρὸς αὐτοῦ, καὶ ἄλλον ἀνδροφόνον γίνεσθαι μὴ παρὰ τὴν οἰκείαν γνώμην ὑπ᾽ ἀνάγκης δὲ ἐλαυνόμενον τοῦ Θεοῦ, ὡς μηδ᾽

a 10. πᾶσι] τοῖς πᾶσι E.I. 11. εὐσεβοῦς F. pro δυσ. 12. ἀτοπίαν] ἴσ. αἰτίαν Vigeri margo. b. ἀπολύει] ἀπολύειν E. 8. εἴη om. C.D. F.G. Post ἄλλος nescio an exciderit μᾶλλον, ἢ ὁ. c 2. τὴν φύσιν om. D.F.G. 5. εἰ μὴ παρὰ F.G.

præesse rebus, sed ipsas quoque sapientissimo consilio moderari fatebitur: ne sic quidem impietatis crimen effugerit, cum et ab iis sceleribus, quæ inter homines vulgo committuntur, auctores ipsos, quasi nihil ab iis suapte voluntate peccetur, immunes ac liberos esse velit; et malorum caussam in communem illam universalemque providentiam conferat, necessitatis eam fatique nomine, obscœnitatis omnis atque flagitii, quod ab hominibus suscipiatur, crudelitatis item ac
54 parricidii fontem esse defendens. Cujus vero major impietas esse possit, quam ejus qui rerum omnium præpotentem Deum, ipsum, inquam, universi conditorem et architectum inducat, alteri quidem impietatem aversanti, ut impius, atque in se ipsum, omni religione sublata, contumeliosus sit, necessitatem afferentem; alterum, quem ipse natura marem procrearit, ad muliebria præter natnram, non voluntarie, sed illata vi, subeunda cogentem: alterum denique, ad hominum cædes, invitum licet, divinitus impellentem? Ex eo quippe

Deus peccati auctor esse non potest.

εὐλόγως ἐπιμέμφεσθαι τοῖς πλημμελοῦσιν, ἀλλ' ἤτοι
μηδὲ ἁμαρτήματα ταῦτ' εἶναι ἡγεῖσθαι, ἢ τῶν κακῶν
55 ἁπάντων ποιητὴν εἶναι τὸν Θεὸν ἀποφαίνεσθαι; Εἴτε
γὰρ αὐτὸς τοῖς πᾶσιν ἐπιπαρὼν καὶ τὰ πάντα ὁρῶν καὶ
[148] πάντα ἀκούων ταῦτα πράττειν ἀναγκάζει, εἴτε τὴν τοῦ d
παντὸς φορὰν καὶ τὴν τοιάνδε τῶν ἄστρων κίνησιν αὐ-
τὸς τούτων ποιητικὴν καὶ ἀναγκαστικὴν ὑπεστήσατο, ὁ
τὸ τοιόνδε συστήσας ὄργανον, καὶ τὴν τῶν θηρωμένων
παγίδα μηχανησάμενος, εἴη ἂν αὐτὸς ὁ καὶ τῶν ἁλισκο-
56 μένων αἴτιος. Εἴτ' οὖν αὐτὸς καθ' ἑαυτὸν, εἴτ' οὖν πάλιν
αὐτὸς διά τινος ἄλλης πρὸς αὐτοῦ μεμηχανημένης ἀνάγ-
κης τοὺς οὐκ ἐθέλοντας τοῖσδε τοῖς κακοῖς περιβάλλει,
αὐτὸς ἂν εἴη, καὶ οὐκ ἄλλος, ὁ πάντων κακῶν ποιητικὸς,
καὶ οὐκ ἔτ' ἂν ἐν δίκῃ ἡμαρτηκὼς ἂν ὁ ἄνθρωπος λέ-
57 γοιτο, ἀλλ' ὁ τούτου ποιητὴς Θεός. Καὶ τίς ἂν τούτου p. 252
γένοιτ' ἂν ἕτερος λόγων ἀσεβέστερος; Ὃ δὴ οὖν εἱμαρ-

c 12. πάντων] πάντα S.V. d. ἀναγκάζοι] ἀναγκάζει C.F.G. 3. ἀναγκαστικὴν] ἀναγκαστὴν D. 9. περιβάλλοι] περιβάλλει C.F.G. 11. ἁμαρτηκὸς] ἁμαρτητικὸς C. qui λέγοιτο post ἄνθρωπος sine ἄν. ἁμαρτητικὸς ὁ ἄνθρωπος λέγοιτο D. ἁμαρτικὸς ὁ ἄ. λ. F. ἁμαρτετικὸς ὁ ἄ. G. 12. ποιητὴς] ποιητικὸς (τῆς superscr.) D.

p. 252. γένοιτ' ἂν] ἂν om. I. 2. ἀσεβέστατος] ἀσεβέστερος videtur reponendum.

consequens omnino fuerit, nemo ut illos, qui ejusmodi sese maleficiis obstrinxerint, accusare merito possit; sed potius, ut vel ista non jam peccatorum in loco habeantur, vel Deus ipse malorum omnium
55 auctor censeatur. Nam sive præsens ipse rebus intersit omnibus, omnia videat, audiat omnia, simulque ad ea scelera mortales adigat: sive conversionem universi, astrorumque motum ipsemet ejusmodi constituerit, cui tot maleficiorum necessitas debeatur: qui tale conflaverit instrumentum, et capiendis induendisque hominibus laqueum machinatus sit, is profecto cur iidem irretiantur, caussa sit, necesse
56 est. Itaque seu per sese Deus, seu alia quavis, quam molitus ipse fuerit necessitate, his malis invitos constringat; unus ipse plane, alius nemo, cunctorum malorum architectus habeatur: nec jam
57 sceleratus homo jure, sed ejus procreator dicatur Deus. Quo quidem orationis genere quodnam aliud impium magis esse queat? Maneat

μένην εἰσάγων ἄντικρυς Θεὸν καὶ Θεοῦ πρόνοιαν ἐξωθεῖ,
ὥσπερ ὁ τὸν Θεὸν ἐφιστὰς τοῖς πᾶσιν ἀνέλοι ἂν τὸν
περὶ εἱμαρμένης λόγον. Ἢ γὰρ ταυτὸν ἂν εἴη ὁ Θεὸς
καὶ εἱμαρμένη, ἢ θάτερον διεστὼς ἑτέρου. Ταυτὸν μὲν
58 οὖν οὐκ ἂν γένοιτο. Εἰ γὰρ τὴν εἱμαρμένην εἱρμόν
τινα αἰτιῶν εἶναί φασιν ἀπ᾽ αἰῶνος ἀπαραβάτως καὶ
ἀμετακινήτως ἐκ τῆς τῶν οὐρανίων ἄστρων φορᾶς καθή-
κοντα, πῶς οὐ πρότερα ἂν εἴη τῆς εἱμαρμένης τὰ σω- b
ματικὰ στοιχεῖα, ἐξ ὧν καὶ τὰ οὐράνια συνέστηκεν, ὧν
τὴν εἱμαρμένην συμβεβηκός τι σύμπτωμα λέγοι ἄν τις
59 εἰκότως; Καὶ πῶς ἂν ταυτὸν εἴη τὸ συμβεβηκὸς τοῖς
στοιχείοις τῷ ἐπὶ πάντων Θεῷ, εἰ δὴ τὰ στοιχεῖα ἄψυχα
καὶ ἄλογα κατὰ τὴν οἰκείαν ἐπιθεωρεῖται φύσιν, ὁ δὲ
Θεὸς ἔξω σωμάτων αὐτοζωὴ καὶ σοφία τυγχάνει ὤν, τῆς
ἐξ αὐτοῦ δημιουργίας τοῖς τε κατὰ μέρος στοιχείοις καὶ
τῇ τῶν ὅλων διακοσμήσει τὴν ἀπόλαυσιν δωρούμενος;
60 Οὐ ταυτὸν ἄρα Θεὸς καὶ εἱμαρμένη. Εἰ δὲ δὴ ἕτερον, c
πότερον κρεῖττον; Ἀλλ᾽ οὐδὲν τοῦ Θεοῦ κάλλιον, οὐδέ

a 5. τὸν περὶ] τὸν om. F. 6. ὁ θεὸς] ὁ om. C.F.G. Tum ἡ εἱμαρ. I. Mox διεστὼς C.I. Vig. διεστὸς Steph. 11. πρότερα] πρότερον C.

igitur, qui fatum invexerit, ab eo Deum continuo Deique providentiam
funditus exterminari: perinde, ut qui Deum rebus præficit universis,
omnem is una tollit fati rationem. Enimvero, aut Deus et fatum
idem erunt, aut alterum ab altero distinguetur. Jam ut idem sint,
58 fieri nullo modo potest. Nam si fatum seriem quandam esse volunt,
nexumque caussarum, certo atque constanter ex cœlestium astrorum
conversione pendentem; quis non priora fato ipso elementa esse
intelligat, ex quibus cœlestia corpora conflata sint? quorum sane
fortuitum quendam casum esse fatum, quivis opinor merito dixerit.
59 Quod autem elementis fortuitum est, idem illud ac præpotentem
universi Deum esse, quis putet? Elementa quippe, natura sua, cum
anima tum ratione carent: at Deus et ab omni corporis concretione
sejunctus, et vita per sese quædam ac sapientia est, idemque non
singulis tantum elementis, sed totius etiam universitatis pulchritu-
60 dini, vis in procreando suæ copiam facit. Non idem ergo sunt fatum
atque Deus. Sin autem diversum aliquid a Deo fatum est: utrum

Fatum qui ponit, Deum tollit.

τι δυναμικώτερον. Οὐκοῦν κρατήσει καὶ περιέσται τοῦ χείρονος, ἢ συγχωρῶν κακοποιῷ τυγχανούσῃ τῇ εἱμαρμένῃ αὐτὸς ἂν ἐφέλκοιτο τὴν αἰτίαν, ὃς δυνατὸς ὢν ἐπισχεῖν τὴν κακοποιὸν ἀνάγκην οὐκ ἐπέσχεν, ἀνῆκε δὲ ἄφετον ἐπὶ λύμῃ καὶ διαφθορᾷ τῶν ἁπάντων, μᾶλλον δὲ αὐτὸς τοῦτο εἰργάσατο, εἰ δὴ πάντων καὶ αὐτῆς εἱ-
61 μαρμένης ποιητὴς καὶ δημιουργὸς εἰσάγοιτο. Εἰ δ' οὐδεὶς αὐτῷ λόγος τῆς τοῦ παντὸς διατάξεως, ἀθέων αὖθις ἀνακύψειε φωνή, πρὸς ἣν τὰς ἀκοὰς ἀποκλειστέον, d
τῆς ἐνθέου προνοίας καὶ δυνάμεως ἐναργῶς ἀποφαινούσης ἑαυτὴν ἔκ τε τῶν καθόλου πανσόφων καὶ τεχνικῶν ἀποτελεσμάτων, ἔκ τε τῶν καθ' ἡμᾶς ἀναμφιλόγως τὴν ἐλευθέραν καὶ αὐτεξούσιον τῆς λογικῆς ψυχῆς δύναμιν
62 παραδεικνυμένων. Καθ' ἣν καίτοι μυρίων ἔξωθεν ἐμποδὼν τῇ τε τοῦ σώματος φύσει ταῖς τε κατὰ προαίρεσιν ἐφ' ἡμῖν ὁρμαῖς κατά τι συμβεβηκὸς προσπιπτόντων, ὅμως πρὸς ἅπαντα τῆς κατὰ ψυχὴν ἀρετῆς τὸ

c 6. ὢν om. I. 7. ἐποίησε τοῦτο] ἐπέσχεν B.C.D.F.G. Mox δ' ἄνετον B.C.D.F.G.S.V. 11. εἰ] κ' εἰ I. 12. αὖθις] αὖ C.F.G. d 3. ἀποφαινούσης] ἀναφαινούσης D.F.G.I. 5. ἐλευθέραν] ἐλεύθερον B.C.G.I. 8. μυρίων] μωρίων C.

melius quidpiam? At Deo, nec melius quicquam, nec potentius est. Aut igitur vincet ille superabitque quod humilius est, aut si fato malorum architecto cesserit, culpam ipse totam sustinebit, qui cum artificem mali necessitatem inhibere posset; non fecerit tamen, sed eam potius in omnium pestem atque perniciem libere grassari permiserit, seu verius id ipsemet fecerit, si quidem is et rerum omnium,
Dei providentia notissima. 61 et ipsius quoque fati auctor ac molitor habeatur. Nam si de universi administratione, Deo susque deque; vox denuo impiorum existat, cui tamen occludendæ aures illico sunt; cum sese divina vis ac providentia clare spectandam exhibeat, et universe operibus admirabili plane consilio solertiaque perfectis, et iis proprie, quæ nobis conjuncta cum sint, tum liberam suoque gaudentem jure animi ratione
62 præditi facultatem evidenter ostendunt. Qua quidem fieri solet, ut infinita licet extrinsecus, aut naturæ corporis, aut susceptis ultro motibus impedimenta fortuito sese objiciant, omnibus tamen libera virtus animi constanter obsistat, voluntariam boni electionem, nostræ

ἐλεύθερον ἀντέχει, ἄμαχον καὶ ἀήττητον τὸ ἐφ' ἡμῖν
63 τῶν καλῶν τὴν αἵρεσιν ἐπιδεικνύμενον. Τοῦτο δὲ μά- p. 253
λιστα καὶ ὁ παρὼν καιρὸς τῆς τοῦ Σωτῆρος ἡμῶν διδα-
σκαλίας ἔργοις αὐτοῖς παρεστήσατο. Ὅτι γὰρ ταῦτα
μὴ ψόφοι καὶ κενὰ ῥήματα, πάρεστί σοι τὸν τῶν θεοσε-
βῶν ἀγῶνα ἐπιβλέψαι, καὶ συνιδεῖν τοὺς προαιρέσει
αὐθεκουσίῳ τοὺς πόνους τῶν ὑπὲρ εὐσεβείας ἄθλων ανα-
δεδεγμένους· οὓς καθ' ὅλης τῆς ἀνθρώπων οἰκουμένης
μυρία πλήθη Ἑλλήνων τε καὶ βαρβάρων ἐνεδείξατο,
πάσας μὲν προθύμως τὰς κατὰ τοῦ σώματος ὑπομεί-
ναντα αἰκίας, πᾶν δὲ βασάνων εἶδος φαιδρῷ τῷ προσ- b
ώπῳ διελθόντα, καὶ τέλος πολυτρόποις σχήμασι τὴν
ἀπὸ τοῦ σώματος λύσιν τῆς ψυχῆς ἀσπαστῶς κατα-
64 δεξάμενα. Καὶ μὴν οὐδεὶς ἐνταῦθα λόγος ἐπιτρέψειε
τὴν εἱμαρμένην αἰτιᾶσθαι. Ποῦ γάρ σοι ἐξ αἰῶνος
[149] τοιούσδε ἀθλητὰς εὐσεβείας ἤνεγκεν ἡ τῶν ἄστρων φορά;

d 13. τὸ ἐφ'] τὸ om. B.C.F.G.I. Mox καιρὸς om. I.
p. 253. 2. εὐαγγελικῆς om. B.C.D.F.G. ante διδασκαλίας. ἔργοις] ἔργον B. 3. ψόφοι] ψόφον B. 4. πάρεστι] παρέστη B. qui mox om. τόν. 5. ἐπιβλέψαι καὶ] ἐπὶ καὶ C. 7. ἀναδεδειγμένους] ἀναδεδεγμένους F.G. 10. σώματος] B. pr. addit ψυχάς, sed postea erasit. Supra προθυμίας (ως superscr.) D. Mox ὑπομείναντας D. b. τῷ] που C. φαιδρωποῦ F. φαιδρωπῷ G. 6. ἐκ μακροῦ αἰῶνος] ἐξ αἰῶνος B.C.D.F.G.

cujusdam potestatis esse, quæ vinci expugnarique non possit, osten-
63 dens. Atque id profecto, vel hoc ipsum evangelicæ Servatoris nostri doctrinæ tempus re ipsa maxime comprobavit. Quippe, ne tu ista forte verborum inanem sonitum existimes, uno aspectu sanctissimorum martyrum dimicationem, eorumque seriem intueri potes, qui suopte arbitrio susceptorum pro pietate certaminum labores maximos subiere: quos quidem innumerabilis toto passim orbe, tam barbarorum, quam Græcorum multitudo sustinuit; quæ cum alacriter omnes corporis cruciatus tolerasset, ac genera tormentorum omnia hilari vultu exhausisset, tum variam denique, ac specie formaque multipli-
64 cem animi corporisque dissolutionem perlibenter excepit. Quo quidem in genere, fato causam assignare ratio nulla patiatur. Nam ubi tandem, ut ex longissima memoria repetas, ejusmodi pietatis athletas siderum conversio protulit? Ecquando priusquam cunctas late na-

Christianæ doctrinæ vis fato assignari non potest.

Ἢ πότε ὁ τῶν ἀνθρώπων βίος πρὸ τῆς τοῦ Σωτῆρος
ἡμῶν εἰς πάντας ἀνθρώπους καταβληθείσης διδασκαλίας
τοιόνδε προβέβληται καθ' ὅλης τῆς ἀνθρώπων οἰκουμέ-
65 νης ἀγῶνα; Ποῦ δὲ τοιωνδὶ λόγων διδασκάλιον, δεισι- c
δαίμονος μὲν πλάνης ἀναιρετικὸν ἑνὸς δὲ τοῦ ἐπὶ πάν-
των Θεοῦ γνώσεως διδακτικόν, ἅπασιν ἀνθρώποις,
66 Ἕλλησί τε καὶ βαρβάροις, ὁ πᾶς αἰὼν ἤνεγκε; Τίς
δὲ τῶν ἐξ αἰῶνος ἀοιδίμων σοφῶν, βάρβαρος ἢ Ἕλ-
λην, τοιᾶσδέ ποτε ἠξιώθη εἱμαρμένης, ὡς εἰς τὸν σύμ-
παντα κόσμον διαφανῆ καταστῆσαι τὸν ὑπ' αὐτοῦ προ-
βληθέντα λόγον, γνωσθέντα τε μέχρι καὶ τῶν ἐσχατιῶν,
καὶ Θεοῦ δόξαν παρὰ τοῖς αὐτῷ καθωσιωμένοις κτή-
67 σασθαι; Εἰ δὲ ταῦτα ἐξ αἰῶνος οὔτ' ἦν, οὔτε γέγονεν, d
οὔτε ἀκοαῖς ἤκουσται, οὐκ ἦν ἄρα εἱρμὸς αἰτιῶν καὶ
ἀνάγκη τὸ τούτων αἴτιον. Πάλαι γὰρ ἂν διὰ τῆς αὐτῆς

b 7. ἢ πότε om. F. 8. πρὸ τῆς etc.] πρὸ τῆς καταβληθείσης σωτηρίου διδασκαλίας εἰς πάντας ἀ. B.C.D.F.G. 10. ὅλης τῆς ἀνθρώπων οἰκουμένης] ὅλων ἀνθρώπων B.C.F.G. ὅλων item D. et om. οἰκ. c. τοιωνδὶ] τοίων F. δεισιδαίμονος μὲν πλάνης] δεισιδαιμονίας μὲν B.C.D.F.G.S.V. 4. ὁ πᾶς αἰὼν ἤνεγκε om. B. 5. ἐξ αἰῶνος τῶν πάλαι] τῶν ἐξ αἰῶνος B.C.D.F. 6. ἢ Ἕλλην] εἴτε Ἑλλὴν I. 7. τοιᾶσδε ποτε] ποτε τοιᾶσδε B. 10. καὶ om. D. 11. καθωσιωμ.] καθωδιωμ. C
d 3. τούτων] πάντων F.G.

tiones Servatoris nostri doctrina pervasisset, ejusmodi vita hominum
65 universa toto passim orbe certamen exhibuit? Ecquando disciplina-
rum ejusmodi scholam ullam, quæ cum superstitiosum errorem con-
velleret, tum unius præpotentis Dei cognitionem doceret, universis
hominibus, Græcisque pariter ac barbaris, superius retro ævum
66 aperuit? Ecquis porro clarissimorum olim ex omni ætatum me-
moria sapientum, seu barbarus ille, seu Græcus fuerit, ejusmodi
unquam fatum sortitus est, ut profectæ abs sese doctrinæ lucem ad
extremos usque orbis universi fines propagaret, Deique apud eos, qui
sacris initiati suis essent, nomen sibi et opinionem compararet?
67 Quod si tot ac tanta nullo unquam tempore, vel fieri quisquam vidit,
vel facta audivit; eorum ergo caussa nexus ille caussarum necessi-
tasque non fuit. Quod enim eandem jam olim, eadem recurrente

ἀνακυκλήσεως καὶ περιφορᾶς τῶν ἄστρων οὐδεὶς ἦν
φθόνος καὶ ἄλλους τῆς αὐτῆς τυχεῖν γενέσεώς τε καὶ
68 εἱμαρμένης. Ἐκ ποίας δὲ ἄρα εἱμαρμένης ὁ μὲν ἡμέ-
τερος Σωτὴρ Θεὸς ἐπιφανεὶς καθ᾽ ὅλης τῆς οἰκουμένης
ἀνηγόρευται, οἱ δὲ πάλαι νενομισμένοι παρά τε Ἕλλησι
καὶ βαρβάροις θεοὶ καθῄρηνται, καὶ οὐκ ἄλλως καθῄρην-
69 ται ἢ διὰ τῆς τοῦ νέου Θεοῦ διδασκαλίας; Ποία δ᾽ αὐ-
τῶν εἱμαρμένη Θεὸν δημιουργὸν ἁπάντων πᾶσιν ἀνθρώ-
ποις κατήγγειλεν, εἱμαρμένην δὲ μὴ εἶναι φάναι ἐξη-
νάγκασε; Καὶ πῶς ἡ εἱμαρμένη μὴ εἶναι ἑαυτὴν λέγειν
τε καὶ φρονεῖν ἐβιάσατο; Τί δὲ οἱ τῆς τοῦ Σωτῆρος
ἡμῶν εὐσεβοῦς ἕνεκα διδασκαλίας παντοίους ἄθλους ἔκ- p. 254
70 παλαι ἠγωνισμένοι, καὶ εἰσέτι δεῦρο διαθλοῦντες; Μιᾶς
ἄρα καὶ τῆς αὐτῆς ἔτυχον μοίρας, ὡς ὑφ᾽ ἑνὶ λόγῳ καὶ
διδασκαλίᾳ δουλωθῆναι, μίαν τε γνώμην καὶ προαίρεσιν
ἐνδείξασθαι, καὶ ψυχῆς ἀρετὴν μίαν, ἕνα τε καὶ τὸν αὐ-

d 5. οὐδεὶς ἦν—τοῖς ἄστροις om. B. 6. ἄλλοις D.F.G. 7. ἐκ ποίας δὲ ἄ. εἱ. om. C.F.G. ἄρα om. D. 8. ἐπιφανεὶς] ἐπιφανὴς C.F.I. 10. παρά τε] παρ᾽ C.F.G. 11. θεοὶ] θεοῦ I. καὶ καθῄρηνται οὐδ᾽ ἄλλως E.I. 12. ἢ διὰ] οὐκ ἄλλως ἢ διὰ C.F.G.S. 13. αὐτῶν] αὐτὸν C.D. qui mox om. πᾶσιν ἀνθρώποις cum F.G. Pro αὐτῶν Vigeri margo ἴσ. αὖθις. ult. πῶς om. D.

p. 254. 2. ἔκπαλαι] πάλαι τὲ πρότερον I. 4. ἐφ᾽ ἑνὶ F.G.

siderum conversione, ortus plerisque fatique rationem invideret,
68 prorsus erat nihil. Sed quo tamen fato, Servator noster Deus post
adventum suum orbe toto consecratus est; quos Græci pridem ac
barbari deos habuerant, sublati sunt? nec aliter quam novi numinis
69 doctrina sublati? Quodnam porro fatum, cunctos homines Deum
rerum esse molitorem omnium docuit, fatum esse nullum profiteri
coegit? Qui fieri potuit, ut ex hominum ore simul et cogitatione
fatum fati vi tolleretur? Quid eorum multitudo tanta, qui genera
certaminum omnia, pro Christianæ pietatis doctrinæque defensione,
cum superioribus retro sæculis subiere, tum ætate quoque nostra
70 subeunt? Uno videlicet omnes eodemque fato nati sunt, quod et
illos eidem instituto doctrinæque manciparit, et eandem ab illis
sententiam ac voluntatem expresserit; illos denique non ad am-
plectendam solum eandem vitæ morumque rationem, sed etiam ad

τὸν ἀναδέξασθαι βίον, καὶ λόγον ἀγαπῆσαι τὸν αὐτὸν,
τάς τε αὐτὰς ἀγαπητικῶς ὑπομεῖναι πάθας δι' ἔνστασιν
71 εὐσεβείας. Καὶ τίς ἂν ὀρθὸς τοῦτο συγχωρήσειε λόγος,
νέους κατὰ ταυτὸ, καὶ πρεσβύτας, καὶ πᾶν μέτρον ἡλι- b
κίας, ἀρρένων τε καὶ θηλειῶν γένη, φύσεις τε βαρβάρων
ἀνδρῶν, οἰκετῶν ὁμοῦ καὶ ἐλευθερίων, λογίων τε καὶ
παιδείας ἀμετόχων, οὐκ ἐν γωνίᾳ γῆς οὐδ' ὑπὸ τοῖσδε
γενομένων τοῖς ἄστροις καθ' ὅλης δὲ τῆς ἀνθρώπων οἰ-
κουμένης, εἱμαρμένης ἀνάγκῃ φάναι βεβιασμένους τόνδε
τινὰ τῶν πατρῴων ἁπάντων προτιμῆσαι λόγον, καὶ τὸν
ὑπὲρ εὐσεβείας ἑνὸς τοῦ ἐπὶ πάντων Θεοῦ θάνατον
ἀσπάσασθαι, τά τε περὶ ψυχῆς ἀθανασίας εὖ μάλα c
δόγματα παιδεύεσθαι, καὶ φιλοσοφίαν οὐ τὴν ἐν λόγοις
72 τὴν δὲ δι' ἔργων προτιμῆσαι; Ταῦτα γὰρ ἂν εἴη τὰ καὶ
τυφλῷ δῆλα, ὡς οὐδεμιᾶς ἀνάγκης μαθήσεως δὲ καὶ δι-
δασκαλίας οἰκεῖα τυγχάνει, αὐθεκουσίου γνώμης καὶ
προαιρέσεως ἐλευθέρας ἐναργῆ τυγχάνοντα παραδεί-

a 8. λόγου F. 9. ἀγαπητικῶς] ἀγαπητικὰς C.F.G. πάσας δι' ἔνστασιν εὐσεβείας] πάθας δι' εὐσεβείας ἔνστασιν (ἔντασιν F.) C.F.G. ἴσ. deest βασάνους Vigeri margo. b 3. οἰκετῶν] οἰκετικῶν C.G.I. Tum ἐλευθέρων E.I. 4. ἀγωνίᾳ D. Supra παιδίας F. c. ἀγαπητικῶς ἑλέσθαι] ἀσπάσασθαι B.C.D.F.G.S.V. 5. καὶ τυφλῷ] καὶ om. C.F.G. 6. τε καὶ] δὲ καὶ B.I. τε om. C.F.G. ἴσ. δὲ Vigeri margo.

eosdem omnino cruciatus religionis propugnandæ gratia sustinendos
71 impulerit. Ecquæ tandem, si recta modo sit, ratio ferat, uti juvenes
simul atque senes, nullamque adeo non ætatem, mares item pariter ac fœminas, tot barbarorum genera, servos æque ac liberos, eruditos simul et ab omni doctrina imparatos, non in aliquo terrarum angulo, non certis quibusdam sub astris sideribusque natos, sed orbe passim universo, coactos esse dicas recentem quendam ritum patriis omnibus anteferre, mortem præpotentis unius Dei caussa libenter sustinere, rectissimis de animorum immortalitate dogmatis informari, et philo-
72 sophiam expressam operibus, non verbis adumbratam profiteri? Vel
cæcus profecto videat, disciplinæ hæc et institutionis esse, non ullius necessitatis, adeoque manifesta voluntatis jure utentis suo, liberæque
73 facultatis argumenta. Possem equidem sexcentis aliis hancce quæ-
stionem rationibus illustrare, plerisque tamen hoc loco prætermissis,

73 γματα. Γένοιτο δ' ἂν καὶ ἄλλα τοῦ προβλήματος
παραστατικὰ μυρία, ὧν τὰ πολλὰ παρεὶς, αὐτὸς μὲν τοῖς
εἰρημένοις ἀρκεσθήσομαι, σοὶ δὲ τὸ σὸν ἀνάγνωσμα
τῶν σεπτῶν σου φιλοσόφων καταλείψω σκοπεῖν, ὡς ἂν d
μάθῃς ὅσον ἄρα τῶν χρησμῳδῶν σου θεῶν σοφώτερος
ἦν καὶ βελτίων ὁ ἄνθρωπος ὁ τοὺς θαυμασίους χρη-
σμοὺς ψευδεῖς ἀπελέγχων, καὶ τὸν Πύθιον αὐτὸν ἐφ' οἷς
74 ἔχρησε περὶ εἱμαρμένης ἐπιρραπίζων. Ἄκουε δ' οὖν
αὖθις τοῦ τὴν τῶν Γοήτων φώραν τὸ οἰκεῖον ἐπονομά-
σαντος σύγγραμμα, ὡς εὖ μάλα νεανικῷ φρονήματι τὸν
πλάνον τῶν πολλῶν καὶ αὐτοῦ γε τοῦ Ἀπόλλωνος ἐπα-
νορθοῦται, δι' ὧν γράφει τάδε κατὰ λέξιν.

150] 7 Σὲ οὖν ἐν Δελφοῖς καθῆσθαι μὴ δυνάμενον, μηδ' εἰ βού- p. 255 b ΟΙΝΟΜΑΟΥ
λοιο, σιωπᾶν. Ὁ δ' Ἀπόλλων ἄρα ὁ τοῦ Διὸς υἱὸς νυνὶ
βούλεται, οὐχ ὅτι βούλεται, ἀλλ' ὅτι ὑπ' ἀνάγκης εἰς τὸ
2 βουληθῆναι τέτακται. Δοκῶ δέ μοι τὰ λοιπὰ πάντα παρεὶς,

c 9. δ' ἂν] δὲ καὶ B.C.D.F.G. 13. σοφῶν] σεπτῶν C.F.G. d. μάθοις] μάθῃς B.C.F.G. 2. ἄνθρωπος] ὁ ἄνθ. C.D.F.G. 4. ἐφ' οἷς] ἐφ' οὓς C. 5. ἐπιρρ.] ἀπορρ. B.C.D.F.G.S.V. δ' οὖν] γοῦν C.F.G. 6. τὴν τῶν] τῶν om. F. τῇ τῶν γ. φορᾷ I. φορὰν] Imo φώραν ut supra. *Impostors detected.* Hic titulus Œnomai. Vid. p. 209. Toup. Vid. Theodoret. Ther. p. 86, 22. 8. νεανικῷ] νενικῷ C.

p. 255. b 2. υἱὸς] ἀδελφὸς C.F.G. mox om. βούλεται C.F.G. post οὐχ ὅτι

hactenus allatis contentus ero. Quod superest, juvat nonnulla tibi,
utpote propria, et tuis illis sapientibus philosophis legenda contem-
plandaque relinquere, ut intelligas, quantum numinibus tuis oraculo-
rum cantoribus homo non sapientia tantum, sed etiam integritate
præstiterit, qui cum egregia vaticinia mendacii et vanitatis argueret,
tum ipsum quoque Pythium ob ea quæ de fato edidit responsa, velli-
74 caret. Audi ergo, quemadmodum philosophus ille, qui suum ipse
opus, maleficorum impetum inscripsit, quamque acriter ac strenue,
cum vulgi, tum ipsius quoque Apollinis fabulas ineptiasque castiget.
Sic enim ad verbum scribit.

7 Te igitur Delphis considere, ac ne si velis quidem, silere tamen posse.
Nunc enimvero vult aliquid Apollo Jovis filius, non quod ita velit, sed
2 quod uti velit, necessitate adigatur. Placet vero, cæteris omnibus præter-

ΟΙΝΟΜΑΟΥ

ἐπειδὴ εἰς τοῦτον τὸν λόγον οὐκ οἶδ᾽ ὅπως ὑπήχθην, οἰκεῖόν
τι καὶ ἀξιοζήτητον ζητήσειν πρᾶγμα. Ἀπόλωλε γάρ, τό
γ᾽ ἐπὶ τοῖς σοφοῖς, ἐκ τοῦ ἀνθρωπίνου βίου, ἀπόλωλεν, εἴτε
οἴακά τις αὐτὸ εἴτε ἕρμα εἴτε κρηπῖδα ὀνομάζων χαίρει, τῆς
ἡμετέρας ζωῆς ἡ ἐξουσία, ἣν ἡμεῖς μὲν αὐτοκράτορα τῶν
ἀναγκαιοτάτων τιθέμεθα, Δημόκριτος δέ γε, εἰ μή τι ἠπάτη- c
μαι, καὶ Χρύσιππος, ὁ μὲν δοῦλον, ὁ δὲ ἡμίδουλον ἐπινοεῖ τὸ
3 κάλλιστον τῶν ἀνθρωπίνων ἐπιδεῖξαι. Ἀλλὰ τούτων μὲν
λόγος τοσοῦτος, ὅσον ἄν τις ἀξιώσειεν ἄνθρωπος ὢν ἀνθρω-
πίνοις· εἰ δ᾽ ἤδη καὶ τὸ θεῖον ἡμῶν καταστρατεύεται, παπαί,
4 οἷα πεισόμεθα. Ἀλλ᾽ οὐκ εἰκός, οὐδὲ δίκαιον, ἀπὸ γοῦν
τούτων τεκμαιρομένοις ἡμῖν,

Ἐχθρὲ περικτιόνεσσι, φίλ᾽ ἀθανάτοισι θεοῖσιν,
εἴσω τὸν προβολαῖον ἔχων πεφυλαγμένος ἧσο. d

5 Τί γάρ, φησὶν ὁ Ἀργεῖος, εἰ βουλοίμην ἔξεστί μοι, καὶ

b 7. ἄξιον ζήτητον F. 8. τόγ᾽] τοτε C.F.G. 10. κρηπῖδα] κρηπίδια C. Tum ὀνομάζων χαίρει E.I.S.V. et Theodoretus p. 86, 25. ὀνομάζει al. 12. δέ γε] γε om. I. Theodoretus. c 3. ἐπιδεῖξαι] ἀποδεῖξαι B.I. Vigeri margo. Vulg. habet Theodor. ἀνθρώπων F.G. pro ἀνθρωπίνων. Mox ἀνθρώποις G. pro ἀνθρωπίνοις. 4. τοσοῦτον] τοσοῦτος B.C.F.I. ὁ μὲν λόγος τοσοῦτος Theod. Tum ἀξιῴη Theodoret. 5. ἀνθρωπίνοις] γρ. ἀνθρώπους Vigeri marg., et sic Theodoret. ἀνθρώποις F. δ᾽ ἤδη] δὲ δὴ Theodoret. 6. καταστρατεύεται] καταστρατεύεσθαι B. 12. εἴσω] εἴσαι I. d. ἧσο] ἧσε C.F.G.

missis, quando semel, nescio quo pacto, hanc in orationem incidi, quæstio-
nem cum hujus loci propriam, tum scitu dignissimam excutere. Sublata
nimirum funditus, quantum est in nostris sapientibus, ex humana vita est,
sublata, inquam, facultas illa, quam ejusdem vitæ seu gubernaculum, seu
columen mavis, seu denique fundamentum appelles licet: nos summæ
quoque necessitatis dominam pronuntiamus. Democritus certe quidem,
et Chrysippus, nisi memoria fallit, justam alter esse, alter dimidiam, hu-
manæ naturæ dotis unius omnium longe pulcherrimæ, servitutem, certis
3 abs sese rationibus confectum arbitrantur. Verum istorum eatenus sane
ratio valeat, quatenus humanis tantum homines utentur armis. Sin autem
nos ipsum quoque numen oppugnabit, quinam, dii boni! calamitatis
4 nostræ modus est futurus? At id neque consentaneum profecto, neque
verum fuerit, si ex iis quæ sequuntur, conjecturæ aliquid capere liceat.

Herodot. VII. 148.

Finitimas exose plagas, carissime divis,
Hastam intus cohibens, tectusque sedere memento.

5 Quid enim, dicat Argivus, licetne si voluero? sedere possum, et cavere,

OINO-MAOY

δύναμαι, εἴ μοι δόξει, ἧσθαι καὶ πεφυλάχθαι; Ἔξεστιν, εἴποις ἄν, καὶ δύνασαι· ἢ πῶς ἄν σοι τοῦτ' ἐγὼ προσέταττον;

6 Χείρωνος φίλε τέκνον ἀγακλειτοῖο Κάρυστε,
Πήλιον ἐκπρολιπὼν Εὐβοίας ἄκρον ἱκέσθαι,
ἔνθ' ἱερὰν χώραν κτίζειν σοι θέσφατόν ἐστιν.
ἀλλ' ἴθι, μηκέτι μέλλε.

7 Ἦ γὰρ ὡς ἀληθῶς ἐπ' ἀνθρώπῳ τί ἐστιν, ὦ Ἄπολλον, καὶ p. 256
βουληθῆναι Πήλιον ἐκπρολιπεῖν κύριός εἰμι ἐγώ; Καὶ μὴν ἤκουον παρὰ πολλῶν καὶ σοφῶν, ὅτι εἴ μοι πέπρωται Εὐβοίας ἄκρον ἱκέσθαι καὶ ἱερὰν χώραν κτίζειν, καὶ ἵξομαι καὶ κατιῶ, εἴτε λέγοις, εἴτε μή, καὶ εἴτε βουλοίμην, εἴτε μή. Εἰ δέ με δεῖ καὶ βουληθῆναι ὅ τι μοι ἀνάγκη ἐστὶ καὶ εἰ μὴ βουλοίμην βουληθῆναι· ἀλλὰ σὺ, ὦ Ἄπολλον, πιστεύεσθαι δικαι-
8 ότερος. Ἔοικα δή σοι μᾶλλον προσέξειν.

Ἄγγειλον Παρίοις Τελεσίκλεες, ὥς σε κελεύω b
νήσῳ ἐν Ἠερίῃ κτίζειν εὐδείελον ἄστυ.

d 3. δόξαι] δόξει B.C.F.G. δόξειεν S. 6. ἀγακλυτοῖο] Leg. ἀγακλειτοῖο. 8. Πήλιον] Πώλιον B. πόλιον C.F.G. Uterque infra πώλιον cum F. πόλιον h. l. D.I. πόλιον (αν above) infr. Mox εὐοίας B.C.F.G. et infra. ult. ἀληθῶς om. D. Mox ἀνθρώπων I.

p. 265. 3. πολλῶν καὶ σοφῶν F.G.I. καὶ om. al. 5. ἵξομαι] ἵζομαι C.D. λέγοις] λέγεις C.F.G. 7. με δεῖ] γε δεῖ C.F.G. με δὴ B. 9. σὺ] σοι C. ἄπολλον] ἀπόλλων B. 10. δή σοι] δέ σοι C. b 2. ἠερίῃ] ἱερίη B.C.D.F.G.I. Tum εὐδείελον ἄστυ om. B.

si libeat? Tu vero, licere omnino ac posse respondebis: alioqui hoc te imperaturum nunquam fuisse.

6 Chironis magni soboles germana, Cariste,
Desere Peliacum montem, Eubœæque tumentis
Alta subi: sacram hic fatum est tibi ponere sedem.
Ergo age, rumpe moras.

7 Ain' tu serio? Aliquid, o Apollo, vere hominis in potestate est? Licet mihi pro arbitrio velle Pelium relinquere? Atqui ex multis sapientibus audieram, si mihi fatum esset, in Eubœæ promontorium venire, et sacrum ibi domicilium excitare, me prorsus et venturum, et excitaturum esse, seu dixeris, seu non, imo velim, nolim. Sin autem id me quoque velle oporteat, quod abs me necessitas uti vel invitus velim extorqueat: tu fide
8 nimirum, Apollo, dignior es. Tibi ergo me dicto audientem esse præstat.

I, Pariosque mone, Telesicles, numine nostro,
Insula in Aëria sublimem a sedibus urbem
Condere te jussum.

ΟΙΝΟΜΑΟΥ

Ἀγγελῶ νὴ Δία, (φήσει τάχα που τὶς τετυφωμένος, ἢ σε
ἐλέγχων,) κἂν μὴ κελεύσῃς· πέπρωται γάρ. Καί ἐστι Θά-
σος μὲν ἡ Ἠερία νῆσος· ἥξουσι δ' ἐπ' αὐτὴν Πάριοι, Ἀρχι-
λόχου τοῦ ἐμοῦ υἱοῦ φράσαντος, ὅτι ἡ νῆσος αὕτη πρὶν
Ἠερία ἐκαλεῖτο. Σὺ οὖν, δεινὸς γὰρ ἐπεξελθεῖν, οὐκ ἀνέξῃ
οἶμαι αὐτοῦ, οὕτως ὄντος ἀχαρίστου καὶ θρασέος, ὅς, εἰ μὴ σὺ
μηνῦσαι αὐτῷ ἐβουλήθης, οὐκ ἄν ποτε ἤγγειλεν, οὐδ' ἂν Ἀρ- c
χίλοχος ὁ υἱὸς αὐτοῦ Παρίους ἐξενάγησεν, οὐδ' ἂν οἱ Πάριοι
9 Θάσον ᾤκησαν. Οὐκ οἶδ' οὖν εἰ σὺ λέγεις μὲν ταῦτα, οὐκ
οἶσθα δὲ ἃ λέγεις. Ἀλλ' ἐπεὶ σχολὴν ἄγειν ἐοίκαμεν καὶ
μακρὰ διαλέγεσθαι, ὁ δὲ λόγος οὐ πάρεργος, ἐκεῖνό μοι
10 λέγε· (ἴσως γὰρ καὶ ὀλίγα ἐκ πολλῶν ἀρκεῖ·) ἆρά γέ
τί ἐσμεν ἐγώ τε καὶ σύ; Φαίης ἄν· τοῦτο δὲ ὁπόθεν ἴσμεν;
Τῷ πότ' ἄρα τοῦτο εἰδέναι ἐκρίναμεν; Ἢ οὐκ ἄλλο ἱκανὸν
οὕτως, ὡς ἡ συναίσθησίς τε καὶ ἀντίληψις ἡμῶν αὐτῶν; Τί d
11 δ'; Ὅτι ζῷά ἐσμεν πῶς ποτ' ἄρα ἐξεύρομεν; Πῶς δ' ὅτι
καὶ ζώων, ὡς μὲν ἂν ἐγὼ εἴποιμι, ἄνθρωποι· καὶ ἀνθρώπων
ὁ μὲν γόης, ὁ δὲ γόητος ἀπελεγκτής· ὡς δ' ἂν σύ, ὁ μὲν ἄν-

b 4. κελεύσεις] κελεύσῃς B.C.F.G. 5. καὶ ἔστι] καὶ om. I. qui δὲ pro μέν. 6. αὐτὴν] αὐτοῦ C. 8. σὺ οὖν δεινὸς—ἀνάγκη om. B. ἱερίᾳ D. 11. ἐβουλήθης] ἠβ. C. Supra μηνύσθαι D. c 5. μακρὰν] μακρὰ C.F.G. 7. ἴσως καὶ] ἴσως γὰρ καὶ C.D.F.G. 8. τι] τοι C. F.G. 9. δὲ om. D. Mox γρ. τῷ Vigeri margo cum E.I. pro τό. 11. ὡς ἡ] ὡς καὶ ἡ C.F.G. 4. ἀπελεγκτὴς] ἀπειλέκτης C. ἀπελέγκτης I. qui mox σύ pro σοι cum D.E.F.G. et sic Vigeri marg. ἀπειλέγκτης F.

Faciam vero, (dicet fortasse protervior quispiam, aut quisquis sugillare te volet,) ut jubeas nihil: id enim fatum mihi est. Cæterum Aëria illa insula Thasus est, in quam auctore Archilocho filio meo Parii commeabunt; hæc enim insula prius Aëria vocabatur. Tu autem ut in ulciscendo gravis et acerbus es, nunquam, opinor, hominem tam ingratum atque audacem feras: qui nisi eum rei admonere voluisses, nec id unquam ipse nuntiasset, nec Archilochus ejusdem filius Pariorum coloniam eo deduxisset, nec Parii
9 Thasum habuissent. Equidem, istucne dicas, nec tamen quod dicis intelligas, nescio: sed tamen quoniam et longiorem sermonem otium nostrum patitur, nec is alienus est futurus; Dic, amabo: (satis enim forte
10 pauca de multis attigisse fuerit:) num aliquid ego tuque sumus? Sumus inquies. Hoc autem qui scimus? aut quo nobis argumento nos id scire persuasimus? Non fateris, alio nullo perinde hoc effici, ac sensu quodam
11 perceptioneque nostra? Jam animantes quoque nos esse quemadmodum nobis constitit? quemadmodum ex animantibus, ut mihi quidem loquendum videtur, homines; ex hominibus circulatorem alterum, alterum circulatoris exagitatorem: ut vero loqueris, deum alterum, alterum hominem?

ΟΙΝΟ-ΜΑΟΥ

[151] θρωπος, ὁ δὲ θεὸς, καὶ ὁ μὲν μάντις, ὁ δὲ συκοφάντης; Καὶ
12 ἔστω γέ σοι οὕτως ἔχον, ἐάνπερ ἔγωγε ἁλῶ. Πῶς δ' ὅτι
διαλεγόμεθα ἐν τῷ παρόντι ἐγνώκαμεν; Τί φῄς; Ἆρ' οὐκ
ὀρθῶς ἐκρίναμεν τὴν ἡμῶν αὐτῶν ἀντίληψιν τῷ πάντων
ἐγγυτάτῳ πράγματι αὐτῷ; Δηλονότι. Οὐ γὰρ ἦν ἄλλο
αὐτοῦ οὔτε ἀνώτερον, οὔτε πρεσβύτερον, οὔτε πιστότερον.
13 Ἐπεὶ εἰ μὴ οὕτως ἕξει, μήτε ἄρα ὥς σέ τις εἰς Δελφοὺς πα-
ραγενέσθω λοιπὸν ὄνομα Ἀλκμαίων, ἀπεκτονὼς τὴν μητέρα,
καὶ οἴκοθεν ἐλαυνόμενος, καὶ οἴκαδε ἐπιθυμῶν. Οὐ γὰρ οἶδεν, p. 257
οὔτ' εἰ ἔστι τι αὐτὸς τοπαράπαν, οὔτε εἰ οἴκοθεν ἐλαύνεται,
οὔτ' εἰ οἴκαδε ἐπιθυμεῖ· ἀλλ' εἰ καὶ μαίνεται ὁ Ἀλκμαίων
καὶ ὑπονοεῖ τὰ μὴ ὄντα, ὅ γε Πύθιος οὐ μαίνεται. Μηδὲ λέγε
οὕτως,

Νόστον δίζηαι πατρίην ἐς γαῖαν ἱκέσθαι
Ἀμφιαρηϊάδη.

Οὐδὲ γὰρ σὺ οἶσθά πω εἴ σέ τις ἐρωτᾷ Ἀμφιαρηϊάδης, οὐδ'

d 7. ἔχων] ἔχον I. Vigeri marg. 11. πράγματι] πράγματα C. F.G. om. D.

p. 257. οὔτ'] ἔτι F.G. 2. οὔτε εἰ οἴκοθεν] οὔτ' εἴκοθεν C. οὕτως εἰ οὔτε οἴκοθεν E.I. 4. ὅ γε] ὁ δὲ D. 5. οὕτως] αὐτῷ I. 6. δίζηαι—ἐς] δείξεις—εἰς C.F. δίζεις D. δείξειε—εἰς G. νόστον δίζηαι μελιήδεα φαίδιμ' Ὀδυσσεῦ Ὀδ. λ'. S. 7. Ἀμφὶ ἀρηαδίη] Ἀμφιαρηιάδος I. Correxit Valckenærius Ἀμφιαραϊάδη Diatr. Eurip. p. 287. et sic in seq. Vid. Holsten. ad Steph. Byz. p. 347. 8. οἶσθά πως] σὺ οἶσθά πω C.F.G.I. πω item D. σὺ E. Tum ἀμφιαρηιάδης I.

itemque vatem alterum, alterum sycophantam? Et habeas id tu quidem
12 per me licet, si victus fuero. A nobis vero hanc in præsentiarum disputationem haberi, qua tandem ratione cognoscimus? Quid ais? Nunquid præclare de nostra percipiendi vi, ex hoc ipso potissimum, quod in manibus est, negotio statuimus? Omnino. Nec enim aliud eo vel superius, vel
13 antiquius, vel fide dignius esse queat. Secus enim, desinat in posterum Alcmæon te nescio quis, interfecta matre, domo pulsus, ejusque tamen cupidus, Delphis convenire. Quippe, nec utrum aliquid ipse omnino sit, nec utrum domo pellatur, nec utrum ejusdem cupidus sit intelligit. At enim furiat Alcmæon licet, quæque nulla sunt animo sibi fingat; non furit quidem Pythius. Imo cave tu quoque id ei occinas,

Tu reditum in patriam votis flagrantibus urges,
Versus Areadiam.

Nam ne ipse quidem intelligis, tene quisquam de Areadia consulat, isne

ΟΙΝΟΜΑΟΥ

εἰ σὺ τὶ εἶ ὁ ἐρωτώμενος, καὶ λέγειν ἔχων περὶ ὧν τις ἐρωτᾷ.
14 Μηδὲ Χρύσιππος ἄρα ὁ τὴν ἡμιδουλείαν εἰσάγων, ὅ τί ποτέ b ἐστιν αὐτὸ τοῦτο, ἀπαντάτω εἰς τὴν στοάν, μηδ' οἰέσθω ἀπαντήσεσθαι τοὺς βλέννους ἐκείνους ὡς αὐτὸν ἀκουσομένους τὸν οὖτιν· μηδὲ διατεινέσθω περὶ μηδενὸς καταστὰς πρὸς μὲν Ἀρκεσίλαον παρόντα, πρὸς δὲ Ἐπίκουρον οὐ παρόντα.
15 Τί γάρ ἐστιν ὁ Ἀρκεσίλαος, τί δὲ ὁ Ἐπίκουρος, ἢ τί ἡ Στοά, ἢ τί οἱ νέοι, ἢ τίς ὁ οὖτις, οὔτ' οἶδεν, οὔτε οἷος εἰδέναι·
16 πολὺ γὰρ πρότερον οὐδ' εἰ αὐτός τί ἐστιν οἶδεν. Ἀλλ' οὐκ ἀνέξεσθε οὔτε ὑμεῖς, οὔτε ὁ Δημόκριτος, εἰ λέγοι τις ταῦτα· c οὐ γὰρ εἶναι πιστότερον μέτρον οὗ λέγω· οὐδ' εἰ δοκεῖ καὶ ἄλλα τινὰ εἶναι, τούτῳ γ' ἂν παρισωθείη· ἢ παρισωθείη μὲν
17 ἄν, ὑπερβάλλοι δὲ οὐκ ἄν. Οὐκοῦν, φήσειεν ἄν τις, ὦ Δημόκριτε, καὶ σὺ ὦ Χρύσιππε, καὶ σὺ ὦ μάντι, ἐπειδὴ ἀγανακτεῖτε εἴ τις ἐθελήσαι παρελέσθαι τὴν ὑμῶν αὐτῶν ἀντίληψιν—οὐ γὰρ ἔτι τὰς πολλὰς ἐκείνας βίβλους εἶναι—φέρε
18 καὶ ἡμεῖς ἀνταγανακτήσωμεν. Τί δή ποτε; Ἔνθα μὲν ἂν ὑμῖν δοκῇ, ἔσται τοῦτο καὶ πιστότατον καὶ πρεσβύτατον·

c 9. σὺ εἶ] σὺ τὶ εἶ ὁ ἐρωτημένος F.G. σὺ τὶ εἰ I. b. ὁ τὴν] καὶ τὴν C.F.G. Tum ἡμιδουλίαν F.G. 2. αὐτὸ om. C.D.F.G. 3. βλέννους] βλένους E. 9. εἰδέναι] εἰδύνον C. c. λέγοι] λέγει C.F.G. 2. μέτρον] μέστον C. 3. γοῦν] γ' ἂν I. παρισωθ.] περισωθ. C. ed. Viger. παρισωθείη D. Vigeri marg. ed. Steph. παρισωθείη ἢ παρισωθείη (sic) F. 4. ἂν om. D. 11. ἔνθα ἂν ἡμῖν δοκῇ Theodoret. p. 86, 35. 12. πρεσβύτατον] πρεσβύτερον C.G.

porro sis qui consulitur, habeasne quod eam in rem qua de alius consulit
14 respondeas. Desinat etiam Chrysippus, is qui dimidiatam invehit servitutem, cum id ipsum prorsus ignoret, in porticum ventitare, nec eodem blennos illos bardosque venturos putet, neminis audiendi caussa: nec jam fixo gradu, aut præsente cum Arcesila, vel cum Epicuro absente luctetur:
15 quando is, quid aut Arcesilas, aut Epicurus, imo quid Porticus, quid adolescentes, quid nemo ipse sit, nec intelligit, nec intelligere omnino potest; nam quod multo prius est, sitne ipsemet aliquid, ne hoc quidem novit.
16 At orationem istam neque vos scilicet, neque Democritus ferat: quod alia certior, ea quam protuli, hujus æstimandæ rei ratio nulla esse possit; aut si aliæ præterea sint, cum illa tamen æquari nequeant; aut si etiam æquari
17 possint, eam certe quidem superare non possint. Jam vero, dicat aliquis, o Democrite, tuque o Chrysippe, tuque adeo bone vates, si quis communem illum vobis sensum ac notionem eripere conaretur, indignaremini, nec enim id jam esset, ingentem istam nescio quam librorum supellectilem
18 eripere: indignemur igitur etiam nos. Quid enim? ubi vobis ita visum erit, certissimum hoc videlicet idemque antiquissimum argumentum erit;

ΟΙΝΟΜΑΟΥ

ἔνθα δ' ἂν μὴ δοκῇ, ἐκεῖ καταδυναστεύσει τι λεληθὸς αὐτοῦ εἱ- d
μαρμένη πεπρωμένη, διαφορὰν ἑκάστῳ ὑμῶν ἔχουσα, τῷ μὲν ἐκ
θεοῦ, τῷ δὲ ἐκ [τῆς] τῶν μικρῶν ἐκείνων σωμάτων τῶν φερο-
μένων κάτω καὶ ἀναπαλλομένων ἄνω καὶ περιπλεκομένων
καὶ διαλυομένων καὶ διισταμένων καὶ παρατιθεμένων ἐξ
19 ἀνάγκης; Ἰδοὺ γὰρ ᾧ τρόπῳ ἡμῶν αὐτῶν ἀντειλήμμεθα,
τούτῳ καὶ τῶν ἐν ἡμῖν αὐθαιρέτων καὶ βιαίων. Οὐ λέληθε
δὲ ἡμᾶς ὅσον τὸ μεταξὺ τοῦ βαδίζειν καὶ τοῦ ἄγεσθαι, οὐδὲ
20 ὅσον τοῦ αἱρεῖσθαι καὶ τοῦ ἀναγκάζεσθαι. Ὧν δὲ ἕνεκα
ταῦτα προσήνεγκα τῷ λόγῳ; Ὅτι σε ἐκπέφευγεν, ὦ μάντι, p. 258
ὧν κύριοί ἐσμεν ἡμεῖς, καὶ ὁ τὰ πάντα εἰδὼς ταῦτά γε οὐκ
ἂν εἰδείης, ὧν τὰ πείσματα ἀνῆπται ἐκ τῆς ἡμετέρας βουλή-
21 σεως. Αὕτη δέ γε ἐφαίνετο οὐκ ὀλίγων οὖσα πραγμάτων
ἀρχή· ὃν δὲ ἡ ἀρχή, ἥτις ἦν τῶν μετὰ ταῦτα αἰτία, ἐκπέ-
22 φευγεν, ἧπού γε τὰ μετὰ τὴν ἀρχὴν εἰδείη ἂν οὗτος. Ἀναί-
σχυντος δηλαδὴ ὁ Λαΐῳ προμαντευόμενος, ὅτι αὐτὸν ἀπο-

d. δοκῇ] δοκεῖ D. δοκῇ ἐκεῖ I. καταδυναστεῦσαι] καταδυναστεύσει C.E.G.I. Vigeri marg. ἐκεῖ καταδυναστεύει Theodoret. Mox εἱμ. καὶ πεπ. διάφορα Theod. 4. ἐκ τῆς] ἐκτὸς C.F.G. Deest τῆς I. Theodoret. Kusterus ad Suid. v. εἱμαρμένην reponit ἐκ τῆς εἱμαρμένης καὶ τῆς τύχης καὶ τῆς etc. 5. κάτω καὶ ἀναπαλλομένων ἄνω] ἄνω καὶ παλλομένων κάτω Theod. 7. διϊσταμένων] ἱσταμ. C.D.F.G.

p. 258. 6. δὲ ἡ] δέ γε ἡ C.D.F.G. 8. δηλάδη] γρ. δὴ I. Vigeri marg.

ubi autem secus existimabitis, tum eo potentius erit occultum nescio quid, fatalis, inquam, illa necessitas, qua de ne vobis quidem inter vos ipsos convenit; cum alius eam ex divino numine, alius ex minimis illis corpusculis pendere velit, quæ modo deorsum ferantur, modo contra vibrentur sursum, atque ejusmodi sint, ut inter sese paullo ante commissa, paulo post dirimantur; ac vicissim disjuncta prius cum essent, necessario post-
19 modum conjungantur? Etenim quo nos ipsi modo sentimus atque cognoscimus, eodem plane de rebus iis quæ aut volentibus nobis aut invitis eveniunt, statuimus. Neque nos profecto latet, quantum inter eum qui sponte incedat, et eum qui agatur, quantum inter eum qui optet ac deligat,
20 et eum qui cogatur, intersit. Quorsum autem hæc oratio pertinet? Fugit te nimirum, bone vates, quænam arbitrii nostri potestatisque sint, tuque ille qui cuncta nosti, ne illa quidem nosti, quæ nostra ex voluntate sunt
21 quibusdam quasi funibus catenisque suspensa. Atqui rerum illam caput ac principium esse constat, sane non paucarum: quem autem eorum quæ postea consequantur principium et caussa lateat, is videlicet quæ ex eodem
22 fonte oriuntur intelligat. Impudens ergo fuit, quisquis Laio prædixit, eum a filio interfectum iri. Dominus enim voluntatis suæ filius iste futurus

Fati necessitas in Laio, Œdipo, ejusque liberis confutatur.

ΟΙΝΟΜΑΟΥ

κτενεῖ ὁ φύς. Ἤμελλε γάρ που ὁ φὺς κύριος ἔσεσθαι τῆς ἑαυτοῦ βουλήσεως, καὶ οὔτε τις Ἀπόλλων, οὔτε τις αὐτοῦ ὑπέρτερος ἐξικνεῖσθαι ἱκανὸς οὐδεμιᾷ δυνάμει, ὧν οὐκ ἔστιν b
23 οὔτε ὕπαρξις, οὔτε γενέσεως ἀνάγκη. Ἐκεῖνο γὰρ δὴ τὸ καταγελαστότατον ἁπάντων, τὸ μίγμα καὶ ἡ σύνοδος τοῦ καὶ ἐπὶ τοῖς ἀνθρώποις τι εἶναι, καὶ εἱρμὸν οὐδὲν ἧττον εἶναι. Προσεοικέναι γὰρ αὐτὸν, ὡς λέγουσιν οἱ σοφώτεροι, τῷ Εὐ-
24 ριπιδείῳ λόγῳ· τεκνῶσαι μὲν γὰρ ἐθελῆσαι τὸν Λάϊον, κύριον εἶναι τὸν Λάϊον, καὶ τοῦτο ἐκπεφευγέναι τὴν Ἀπολ-
[152] λωνίαν ὄψιν· τεκνώσαντι δ' αὐτῷ ἐπεῖναι ἀνάγκην ἄφυκτον ὑπὸ τοῦ φύντος αὐτὸν ἀποθανεῖν· οὕτως οὖν τὴν ἐπὶ τῷ c μέλλοντι ἀνάγκην παρέχειν τῷ μάντει τὴν τοῦ γενησομένου
25 προαίσθησιν. Ἦν δέ που καὶ ὁ φὺς τῆς ἰδίας βουλήσεως κύριος, ὥσπερ ὁ φύσας· καὶ ὡς ἐκεῖνος τοῦ τεκνῶσαι καὶ μὴ, οὕτως οὗτος τοῦ ἀποκτεῖναι καὶ μή. Τοιαῦτα δὲ ὑμῶν τὰ μαντεύματα πάντα· καὶ ὁ Εὐριπίδειος Ἀπόλλων τοῦτ' ἐκεῖνο ἦν ὃ ἔλεγεν, τὸ,

a 10. ἤμελλε—φὺς om. D. 11. οὔτε τις αὐτοῦ] ἢ αὐτοῦ τίς C. ὁ D.F.G. 12. ἱκανὸς] ἱκανῶς D. b. ὕπαρξις] ὕπαρξιν C.F.G. 2. ἐκεῖνο γὰρ δὴ τὸ] καὶ ἐκεῖνο γάρ ἐστι τὸ B. 4. ἀνθρώποις] ἀνθρωπίνοις S. 6. σοφώτεροι] σοφώτατοι B. 7. λόγῳ] λογίῳ I. 8. τούτῳ] τοῦτο C. Vigeri margo. 10. ἄφυκτον] ἄφεκτον B. 11. αὐτὸν om. I. c. παρέχειν] παρέχει S.V. 2. μάντει] μάντι C.F.G. προαίσθησιν] προαίρεσιν C.F.G. 3. ἰδίας] οἰκείας C.F.G. 4. φύσας] φήσας B. φύσεως D. Mox τοῦ om. I. 6. ὑμῶν] ἡμῶν B. Εὐριπίδειος] εὐριπίδιος B.

erat; nec ullus aut Apollo, aut Apolline superior, res eas vi ulla rimari scrutarique potest, quæ nec sint ipsæ, nec ullam ortus sui necessitatem
23 habeant. Nam illud quidem omnium maxime ridiculum est, quod iidem et aliquid in hominum esse potestate, et seriem tamen nexumque caussarum esse defendant. Quippe hunc enim, (ut eorum sapientissimi dictitant)
24 cum Euripidis narratione congruere. Nam ut Laius prolem suscipere vellet, id quidem in Laii potestate situm fuisse, quod tamen Apollo non viderit: si vero susciperet, tum ejus qui nasceretur manibus ipsum inexorabili necessitate periturum: itaque vatem ex futuri necessitate, ejus præ-
25 sentiendi vim ac facultatem hausisse. Atqui non minus sane filius voluntatis suæ dominus quam pater erat: adeoque tam integra parentis ei liberaque cædes, quam filii procreatio parenti fuit. Atque hujusmodi sunt divinationes vestræ omnes. Nec melioris notæ fuit, quod hunc in modum Euripideus Apollo respondit,

Καὶ πᾶς σὸς οἶκος βήσεται δι' αἵματος. ΟΙΝΟ-ΜΑΟΥ

26 ὅτι πήρωσις μὲν ἔσται αὐτοχειρίᾳ τοῦ φύντος ἐπὶ γάμῳ
μητρὸς καὶ τυραννίδι ἣν παρέλαβεν ἐπ' αἰνίγματος λύσει, d
παίδων δὲ ἀλληλοκτόνοι σφαγαὶ ἐπὶ φυγῇ μὲν ἐκ τῆς ἀρχῆς
τοῦ ἑτέρου, τοῦ δὲ ἑτέρου πλεονεξίᾳ, καὶ γάμῳ τοῦ φυγάδος
ἐν Ἄργει, καὶ στόλῳ στρατηγῶν ἑπτὰ καταγελάστων καὶ
συμβολῇ· ὧν ἐπὶ πολλὰς ἀρχὰς καὶ ἐξουσίας διαιρουμένων,
27 πῶς ἂν ᾖ σοι ἐξεπίστασθαι, ἢ ὁ εἱρμὸς συνδεῖν δύναιτο; Εἰ
γὰρ αὖ κύριος ὢν μὴ ἐβουλήθη τυραννεῖν ὁ Οἰδίπους, ἢ τοῦτο
βουληθεὶς καὶ πράξας γαμεῖν τὴν Ἰοκάστην οὐ προείλετο, ἢ
γήμας μὴ ἐτετύφωτο μηδ' ἦν δύσθυμος καὶ δυσάρεστος, πῶς
ἂν τὰ καθ' ἕκαστα ἐπράχθη; Πῶς δ' ἂν τῶν ὀφθαλμῶν
ἥψατο; Πῶς δ' ἂν τοῖς παισὶν ἐπηράσατο τὴν Εὐριπίδου
28 καὶ τὴν σὴν ἀράν; Τά τε ἑξῆς τούτων τίνα ἂν τρόπον ἐγε- p. 259
γόνει, μὴ πρότερον αἰτιῶν γιγνομένων ἢ σὺ τί περὶ τῶν
μελλόντων λέγειν ἠδύνασο; Πάλιν δ' αὖ εἰ συμβάντες οἱ
παῖδες ἅμα ἐβασίλευον, ἢ εἰ συνθέμενοι παρὰ μέρος ἔμενον

c 9. πείρωσις αὐτῷ χειρία D. d. λύσει] φύσει B.C.D.F.G. 3. πλεονεξίας I. 4. στόλῳ] στόλην F. 7. συνδεῖν] συνιδεῖν D.F.G. 8. γὰρ αὖ] γὰρ ἂν C. 9. καὶ πράξας] καὶ om. F.

p. 259. 2. προτέρων] πρότερον B.C.D. mox περὶ om. D.F.G. 3. πάλιν δ'] δ' om. F.

Tua omnis alto sanguine natabit domus.

26 Quippe oculos sibi videlicet filius suis ipse manibus effossurus erat, partim maternarum nuptiarum, partim ejus quam sibi ænigmatis solutione peperisset tyrannidis indignitate stimulatus: deinde mutuæ liberorum ejusdem cædes, ob alterius regno pulsi exilium, alterius regnandi cupiditatem, simulque ob exulis nuptias Argis contractas, septemque ducum ridiculorum classem ac dimicationem, consequuturæ. Enimvero, cum in varia imperia, diversasque provincias disjuncti ac divisi essent, qui tandem vel ea nosse potuisti, vel series illa nexusque caussarum eadem inter sese
27 colligare? Nam si Œdipus sui quoque juris cum esset, regnum occupare noluisset; aut si voluisset quidem ac simul occupasset, idem tamen Iocastam uxorem non optasset; aut si ea insuper uxore ducta, nequaquam tamen ægritudinis molestiæque vi actus in furorem atque insaniam fuisset; quomodo reliqua deinceps consequuta essent? quomodo aut oculos sibi eruisset, aut illas Euripidis tuasque diras suis ipse liberis imprecatus
28 fuisset? Cætera denique, ubi priores deessent caussæ, qua tandem ratione fieri potuissent? quid tu ipse quod de futuro pronuntiares, habuisses? Præterea, si Œdipi liberis, aut simul conjunctis animis regnare, aut inito de mutua vicissim in regnum successione pacto, stare placuisset: itemque

ΟΙΝΟ-
ΜΑΟΥ

ἐπὶ τοῖς συγκειμένοις, ἢ εἰ ὁ ἀπελαθεὶς ἔγνω μὴ εἰς Ἄργος ἀλλ᾽ εἰς Λιβύην ἢ Περραιβοὺς ἀπελθεῖν, ἢ εἰσελθὼν ἐπὶ τὸ Ἄργος ἔγνω ταριχοπωλεῖν, καὶ μὴ πλουσίαν λαβεῖν γυ-
29 ναῖκα ἀλλὰ χερνῆτίν τινα ἢ κάπηλιν, ἢ εἰ ὁ Ἄδραστος μὴ b
ἔδωκε τὴν θυγατέρα αὐτῷ, ἢ εἰ ὁ μὲν ἔδωκεν ὁ δ᾽ οὐκ ἐπεθύμησε τῆς οἴκαδε ὁδοῦ, ἢ εἰ ἐπιθυμήσας ἐκράτησεν ἑαυτοῦ, ἢ εἰ μὴ προσέσχεν αὐτῷ δεομένῳ συμμαχίας ὁ Ἄδραστος, ἢ εἰ τῷ Ἀδράστῳ μήτε ὁ Ἀμφιάραος μήτε ὁ Τυδεὺς μηδὲ τῶν ἄλλων ταξιάρχων ἕκαστος ἠκολούθουν, ἢ εἰ οἱ μὲν συνηκολούθουν, ὁ δὲ ἐλθὼν οὐκ ἐμάχετο τῷ ἀδελφῷ ἀλλ᾽ ἢ συμβὰς ἐβασίλευσεν ἅμα αὐτῷ ἢ μὴ βουλομένῳ ἀνεχώρησε, πεισθεὶς Εὐριπίδῃ λέγοντι,

Ἀσύνετα δ᾽ ἦλθες καὶ σὺ πορθήσων πάτραν, c

30 ἢ εἰ οὗτος μὲν μὴ, ὁ δ᾽ ἕτερος, τῶν Εὐριπιδείων ἀκούσας σοφιστευμάτων ἐκείνων τῶν ἄλλων,

Εἶθ᾽ ἥλιος μὲν νύξ τε δουλεύει βροτοῖς,
σὺ δ᾽ οὐκ ἀνέξῃ δωμάτων ἔχειν ἴσον;

a 7. ἢ περραιβοὺς] ἢ εἰς περαιβοὺς B.C.D.F.G. Περραιβαίους ed. Viger. 8. εἰ ἐλθὼν I. b 2. ἐμὲ pro μὴ F. Mox δέδωκεν I. 3. ἢ εἰ ὁ] εἰ om. C.D.F.G. 7. τυδεὺς] ὀδυσσεὺς C.F.G. Mox ἄλλων om. B.C.F.G. 9. ἢ εἰ οἱ] εἰ om. B. ἢ εἰ οἱ μ. σ. om. C.F.G. 12. λέγοντι] τῷ λέγοντι B.C.D.F.G. c 2. τῶν εὐρ.] τῶν om. B. 4. δουλεύειν] δουλεύει C.D.F.G.I.S.V.

si pulsus alter, non jam Argos, sed vel in Libyam, vel ad Perrhæbæos migrare statuisset; aut si Argos appulsus, salsamentarium agere decrevisset, adeoque non locupletem aliquam et opulentam uxorem, sed pauperculam quandam, et victum manuum labore quæritantem, vel addictam
29 cauponariæ ducere voluisset: aut si filiam Adrastus suam ei negasset, aut si dedisset ille quidem, alius tamen vel patriæ desiderium abjecisset, vel eo commotus licet, se ipsum animumque vicisset: aut si vel auxilium implorantem Adrastus repulisset, vel Adrasto se comitem ac socium, neque Amphiaraus, neque Tydeus, neque ducum aliorum quisquam adjungere voluisset: aut si eorum societate impetrata, reversus in patriam, manus cum fratre non conseruisset, sed potius vel facta pace in regni cum eo societatem venisset, vel eidem repugnanti ultro cessisset, Euripidi obsequutus hunc in modum præcipienti,

Vesanus etiam patriæ oppressor venis:

30 aut si non ille quidem, sed frater potius regno se abdicasset, aliis hisce ejusdem poetæ præstigiis fascinatus,

Hominibus ergo solque noxque serviant,
Parem ipse quenquam ferre non possis domi?

πῶς ἂν συστάντες ἐμάχοντο, καὶ Λαΐου πᾶν δῶμα ἔβη δι' ΟΙΝΟ-ΜΑΟΥ
31 αἵματος; Ἀλλὰ μήν, φήσεις, γέγονε ταῦτα. Γέγονεν·
ἀλλὰ σὺ ποίᾳ ὁδῷ εἰσῆλθες εἰς τὴν τούτων εἴδησιν; Ἦ οὐχ
ὁρᾷς, ὡς πυκνὰ διακέκοφε τὸ ὅλον δρᾶμα ἡ ἐν ἡμῖν τοῖς τὸ
δρᾶμα συμπληροῦσι δύναμις; Οὕτω δὲ καὶ ἣν βούλει ὑπόθε-
σιν λαβών, διατεμῶ τὸν εἱρμὸν ὑμῶν, ἀποφανῶ τε ἀδύνατον d
32 ὄντα. Ἀλλὰ σὺ τὰ τῆς ὑποθέσεως ἔσχατα εἰδέναι λέγεις·
ἡ δὲ ὑπόθεσις ἐκ διακοπῆς εἱρμοῦ δυνάμεως ὅλη συντέτακται.
33 Ἦ ὃ λέγω οὐ συνίεις; Ἀλλὰ καθ' ἑκάστην ὑπόθεσιν, ὦ
μάντι, τὰ ζῷα ἢ ὀλίγας πολλάκις ἀρχὰς ποιούμενα, ἢ πολ-
λὰς ἐν αὐτῇ. Αἱ δὲ ἀρχαὶ ἀεὶ τὰ μέχρις αὐτῶν διακόψασαι,
αὐτὰ ἄλλα προάγουσι πράγματα· τὰ δ' ἐπὶ τοσοῦτον προ-
χωρεῖν δύναται, ἐφ' ὅσον ἐὰν μὴ ἄλλη ποθὲν ἐπιστᾶσα ἀρχὴ
τὰ μετ' αὐτὴν μὴ τοῖς ἔμπροσθεν ἀκολουθεῖν ἀλλ' ἑαυτῇ
34 κελεύσῃ. Εἴη δ' ἂν ἀρχή, καὶ ὄνος, καὶ κύων, καὶ ψύλλα. p. 260
Οὐ γὰρ παραιρήσει οὐδὲ τῆς ψύλλης, μὰ τὸν Ἀπόλλω, τὴν
ἐξουσίαν· ἀλλ' ὁρμήσει τινὰ ἰδίαν ὁρμὴν ἡ ψύλλα, ἢ καὶ

c 11. συμπληροῦσα] συμπληροῦσι B.I. ἴσ. αὐτοῖς pro τοῖς Vigeri margo. 12. δὴ] δὲ C.D.F.G. om. B. d 3. λέγεις] λέγοις B. qui om. ἡ δὲ—συντέτακται. διακοπῆς] διακοπτικῆς I. 5. συνιείς] ἴσ. συνίῃς Vigeri marg. 6. πολλάκις om. B.C.F.G. 8. αὐτῶν διακόψασαι αὐτὰ] διακόψασαι αὐταὶ B. αὐταὶ item I. ult. κελεύσῃ] κελευσει (η supra) C. κελευσείη F.G.

Quomodo tandem aut prælium inter se ambo commisissent, aut sanguine
31 obruta Laii domus universa periisset? Verumtamen hæc, inquis, omnia
re ipsa contigere. Omnino. Sed quæro nunc, qua tu ad rerum istarum
præsensionem aspirare via potueris. Non vides, quam sæpe totam fabulam
interceperit ea, quæ vere fabulam in nobis potestas implet? Ego vero,
quodcunque tu argumentum delegeris, eadem facilitate nexum hunc
32 vestrum incidam, nec ullo modo stare posse convincam. Dices argumenti
novissima explorata tibi ac perspecta esse: atqui ex hujus quoque nexus
33 interrupta vi argumentum illud universum aptum est. An forte quid
dicam non intelligis? Existunt nimirum, bone vates, ab ipsis animantibus
in quovis argumento initia quædam, pauciora nonnunquam, interdumque
plura. Ubi autem ea rerum ad sese pertinentium connexionem ac seriem
interciderint, ipsarum quoque rationes naturamque mutant. Eædem porro
eatenus duntaxat progredi poterunt, dum principium aliud aliunde nullum
ingruet, quod secum, non autem cum superioribus sequentia cohærere
34 jubeat. Fingamus ergo aliquod ejusmodi principium esse asinum, canem,
pulicem; neque enim, per Apollinem, suam vel pulici facultatem et in-
stinctum eripias: suo ipse quoque ac proprio feretur impetu, adeoque

[153] τοῖς ἀνθρωπίνοις πράγμασιν ἐνίοτε συμπλακεῖσα ἀρχὴν ἑαυ-
ΟΙΝΟΜΑΟΥ
35 τὴν παρέξεταί τινος ὁδοῦ. Σὺ δὲ χρώμενος οὐκ αἴσθῃ τῷ γένει τούτῳ.

Τρηχῖν᾽ ἐξεῖλες πόλιν Ἡρακλέος θείοιο,
ὦ Λοκρέ· σοὶ δὲ Ζεὺς ἄλλας δῶκ᾽, ἠδ᾽ ἔτι δώσει.

Τί φῄς; Οὐ γὰρ ἐπέπρωτο ὑφ᾽ ὑμῶν ἐξαιρεθῆναι αὐτήν; b
Καὶ τί αἴτιοι ἡμεῖς, ἀλλ᾽ οὐχ ἡ ὑμετέρα ἀνάγκη; Οὐ δίκαια ποιεῖς, ὦ Ἄπολλον, οὐδ᾽ ὀρθῶς ἐπιτιμᾷς τοῖς οὐδὲν ἀδικοῦσιν
36 ἡμῖν. Ὁ δὲ Ζεὺς οὗτος, ἡ τῆς ὑμετέρας ἀνάγκης ἀνάγκη, τί ἡμᾶς τίννυται, ἀλλ᾽ οὐκ (εἴπερ ἄρα) ἑαυτόν, ὅτι τοιαύτην κατέδειξεν εἶναι τὴν ἀνάγκην; Τί δὲ καὶ ἀπειλεῖ ἡμῖν; Ἢ τί ἡμεῖς, ὡς ὄντες τούτου κύριοι, λιμώττομεν; Ἀλλὰ καὶ ἤτοι ἀνοικισθήσεται πρὸς ἡμῶν, ἢ οὔ· ὁπότερον δ᾽ ἂν ᾖ, τοῦτο c
37 πέπρωται. Λῆξον δή, ὦ Ζεῦ λιμοποιέ, τοῦ θυμοῦ· ἔσται γὰρ ὃ πέπρωται, καὶ τοῦτο προστέτακται ποιεῖν ὁ σὸς εἱρμός·

p. 260. 5. ἀνθρωπίνοις] ἀνθρωπείοις B.C.F.G. 7. αἰσθητῷ] αἴσθε τῷ C. 9. τρηχῖν᾽] τριχὴν B.C.D.F.G. τροχῖν I. τριχῖν᾽ Steph. θείου] θείοιοι B.C. θείοιο D.F.G.I. Dedi Ἡρακλέος pro Ἡρακλῆος, ubi Ἡρακλῆο I. 10. ἄλλας] ἄυτὰς (sic) I. γρ. ἄτας Vigeri marg. b. ἐπέπρωτο] πέπρωτο B.C.D.F. Tum ἡμῶν C.G. 2. ὑμεῖς D.G. 5. τῆς] σῆς C.F.G. Mox τίνυται B.C.G.I. ὑμᾶς τίννυται F. 6. ἀνάγκης om. D. 10. λιμωτ.] λιμότ. C. εἴτι] ἤτοι B.C.F.G. εἴ τοι D. ἴσ. ἤ τι Vigeri marg. c 2. λῆξον—πέπρωται om. I. 3. ἔστι] ἔσται F.G.

rebus nonnunquam humanis implicitus, cujusdam sese viæ ducem princi-
35 piumque constituet. Tu autem hoc abs te quoque animalium genere consuli non intelligis.

O Locre, Herculeam ferro Trichina ruisti:
Juppiter ipse graves ultra pro crimine pœnas
Exiget.

Quid ais? Non decretum id fati a vobis erat, uti everteretur? Num hujus auctores excidii fuimus, ac non potius vestra illa necessitas? Injuriosus es, o Apollo, nec verum est pœnas abs te nobis, qui nihil peccavimus,
36 irrogari. Nam vester quidem ille Jupiter, (illa inquam necessitatis vestræ necessitas,) quorsum in nos, ac non potius, quando pœnas libet exigere, in se ipsum animadvertat, qui ejusmodi esse necessitatem ostenderit? Quorsum vero nobis minatur? Quorsum ipsi, quasi ea res potestatis nostræ fuerit, fame contabescimus? Cæterum ejusdem civitatis aliquid aut a nobis instaurabitur, aut non: utrum autem eveniat, in fatis jam est.
37 Desine ergo, Jupiter famis architecte, gravius irasci. Est enim id, quod ut esset, fatum fuit, atque id tuus iste nexus perficere jussus est. Nos

ΟΙΝΟΜΑΟΥ

ἡμεῖς δὲ πρὸς τοῦτον οὐδέν ἐσμεν. Παῦσαι δὲ καὶ σύ, ὦ
Ἄπολλον, μάταια χρησμῳδῶν· ἔσται γὰρ ὃ δεῖ, ἔσται, κἂν
σὺ σιωπᾷς. Ἡμεῖς δέ, ὦ Ζεῦ καὶ Ἄπολλον, τί πάθωμεν,
οὐδὲν ὄντες αἴτιοι τῆς ὑμετέρας νομοθετήσεως, τουτέστιν
ἀναγκοθετήσεως; Τί δ' ἡμῖν καὶ ταῖς ὑμετέραις ἄταις, ἃς
αὐτοὶ ἔχειν δίκαιοί ἐστε ὑπὲρ ὧν ἡμεῖς ἠναγκάσθημεν; d

38 Οἰταῖοι, μὴ σπεύδετ' ἀτασθαλίῃσι νόοιο.

Ἀλλ' οὐ σπεύδομεν, ὦ Ἄπολλον, ἀλλ' ἐλαυνόμεθα, οὐδὲ
39 ἀτασθαλίαις, ἀλλὰ τῇ ὑμετέρᾳ ἀνάγκῃ. Τὸν δὲ Λυκοῦργον
ἐκεῖνον πῶς, ὦ Ἄπολλον, ἐπαινεῖς, ὃς οὐκ ἦν ἀγαθὸς, οὔτε
ἑκὼν, οὔθ' ἑλόμενος, ἀλλὰ ἄκων; Εἴπερ που καὶ γίνεταί τις
ἀγαθὸς ἄκων. Ἔοικε δὲ ὃ νῦν ποιεῖτε, ὡς εἴ τις τοὺς μὲν
καλοὺς τὰ σώματα ἐπαινοίη καὶ γεραίροι, τοὺς δὲ αἰσχροὺς
40 ψέγοι καὶ κολάζοι. Δίκαια γὰρ εἴποιεν ἂν πρὸς ὑμᾶς οἱ
πονηροὶ, ὅτι οὐκ ἐπετρέψατε ἡμῖν, ὦ θεοὶ, ἀγαθοῖς γίνεσθαι,
οὐ μόνον δὲ, ἀλλὰ καὶ ἐβιάσασθε εἶναι πονηρούς· οἵ τε ἀγα-
θοὶ, εἰ ἐξηγκωνισμένοι περιπατοῖεν, οὐκ ἐπιτρέψει τις αὐ-

c 5. δὲ καὶ] δὲ om. B. 6. δὴ] δεῖ B.C.F.G. Mox σὺ om. C.F.G. 7. ἡμεῖς δὲ] ἡμεῖς τε B.C.D.F.G. 8. αἴτιοι om. B.C.D. Tum ἡμετ. B. 9. ἀναγκαθετ.] ἀναγκοθ. B.C.D.F.G. 10. ἡμῖν] ὑμῖν B.C.D.F.G. d 2. μὴ σπεύδετ'—ἀγαθοὶ om. B. ἀτασθαλίῃσι—οὐδὲ om. I. 4. ἡμετέρα D. 11. εἴποιεν ἂν] ἂν εἴπ. C.G. ἂν om. F. 13. ἀγαθοὶ D. 15. περιπατοῖεν] περιπατεῖεν C.G. περι παθεῖεν F. mox ἀλλ' ἀφήσει C.F.G.

vero, si cum eo committamur, nulli sumus. Tu quoque, Apollo, frustra vaticinari desine. Erit enim id profecto, quod futurum est, ut maxime tacueris. Nos autem, Jupiter, tuque Apollo, quid agamus, qui nullo modo impositæ a vobis non tam legis, quam necessitatis caussa simus? Quid nobis cum vestris illis pœnis ac furiis, quas ipsi profecto, ob ea quibus per vim obstricti sumus, ferre merito ac sustinere debeatis?

38 Ne vos, Œtæi, cæco mens improba motu
Abripiat.

Lycurgum immerito laudari, si fatum est.

Atqui non festinamus, Apollo, sed agimur: nec amentia, sed necessitate
39 vestra. Jam vero, Lycurgum, Apollo, quid est quamobrem ita prædices,
qui non sponte sua, vel inductione animi probus erat, sed plane invitus?
si tamen probus quisquam invitus esse potest. Perinde omnino agitis, ac
si quis elegantes ac formosos laudaret præmiisque afficeret, turpes vitupe-
40 raret ac puniret. Merito quippe vobis improbi objiciant, virtutem sibi per
vos minime colere licuisse, imo vobis cogentibus sese improbos fuisse.
Probos vero, si nimium sibi placuerint, nemo ferat: imo non jure succla-

CHURCH DIVINITY SCHOOL OF THE PACIFIC LIBRARY

ΟΙΝΟΜΑΟΥ

τοῖς, ἀλλὰ φήσει, ὦ Χρύσιππέ τε καὶ Κλέανθες καὶ ὅσοι p. 261 τούτου τοῦ χοροῦ, (ὑμεῖς γὰρ πεποιῆσθε εἶναι ἀγαθοὶ,) ἐγὼ
41 μὲν ἀρετὴν ἐπαινῶ, ὑμᾶς δὲ τοὺς ἐναρέτους οὐκ ἐπαινῶ. Ἀλλὰ καὶ τὸν Ἐπίκουρον, ὃν σὺ πολλὰ, ὦ Χρύσιππε, ἐβλασφήμησας, ἐγὼ τό γε ἐπί σοι ἀφίημι τῶν ἐγκλημάτων. Τί γὰρ πάθη ὃς οὐχ ἑκὼν ἦν μαλακὸς οὐδὲ ἄδικος, ὥσπερ πολλάκις αὐτὸν ἐλοιδόρησας;

42 Εὐτάκτων θνητῶν βιοτῇ θεοὶ ἵλαοί εἰσιν,
εὐσεβέων θ' ἁγίας θυσίας τιμάς τε δέχονται.

Δοκεῖτε δέ μοι οὐκ ἂν ταῦτα λέγειν, μὴ πεπεισμένοι ὅτι οὐκ b ἄκοντες ἀλλὰ βουλόμενοι χωροῦσιν, ἐφ' ἃ χωροῦσιν. Ἃ δ' ἂν βουληθῶσιν, οὔτε θεὸς οὔτε ἄνθρωπος σοφιστὴς, οὕτω προεληλεγμένων, τολμήσει λέγειν ὅτι ὑποτέτακται· ἢ λόγους μὲν οὐκέτι πρὸς αὐτὸν ποιησόμεθα, σκύτος δέ τι τῶν εὐτόνων λαβόντες, ὡς ἐπ' ἀνάγωγον παῖδα, τὰς πλευρὰς εὖ μάλα καταξανοῦμεν αὐτοῦ.

43 Τοσαῦτα πρὸς τὸν χρησμῳδὸν ὁ Οἰνόμαος ἀπετείνατο. Σὺ δ' ἀλλ' εἰ μὴ τῷ τοιῷδε χαίρεις, λαβὼν

p. 261. κλέανθες] κλέανθε C.D.F. κλέαντε G. 2. πεποιῆσθε] πεποιεῖσθαι D. qui mox om. ὑμᾶς—ἐπαινῶ. 10. ἵλαοι] ἵλαρον B. 12. δοκεῖτε δέ] δοκεῖτε δή I. b. ὅτι οὐκ] ὅτι om. C.F.G. 3. οὔτε θεοὺς F. 6. εὐτόνων] εὐγόνων F. 8. εὖ μάλα κατα om. B.C.F.G.

met nemo, Audi sis Chrysippe, tuque o Cleanthes, vosque circuli ejusdem cæteri, (vobis enim probitatem attribuitis;) equidem virtutem laudo, vos
41 tamen etiam virtute præditos non laudo. Quin Epicurum illum, quem tu, Chrysippe, adeo vehementer insectaris, si rem tuis ex decretis definio, ab omni crimine liberum pronunciem. Quid enim ageret, qui non sponte sua vel ad vitæ mollitiem, vel ad improbitatem adhæresceret? quo tu eum nomine criminari soles.

42 In placidos hominum inclinant pia numina mores,
Horum etiam cultu, et sacro lætantur honore.

Mihi quidem plane persuadeo, nunquam vos ita loquuturos esse, nisi homines ad ea quæ sequuntur, non vi ulla, sed voluntate sua duci crederetis. Quæ porro voluntatis nostræ sint, nemo unquam, neque deus, neque homo necessitati assignare audeat. Aut si quis tamen erit ejusmodi, non jam verbis cum eo contendamus, sed arrepta (ut in contumaces pueros fieri solet,) duriore scutica, plagis ei latera egregie concidamus.

43 Atque illa sunt, quibus in bonum vatem Œnomaus invehitur. Qui si tibi satis non est, perlege quæ a cæteris philosophis de fato dicun-

ἀνάγνωθι τὰ ἐκ τῶν ἄλλων φιλοσόφων περὶ εἱμαρμένης c
οὐ μόνον τῶν προπαρατεθέντων χρησμῶν ἀνατρεπτικά,
ἀλλὰ καὶ τῶν ἄλλων καθόλου περὶ τοῦ δόγματος ἐπι-
44 νοουμένων. Ἐπειδὴ γὰρ μὴ μόνον ἀμαθεῖς καὶ ἰδιῶται,
ἤδη δὲ καὶ ἐπὶ παιδείᾳ καὶ φιλοσοφίᾳ μέγα φρονήσαντες
πλείους κατεσύρησαν ὁμόσε τῷ δόγματι, ἡγοῦμαι δεῖν
ἀναγκαίως τὰς αὐτῶν τῶν φιλοσόφων πρὸς σφᾶς αὐ-
τοὺς ἀντιρρήσεις ἐκθέσθαι εἰς ἀκριβῆ τοῦ προβλήματος
διάσκεψιν. Πρῶτα δὴ οὖν σοι παραναγνώσομαι ἀπὸ
τῶν Διογενιανοῦ τὰ περὶ εἱμαρμένης, ὧδέ πως τῷ Χρυ- d
[154] σίππῳ ἀντειρημένα·

8 Ἄξιον δὲ ἐπὶ τούτοις ἅπασι παραθέσθαι καὶ τὰ δοκοῦντα p. 262
Χρυσίππῳ τῷ Στωϊκῷ περὶ τοῦ λόγου τοῦδε. Οὗτος γὰρ ΔΙΟΓΕΝΙΑΝΟΥ
ἐν τῷ πρώτῳ Περὶ εἱμαρμένης βιβλίῳ βουλόμενος δεικνύναι
τὸ δὴ πάνθ' ὑπὸ τῆς ἀνάγκης καὶ τῆς εἱμαρμένης κατει-
λῆφθαι, μαρτυρίοις ἄλλοις τέ τισι χρῆται, καὶ τοῖς οὑτωσὶ
παρ' Ὁμήρῳ τῷ ποιητῇ λεγομένοις,

c. εἱμαρμ. καθόλου περὶ τ. δ. ὑπονοουμένων F. μόνον] μόνων D. 3. ἄλλων] ἄλλως D. 7. ὁμόσε] ὁμόσαν I. 8. αὐτῶν] αὐτῶν τῶν B.C.D.F.G.I. 9. ἀντιρρήσεις ἐκθέσθαι] ἀντιλογίας τε καὶ ἀντιρρήσεις ἐκθήσεσθαι I. προβλήματος] προβληθέντος C.F.G. Tum διάγνωσιν I. 11. διογενιανοῦ] διογενειανοῦ C.D.F.G. et sic mox. d. τῷ Χρ.] τῶν χρ. C.
p. 262. 3. τοῦδε] τούτου C.F.G. 4. εἱμαρμ.] τῆς εἱμ. B. 5. πάντ' ὑπὸ τῆς] πάνθ' ὑπ' B.C.F.G. 8. τῷ ποιητῇ] τῷ om. Viger.

tur, quæque non producta modo superius oracula, sed etiam quicquid
usquam huic dogmati statuendo excogitari solet, funditus evertunt.
44 Nam cum non rudes solum et imperiti, sed etiam qui doctrinarum
ac sapientiæ studio maxime gloriantur, hac simul opinione trahi jam
soleant, mutuas philosophorum ipsorum pugnas, quo propositæ quæ-
stionis veritas accurate dispiciatur, oculis subjicere necessarium arbi-
tror. Primum igitur, ex Diogeniani operibus, quæ ab eo contra
Chrysippum de fato disputantur, recitabo. Ita habent :

8 Verum operæ pretium fuerit, inquit, superioribus omnibus Chrysippi quoque hominis Stoici hoc loco sententiam adjungere. Ille enim primo libro de fato, cum necessitatis omnia fatique legibus teneri probare vellet, cum aliis quibusdam, tum sequentibus Homeri poetæ testimoniis usus est,

ΔΙΟΓΕΝΙΑΝΟΥ

Ἀλλ' ἐμὲ μὲν κὴρ
ἀμφέχανε στυγερὴ, ἥπερ λάχε γεινόμενόν περ. b

2 καὶ,

Ὕστερον αὖτε τὰ πείσεται, ἅσσα οἱ αἶσα
γεινομένῳ ἐπένησε λίνῳ, ὅτε μιν τέκε μήτηρ·

καὶ,

Μοῖραν δ' οὔ τινά φημι πεφυγμένον ἔμμεναι ἀνδρῶν.

οὐ θεωρῶν ὅτι τὰ ἀλλαχοῦ πάλιν παρὰ τῷ ποιητῇ λεγόμενα τούτοις ἄντικρυς ἠναντίωται, οἷς καὶ αὐτὸς ἐν τῷ δευτέρῳ βιβλίῳ χρῆται, βουλόμενος συνιστᾶν τὸ καὶ παρ' ἡμᾶς c πολλὰ γίνεσθαι, οἷον τὸ,

Αὐτοὶ γὰρ σφετέρῃσιν ἀτασθαλίῃσιν ὄλοντο.

καὶ τὸ,

Ὦ πόποι, οἷον δή νυ θεοὺς βροτοὶ αἰτιόωνται.
ἐξ ἡμέων γάρ φασι κάκ' ἔμμεναι, οἱ δὲ καὶ αὐτοὶ
σφῇσιν ἀτασθαλίῃσιν ὑπὲρ μόρον ἄλγε' ἔχουσι.

3 Ταῦτα γὰρ καὶ τὰ τοιαῦτα τῷ πάντα γίνεσθαι καθ' εἱμαρ- d

a 10. γινόμενον] γειν. C.I. Vig. b 2. ὅσσα] ἅσσα C.F.G.I. Usque ad ἠναντίωται om. B. 6. μοῖραν δ'] καὶ μοιρὰν C.F.G.I. οὐ μοῖραν οὔ τινα D. οὐ μοῖραν E. καὶ ἴσ. add. Vigeri marg. c 3. ὄλοντο] ὤλοντο B.C. 6. δή νυ om. B. 8. ἐξ ἡμέων—ἔμμεναι om. B. 10. ὑπὲρ —ἔχουσι] ὤλοντο B. d. τῷ πάντα] τὸ π. B.C.D.

Il. ψ'. 78.

me fatum absorbuit atrox
Quod me vitales nascentem eduxit in auras.

2 Itemque,

Il. υ'. 127.

Exin cuncta feret, quæ neverit olim
Parca sibi, matris cum primum exiret ab alvo.

Et rursus,

Nemo hominum sese fato subduxerit unquam.

Homerum fato non suffragari, sed voluntatis libertati.

Quo in genere non vidit, alia pleraque apud eundem poetam extare loca, quæ cum istis omnino pugnent. Quibus tamen, sequente libro, ad probandam in plurimis voluntatis nostræ vim ac potestatem, ipsemet abutitur. Cujusmodi illud est,

Od. α'. 7.

Illos quippe animi pravus male perdidit error.

Itemque quod sequitur,

Od. α'. 32.

Pro quanta in superos mortales crimina fingunt!
Nos illi caussasque vocant, fontesque malorum:
Cum mentis vitio, sibi præter fata dolores
Sponte creent.

3 His enim profecto atque similibus, non omnia fato fieri docetur. Imo ne

ΔΙΟΓΕΝΙΑΝΟΥ

μένην ἠναντίωται. Οὐ μὴν οὐδ' ἐκεῖνο συνιδεῖν ἠδυνήθη, τὸ μηδαμῶς τὸν Ὅμηρον μηδ' ἐν ἐκείνοις τοῖς ἔπεσι συμμαρτυρεῖν αὐτοῦ τῷ δόγματι. Οὐ γὰρ τὸ πάντα γίνεσθαι καθ' εἱμαρμένην, ἀλλὰ μᾶλλον τό τινα κατ' ἐκείνην συμβαίνειν ἐξ
4 αὐτῶν ὑποβάλλων εὑρεθήσεται. Τὸ γὰρ

Ἀλλ' ἐμὲ μὲν κὴρ
ἀμφέχανε στυγερή, ἥ τις λάχε γεινόμενόν περ,

οὐχ ὅτι πάντα κατὰ τὴν κῆρα συμβαίνει λέγοιτο ἄν, ἀλλ' αὐτὸ τὸ τεθνήξεσθαι· καὶ γὰρ ὡς ἀληθῶς παντὶ γεννητῷ ζῴῳ
5 θανεῖν καθείμαρται. Ἀλλὰ μὴν καὶ τό,

Ὕστερον αὖτε τὰ πείσεται ἅσσα οἱ αἶσα
γεινομένῳ ἐπένησε λίνῳ, ὅτε μιν τέκε μήτηρ, p. 263

τὸ αὐτὸ βούλεται. Οὐ γάρ, ὅτι πάντα αὐτῷ τὰ μετὰ ταῦτα καθ' εἱμαρμένην συμβήσεται, λέγει, ἀλλ' ὅτι κατ' ἀνάγκην αὐτῷ τινὰ συμβήσεται. Ἡ γὰρ τοῦ ἅσσα διαστολὴ τί ποτε ἕτερον ἢ τοῦτο σημαίνει; Πολλὰ δὲ κατ' ἀνάγκην ἡμῖν,
6 εἰ καὶ μὴ πάντα, ἐπίκειται. Καὶ τό,

d 2. ἠναντίωται] αἰτιόωνται B.C.F.G. 5. αὐτῷ] αὐτοῦ B.C.F.I. Mox τὸ om. C.F.G. 7. ἐξ αὐτῶν] δι' αὐτῶν I. 10. γινόμενον] γεινόμενον C. 12. κατὰ] τὰ κατὰ C.F.G. Mox συμβαίνει pro συμβαίνειν secundum Vigeri marginem. 15. μὴν om. I. 16. ὅσσα—λίνῳ om. B. αὖτι—πείσσεται ἅσσα D. ἅσσα F.G.

p. 263. 3. καθ' εἱμαρμένην τὰ μετὰ ταῦτα] τὰ μετὰ ταῦτα καθ' εἱμαρμένης B. τὰ μετὰ ταῦτα καθ' εἱμαρμένην D.F.G. 5. τινα om. C.F.G. 6. ὅσσα] ἅσσα C.D.F. pr. G.

hoc quidem videre potuit, Homerum dogmati suo, nequaquam superioribus illis versibus suffragari. Nec enim is omnia, sed aliqua tantum fato assig-
4 nanda esse ponit. Nam illud quidem,

me fatum absorbuit atrox,
Quod me vitales nascentem eduxit in auras,

mortem solum, non omnia fato contingere significat: recte id quidem,
5 omni enim animanti, ex quo nascitur, continuo mori fatum est. Quod sequitur,

Exin cuncta feret, quæ neverit olim
Parca sibi, matris cum primum exiret ab alvo,

eundem plane sensum habet. Nec enim quæcunque deinceps futura essent, ea fato futura pronuntiat omnia, sed eorum nonnulla duntaxat necessitati tribuit. Nam illa vocis hujus, Quæcunque, distinctio, quid tandem aliud, nisi hoc ipsum, indicat? Nobis porro, uti non omnia, sic
6 pleraque vi necessitatis ingruere certum est. Illud etiam,

ΔΙΟΓΕΝΙΑΝΟΥ

Μοῖραν δ' οὔ τινά φημι πεφυγμένον ἔμμεναι ἀνδρῶν,

ἄριστα εἴρηται. Τίς γὰρ ἂν δύναιτο τὰ κατ' ἀνάγκην παντὶ b
ζώῳ συγκυροῦντα διαφυγεῖν; Ὥστ' οὐχ ὅπως σύμψηφον ἂν ἔχοι τὸν Ὅμηρον Χρύσιππος ἐν τῷ πάντα καθ' εἱμαρμένην γίνεσθαι νομίζειν, ἀλλὰ καὶ ἐναντιούμενον, εἴ γε ἐκεῖνος μὲν ὅτι πολλὰ γίνεται παρ' ἡμᾶς σαφῶς καὶ πολλάκις εἴρηκε, τὸ δ' ὅτι κατὰ ἀνάγκην πάντα συμβαίνει, οὐδαμοῦ ῥητῶς λέγων
7 ἂν εὑρεθείη. Καὶ τῷ ποιητῇ μὲν, ἅτε οὐ τὴν ἀλήθειαν ἡμῖν τῆς τῶν ὄντων φύσεως ὑπισχνουμένῳ ἀλλὰ μιμουμένῳ πάθη τε καὶ ἤθη καὶ δόξας παντοίας ἀνθρώπων, ἁρμόττον ἂν εἴη καὶ τὰ ἐναντία λέγειν πολλάκις· φιλοσόφῳ δὲ, οὔτε τὰ c
ἐναντία λέγειν, οὔτε ποιητῇ δι' αὐτὸ τοῦτο χρῆσθαι μάρτυρι.

8 Καὶ μεθ' ἕτερά φησι,

Τεκμήριον δὲ καὶ ἄλλο ἰσχυρὸν φέρειν Χρύσιππος οἴεται τῆς ἐν ἅπασιν εἱμαρμένης, τὴν θέσιν τῶν τοιούτων ὀνομάτων. Τήν τε γὰρ πεπρωμένην πεπερασμένην τινά φησιν εἶναι καὶ

p. 263. 12. ἄριστα] ἄριστά τις B. ἂν δύναιτο] ἂν om. F. b 3. χρύσιππον F. 6. παρ' ἡμᾶς—εὑρεθείη. καὶ om. B. 8. λέγων ἂν εὑρ.] ἂν εὑρ. λεγ. C.F.G. ἂν om. D. 10. μεμιγμένω] μιμουμένῳ B.C.F.G.I. Hoc conj. Wyttenbach. ad Plutarch. p. 26 A. vel μεμιγμένα vel μεμιμημένα (ων). 11. παντοίας] παντοίας D. 12. ἁρμόττον ἂν εἴη καὶ τὰ ἐναντία λέγειν πολλάκις] ἁρμόττει πολλάκις καὶ τὰ ἐ. λ. B.C.F.G.S.V. ἁρμόττει D. c. οὐδὲ—οὐδὲ] οὔτε—οὔτε B.C.F.G. et pr. l. D. λέγειν om. B. 3. μάρτυρι] μαρτύριον B. τεκμήριον—μερισμοῦ om. B. 4. ἄλλο] καὶ ἄλλο C.D.F.G.I. φέρειν om. D. 5. τῆς ἐν—εἱμαρμένης] τοῦ ἐν—εἱμαρμένην C.F.G. εἱμαρμένην corr. D. θέσιν] δέσιν C.

Nemo hominum sese fato subduxerit unquam,

optime dictum est. Quis enim ea quæ animantibus omnibus necessario eveniunt declinare possit? Tantum igitur abest, ut Homerus Chrysippo rerum omnium rationes in fato collocanti suffragetur, ut etiam cum eo pugnet; cum ille multa sæpe ac diserte juris arbitriique nostri fecerit,
7 nusquam vero necessitati omnia conceptis verbis assignarit. Cæterum poetæ fortassis, qui non jam rerum nobis earumque naturæ veritatem pollicetur, sed multiplices ac varias hominum perturbationes, morumque ac sententiarum rationes congerit, pugnantia sæpe loqui liceat: philosophum quidem neque pugnantia loqui, neque poetarum in eum finem testimoniis abuti deceat.

8 Et nonnullis interjectis.

Aliud, inquit, fato rebus in omnibus statuendo, potens in primis ac solidum argumentum esse Chrysippus arbitratur, ipsam nominum ejusmodi rationem. Nam *πεπρωμένην* quidem, perinde ac *πεπερασμένην*

ΔΙΟΓΕΝΙΑΝΟΥ

[155] συντετελεσμένην διοίκησιν, τήν τε εἱμαρμένην, εἱρομένην τινὰ,
9 εἴτε ἐκ Θεοῦ βουλήσεως, εἴτε ἐξ ἧς δή ποτε αἰτίας. Ἀλλὰ καὶ τὰς Μοίρας ὠνομάσθαι ἀπὸ τοῦ μεμερίσθαι καὶ κατανενε- d μῆσθαί τινα ἡμῶν ἑκάστῳ. Οὕτω δὲ καὶ τὸ χρεὼν εἰρῆσθαι, τὸ ἐπιβάλλον καὶ καθῆκον κατὰ τὴν εἱμαρμένην. Τόν τε ἀριθμὸν τῶν Μοιρῶν τοὺς τρεῖς ὑποβάλλει χρόνους ἐν οἷς
10 κυκλεῖται τὰ πάντα, καὶ δι᾽ ὧν ἐπιτελεῖται. Καὶ Λάχεσιν μὲν κεκλῆσθαι παρὰ τὸ λαγχάνειν ἑκάστῳ τὸ πεπρωμένον· Ἄτροπον δὲ, κατὰ τὸ ἄτρεπτον καὶ ἀμετάθετον τοῦ μερισμοῦ· Κλωθὼ δὲ, παρὰ τὸ συγκεκλῶσθαι καὶ συνείρεσθαι τὰ πάντα, καὶ μίαν αὐτῶν τεταγμένην τινὰ εἶναι διέξοδον. Ταῦτα γὰρ καὶ τὰ τούτοις παραπλήσια φλυαρῶν, ἀποδεικνύναι τὴν ἐν
11 ἅπασιν ἀνάγκην νομίζει. Ἐμοὶ δὲ θαυμάζειν ἔπεισιν, εἰ p. 264 τοιαῦτα λέγων οὐκ ᾐσθάνετο τῆς ματαιολογίας τῆς ἑαυτοῦ. Ἔστω γὰρ ταύταις ταῖς ἐννοίαις κεχρημένους τοὺς ἀνθρώπους, καθὼς αὐτὸς ἐτυμολογεῖ, τὰ ὀνόματα τεθεῖσθαι τὰ

c 10. ποτε] ποτοῦν C.D.F.G.S.V. οἱασδήποτε Theodoret. p. 87, 2. 11. μεμερ.] καταμεμερ. C.D.F.G. d 2. χρεὼν] χρεὼν παρὰ τὸ χρέος Theodoret. 3. τὴν om. D. 5. κυκλεῖται] κεκλεῖται C.F.G. Mox λάχεσαν C.F.G. 8. ἄτρεπτον] ἀμετάτρεπτον C.F.G. ἀμετάθετον E.I. pro ἀμετάβατον. et sic Theodoret. 9. συγκεκλῶσθαι] συγκλώθεσθαι I. 11. τινα om. D.F. διέξοδον] δόξαν Theodoret. ult. νομίζει] νομίζειν D.

p. 264. 2. ματαιολογίας τῆς ἑαυτοῦ] ἑαυτοῦ ματ. B.F.G. αὐτοῦ μ. C. 4. καθ᾽ οὓς] καθὼς B.C.E.F.G.I.

quandam, hoc est, omni ex parte cumulatam perfectamque administrationem, appellatam esse vult: εἱμαρμένην vero, quasi εἱρομένην, hoc est ex divina voluntate, aut alia quavis ex caussa nexam atque aptam.
9 Quin etiam μοίρας, (Parcas) ex eo dictas opinatur, quod unicuique nostrum una earum aliqua μεμέρισται, attributa sit. Imo nec aliunde τὸ χρεὼν appellatum esse, quam quod fato ipso debeatur. Jam Parcarum numerum, tribus illis temporibus quibus omnia volvuntur ac perficiuntur, accom-
10 modat. Et Lachesin quidem ita nominatam esse, quod suam cuique sortem λαγχάνῃ attribuat: Atropon vero, κατὰ τὸ ἄτρεπτον, quod ea sors nec mutari nec declinari possit: Clotho denique, παρὰ τὸ συγκεκλῶσθαι, quod uno veluti communique stamine ducta connexaque omnia sint, et unum aliquem proprium ac singularem cursum et exitum habeant. Atque his, similibusque nugis, eam se fati necessitatem, quæ rebus omnibus
11 dominetur, confecisse putat. Mihi vero plane mirari subit, quemadmodum ipse, dum ista diceret, quam inania quamque frivola diceret, non senserit. Esto enim, demus eos tum, quos in eruendis notationibus illis sequitur, hominum sensus et cogitationes fuisse, cum ejusmodi nominibus uterentur,

Nominis Parcarum etymologia ex Chrysippo.

ΔΙΟΓΕΝΙΑΝΟΥ

ἐκκείμενα, δοξάζοντας τὰ πάντα κατειληφέναι τὴν εἱμαρμένην,
καὶ ἀμεταθέτους εἶναι τὰς ἐξ αἰῶνος προκατειλημμένας ἐν
12 πᾶσι τοῖς οὖσί τε καὶ γιγνομένοις αἰτίας. Τί οὖν ἀκολου-
θεῖς, ὦ Χρύσιππε, πάσαις ταῖς τῶν ἀνθρώπων δόξαις, καὶ
οὐδεμία σοι περὶ οὐδενὸς φαίνεται διεψευσμένη, ἀλλὰ πάντες b
13 τῆς ἀληθείας εἰσὶ θεωρητικοί; Πῶς οὖν οὐδένα φῂς ἄνθρω-
πον, ὃς οὐχὶ μαίνεσθαί σοι δοκεῖ κατ' ἴσον Ὀρέστῃ τε καὶ
Ἀλκμαίωνι, πλὴν τοῦ σοφοῦ; ἕνα δὲ ἢ δύο μόνους φῂς σο-
φοὺς γεγονέναι, τοὺς δὲ ἄλλους δι' ἀφροσύνην ἐπίσης τοῖς
14 προειρημένοις μεμηνέναι; Πῶς δὲ ἀνασκευάζεις αὐτῶν τὰς
δόξας ἐκείνας ὡς διημαρτημένας, οἷον τὰς περὶ πλούτου καὶ
δόξης καὶ τυραννίδος καθόλου τε ἡδονῆς, ἅπερ ἀγαθὰ νενομί-
κασιν οἱ πλεῖστοι; Πῶς δὲ τοὺς κειμένους νόμους ἡμαρ-
τῆσθαι φῂς ἅπαντας καὶ τὰς πολιτείας; Ἢ διὰ τί πλῆθος c
τοσούτων βιβλίων συνέγραψας, εἰ περὶ μηδενὸς εἶχον οἱ ἄν-
15 θρωποι δόξας διημαρτημένας; Οὐ γάρ, ὅταν μὲν ταυτά σοι
δοξάζωσιν, ὀρθῶς φρονεῖν αὐτοὺς φήσομεν, ὅταν δὲ διάφορα,

5. *ἐκκείμενα*] *ἐγκείμενα* C.F.G. 6. *εἱμαρμ.*] *τὴν εἱμαρμ.* E.F.G. 7. *προκατειλημμένας*] *προκαταβεβλημένας* E.I. Vigeri margo. 8. *γινομένοις αἰτίοις*] *γιγνομένοις αἰτίας* C.F.G. *γιγνημένης αἰτίας* B. *αἰτίας* E.I. Vigeri marg. Mox *ἀκολουθεῖ* D. b. *θεωρητικοὶ*] *θεωρητικὴ* B. 3. *ἀλκμαίωνι*] *ἀλκμέωνι* B.C.F.G. Vid. Elmslium ad Eurip. Bacch. 337. var. lectt. Herodot. I. 59. 5. *φῂς σοφοὺς*] *σοφοὺς φῂς* B.C.F.G. *δι' ἀφροσύνην*] *ἐξ ἀφροσύνης* B.C.D.F.G.S.V. qui mox *μεμηνέναι τοῖς προει.* 7. *τὰς* om. D. 10. *νενομίκασιν οἱ πλ.*] *εἶνε ὑπέλαβον* B. *καθὰ* C.F.G. pro *ἀγαθά*. *ἀγαθὸν ἐνομίκασιν* E. 11. *δὲ τοὺς*] *δὲ καὶ τοὺς* F.G. c 2. *συνέγραψας*] *συνέγραψαν* C.F.G. *συνέγραφες* I. 3. *εἰ περὶ*] *εἰπὲ* C.

quod fato teneri omnia, et immutabiles ex omni ævo rerum earum, quæque
12 sunt, quæque fiunt, positas ante ac definitas esse caussas putarent. Quor-
sum ergo, Chrysippe, omnes tibi hominum opiniones probantur? cur falsa
ullo in genere videtur nulla? Num verum arbitraris non pervidere nemi-
13 nem? Cur ergo, præter unum sapientem, mortalium neminem non perinde
ut Orestem aut Alcmæonem furere existimas? sapientem vero non nisi
unum aut alterum extitisse, reliquos omnes, non minore quam ambos illos
14 insania teneri ac laborare vis? Deinde, quemadmodum opiniones illas
tanquam falsas evertis, quas de opibus, de gloria, de imperio, deque omni
voluptatis genere imbiberunt, quas res in bonis plerique ducunt? quorsum
leges omnes, omniaque rerumpublicarum genera perperam instituta esse
defendis? aut si nulla in re secus homines illi sentiebant, quorsum tot
15 volumina conscripsisti? Neque enim, opinor, sapere tum demum eos
dixerimus, cum ad opinionem sese tuam adjunxerint, ubi autem ab ea

ΔΙΟΓΕΝΙΑΝΟΥ

16 μαίνεσθαι. Πρῶτον μὲν γὰρ οὐδὲ σὺ φῂς σοφὸν εἶναι σεαυτὸν, μήτι γε ἡμεῖς, ἵνα κριτήριον ποιώμεθα τοῦ καλῶς ποτὲ ἐκείνους φρονεῖν, τὸ τῇ σῇ δόξῃ συνδραμεῖν· ἔπειτ', εἰ καὶ τοῦτο ἦν ἀληθὲς, τί λέγειν ἐχρῆν μαίνεσθαι πάντας ἐπίσης, καὶ οὐχὶ καθὸ μὲν ἐφαίνοντο ταυτά σοι δοξάζοντες κατὰ d
τοῦτο αὐτοὺς ἐπαινεῖν, ὡς ὀρθοῦ τινὸς ἐπειλημμένους, καθὸ
17 δὲ διεφώνουν ἁμαρτάνειν αὐτοὺς ὑπολαμβάνειν; Μαρτύριον μέντοι τῆς ἀληθείας ἱκανὸν ἡγεῖσθαι τὸ δοκοῦν ἐκείνοις, οὐδὲ οὕτως ἐχρῆν φύσει, καὶ μὴ μαίνεσθαι καθάπερ σὺ οἴει, ἀλλὰ
18 πολύ γε ἀφεστηκέναι σοφίας πᾶς ἄν τις ὁμολογήσειε. Γελοίως οὖν καὶ σὺ χρήσῃ μάρτυσι τούτοις διὰ τῆς θέσεως τῶν ὀνομάτων, οὓς οὐδὲν ἂν κατά γε σύνεσιν σεαυτοῦ φήσαις διαφέρειν, εἰ μὴ ἄρα τοὺς ἐξ ἀρχῆς θεμένους ταῦτα τὰ ὀνόματα σοφοὺς εἶναι συμβέβηκεν, ὅπερ οὐδαμῶς δεῖξαι δυνήσῃ.
19 Ἀλλὰ γὰρ δεδόσθω σοι τοῦθ' οὕτως ἔχειν, καὶ τὰ ὀνόματα ἐκεῖνα τίθεσθαι ὡς σὺ βούλει τὰς σημασίας ἔχοντα, καὶ μὴ p. 265
κατὰ δόξας ψευδεῖς τὸ τοιοῦτον γεγονέναι· ποῦ τοίνυν δι'

c 7. φῂς om. C. post εἶναι ponit F.G. μή τι γε] μή τοι γε C.D. F.G. 9. τῷ μὴ τῇ] τὸ τῇ B.C.D.F.G. μὴ om. I. 10. ἔπειτ' εἰ— θεμένους om. B. 12. ταυτά] τὰ αὐτὰ C.D.F. δοξάζοντες] δοξάζοντας C.G. d 7. σοι εἴσι D. 9. χρήσῃ μάρτυσι] μάρτυσι χρ. C.F.G. χρῆσαι E.I. 14. δυνήσῃ] δυνῆσαι (η superscr.) D.
p. 265. βούλει] βούλῃ D. Supra ἐκτιθέσθαι F. 2. σημασίας] συμ. C. σηματίκας G. corr.

16 discesserint, furere. Primum enim, sapientem ne tu quidem ipsum te pronuntias, nedum pronuntiemus ipsi, ut ex eo recte illos interdum sentire judicemus, quod sese aliquando ad tuam sententiam aggregent: deinde, ut id quoque verum sit, quid necesse fuit insanos pariter ac simpliciter omnes appellare? quin tu eos potius, quatenus in eadem qua tu sententia versabantur, laudabas tanquam recti ac veri aliquid sequutos: quatenus vero ab ea discrepabant, erroris eos ac stultitiæ, si ita videbatur, arguebas?
17 Testimonium quidem veritatis idoneum et exploratum id habere, quod ita sentirent, id vero si non insanire, quod tu de illis existimas, saltem ab
18 omni sapientia prorsus alienum esse nemo non jure fateatur. Ridiculus ergo es, dum testes eos ab ejusmodi nominum impositione laudas, quibus tamen nihil unquam judicio saltem prudentiaque concedas: nisi vero, qui ab initio genus hoc nominum rebus istis indidere, sapientes iidem casu
19 aliquo fuerint; id quod tu nunquam ostenderis. Verum detur etiam hoc, quamque defendis, ea nominibus illis significatio tribuatur, nec errore opinionis ullo factum istud fuerit. Quomodo tamen omnia prorsus fato

ΔΙΟΓΕ-ΝΙΑ-ΝΟΥ

αὐτῶν σημαίνεται τὰ πάντα ἀπαξαπλῶς καθ' εἱμαρμένην
20 εἶναι, καὶ μὴ (εἰ ἄρα) ταῦτα μόνα ὧν ἐστὶν εἱμαρμένη; Ὅ τε
γὰρ τῶν Μοιρῶν ἀριθμὸς, καὶ τὰ ὀνόματα αὐτῶν, καὶ ὁ τῆς
Κλωθοῦς ἄτρακτος, καὶ τὸ ἐπειλημένον αὐτῷ νῆμα, καὶ τὸ
ἐπίκλωσμα τούτου, καὶ ὅσα ἄλλα τοιαῦτα λέγεται ἐν ἐκεί-
νοις, ἐνδείκνυται τὸ ἀπαράβατον καὶ ἐξ αἰῶνος καθῆκον τῶν
αἰτιῶν, ὅσα οὑτωσὶ κατηνάγκασται γενέσθαι, καὶ ὅσα ἄλλως b
21 [156] ἔχειν κεκώλυται. Πολλὰ δ' ἂν εἴη τὰ τοιαῦτα· ὅσα δὲ οὐχ
οὕτω γίνεται, τούτων τισὶ μὲν οἱ ἄνθρωποι θεοὺς διοικητὰς
καὶ δημιουργοὺς ἐπεφήμισαν, τινῶν δὲ ἡμᾶς αὐτοὺς αἰτίους
ὑπέλαβον, ἄλλων δὲ αὖ πάλιν τὴν φύσιν, ἄλλων τὴν τύχην.
22 Ἧς τὸ εὐμετάβολον καὶ ἄστατον καὶ νῦν μὲν οὕτω νῦν δὲ
οὕτως ἔχον ἐνδείξασθαι βουλόμενοι, εἰδωλοποιήσαντες τὸ
ποιὸν τοῦτο σύμπτωμα τῶν πραγμάτων, ἐπὶ σφαίρας βεβη-
23 κυῖαν τὴν τύχην ἔδειξαν. Ἦ οὐχὶ δὲ δεδόξασται παρὰ τοῖς c
ἀνθρώποις καὶ ταῦτα; Καὶ γὰρ εἴ ποτε συνταράττουσι τὰ
αἴτια, καὶ ὅσα μὲν καθ' εἱμαρμένην ἢ κατὰ τύχην γίνεται, ταῦ-
τα ἐκ θείας δυνάμεως γίνεσθαι νομίζουσιν, ὅσα δὲ παρ' ἡμᾶς,
ταῦτα καθ' εἱμαρμένην· ἀλλ' ὅτι γε πάντα τὰ αἴτια ταῦτα

a 4. ἀπαξαπλῶς] ἐξ ἁπλῶς C.F.G. τὰ πάντα om. D. 5. μὴ] μὴν C.F. 8. κλωθοῦς] κλωθῶ C.F.G. 10. τοιαῦτα ἄλλα] ἄλλα τοιαῦτα B.C.F.G. b 4. ἐπεφήμισαν] ἐπεφήμησαν B. 7. εὐμετάβολον] ἀμετάβολον E. 11. τύχην] ψυχὴν F. c. δεδόξασται] δεδόξασθαι E. δὲ om. G.I. 2. ἀεὶ] γρ. εἰ Vigeri margo, et sic I. 6. ὅτι γε] ὅτι δὲ C.F.G.

fieri significant, ac non potius, (si qua nominum istorum vis est) ea tan-
20 tummodo, quæ fati lege teneantur? Nam et Parcarum numerus, ipsarumque nomina, et Clothonis fusus, et glomeratum in eo filum, ductique ex eo staminis necessitas, et quæcunque adduntur præterea, certum forte quendam atque ex omni æternitate aptum caussarum inter se nexum iis in rebus ostendant, quæ necessario vel ita fiant, vel aliter habere non possint.
21 Cujusmodi ut esse plerasque fateamur; quæcunque tamen ejus conditionis non sunt, iis homines partim moderatores auctoresque deos attribuerunt, partim nos ipsos, partim naturam, atque fortunam caussas earum proprias
22 esse voluerunt. Ac fortunæ quidem ut instabilem volubilemque motum, perpetua mutatione conjunctum ostenderent, eamque rerum inconstantiam simulachro quodam adumbrarent, insidentem globo fortunam expressere.
23 Quid si ne ista quidem apud homines fixa omnino rataque videntur esse? Ut enim caussas interdum principiaque conturbent, quæque vel fato, vel casu fiunt, ea divino numine fieri arbitrentur; quæ vero arbitrii nostri viribus efficiuntur, eadem fato assignanda putent: quin principia tamen

ΔΙΟΓΕΝΙΑΝΟΥ

24 ἐν τοῖς οὖσι εἶναι δοξάζουσι, παντί που δῆλον. Ὥστε οὐδὲ τὰς τῶν ἀνθρώπων ὑπολήψεις, οὐδὲ τὰς θέσεις τῶν τοιούτων ὀνομάτων συμμαρτυρεῖν τῇ Χρυσίππου δόξῃ συμβέβηκε. d

25 Τούτοις ἑξῆς ἐπιλέγει·

Ἐν μὲν οὖν τῷ πρώτῳ Περὶ εἱμαρμένης βιβλίῳ τοιαύταις τισὶν ἀποδείξεσιν κέχρηται, ἐν δὲ τῷ δευτέρῳ λύειν πειρᾶται τὰ ἀκολουθεῖν δοκοῦντα ἄτοπα τῷ λόγῳ τῷ πάντα κατηναγκάσθαι λέγοντι, ἅπερ καὶ ἡμεῖς κατ' ἀρχὰς ἐτίθεμεν· οἷον τὸ ἀναιρεῖσθαι δι' αὐτοῦ τὴν ἐξ ἡμῶν αὐτῶν προθυμίαν περὶ ψόγους τε καὶ ἐπαίνους καὶ προτροπὰς καὶ πάνθ' ὅσα παρὰ

26 τὴν ἡμετέραν αἰτίαν γιγνόμενα φαίνεται. Φησὶν οὖν ἐν τῷ δευτέρῳ βιβλίῳ, τὸ μὲν ἐξ ἡμῶν πολλὰ γίνεσθαι δῆλον εἶναι, οὐδὲ δὲ ἧττον συγκαθειμάρθαι καὶ ταῦτα τῇ τῶν ὅλων διοι-

27 κήσει. Κέχρηταί τε παραδείγμασι τοιούτοις τισί. Τὸ γὰρ μὴ ἀπολεῖσθαι, φησὶ, θοἰμάτιον, οὐχ ἁπλῶς καθείμαρτο, p. 266 ἀλλὰ μετὰ τοῦ φυλάττεσθαι· καὶ τὸ ἐκ τῶν πολεμίων σωθήσεσθαι τόνδε τινὰ, μετὰ τοῦ φεύγειν αὐτὸν τοὺς πολεμίους· καὶ τὸ γενέσθαι παῖδας, μετὰ τοῦ βούλεσθαι κοινω-

c 7. δοξάζουσι] εἶναι δοξ. B.E.F.G.I. Vigeri marg. 10. τῇ] τὰ B.
d 2. οὖν om. I. 5. πάντα] τῷ πότε C.F.G. λόγῳ τῷ πάντα D.E. ed. Steph. Supra τὰ ἄτοπα F. 10. γινόμενα] γιγνόμενα C.F.G. om. B. 12. οὐδὲ δὲ] οὐδὲν F.G. 15. τισι om. B.D.F. Mox om. B. τόνδε τινα—ἐάν τε μή.
p. 266. 3. σωθήσεται—τὸ D. μετὰ τὸ] μετὰ τοῦ C.I. μετὰ τὸ E.

24 omnia rebus ipsis inesse opinentur, nemo non videt. Quare ne communis illa quidem hominum existimatio, vel ejusmodi nominum impositio Chrysippi sententiæ suffragatur.

25 Quibus deinceps ita subdit.

Ac primo quidem, inquit, De Fati Necessitate libro, id genus demonstrationibus utitur: secundo autem absurda illa diluere conatur, quæ ex ea opinione, quæ omnia necessitate constringit, consequentia videantur, quæ nos quoque sub disputationis hujus initium posuimus: exempli caussa, tolli funditus eum qui e nobis ipsis existit impetum, seu vituperet quispiam, seu laudet, seu cohortetur, seu quid aliud eorum fiat, quorum caussa esse

26 consuevimus. Itaque libro secundo, multa quidem nobis auctoribus fieri, atque id perspicuum esse, ultro fatetur: eadem tamen communi fato ex

27 universi administratione apta esse nexaque contendit. Atque is hoc in genere, hujusmodi quibusdam exemplis utitur. Nam ut quis vestem non amittat, inquit, simpliciter in fato non est, sed ea demum conditione, si diligenter eam conservet: sic, ut unus aliquis ex hostium manibus liberetur, si modo ab iis sibi caveat: sic, ut quis liberos suscipiat, si versari

Fato conditiones adjungit Chrysippus, quæ fatum evertant.

ΔΙΟΓΕΝΙΑΝΟΥ

28 νεῖν γυναικί. Ὥσπερ γάρ, φησὶν, εἰ λέγοντός τινος Ἡγή-
σαρχον τὸν πύκτην ἐξελεύσεσθαι τοῦ ἀγῶνος πάντως ἄπλη-
κτον, ἀτόπως ἄν τις ἠξίου καθιέντα τὰς χεῖρας τὸν Ἡγή-
σαρχον μάχεσθαι, ἐπεὶ ἄπληκτον αὐτὸν καθείμαρτο ἀπελθεῖν,
τοῦ τὴν ἀπόφασιν ποιησαμένου διὰ τὴν περιττοτέραν τἀν- b
θρώπου πρὸς τὸ μὴ πλήττεσθαι φυλακὴν τοῦτο εἰπόντος·
29 οὕτω καὶ ἐπὶ τῶν ἄλλων ἔχει. Πολλὰ γὰρ μὴ δύνασθαι
γενέσθαι χωρὶς τοῦ καὶ ἡμᾶς βούλεσθαι, καὶ ἐκτενεστάτην
γε περὶ αὐτὰ προθυμίαν τε καὶ σπουδὴν εἰσφέρεσθαι, ἐπειδὴ
30 μετὰ τούτου, φησὶν, αὐτὰ γενέσθαι καθείμαρτο. Πάλιν οὖν
κἀνταῦθα θαυμάσειέ τις τἀνθρώπου τὸ ἀθεώρητον καὶ ἀνεπι-
λόγιστον, καὶ τῶν ἐναργειῶν καὶ τῆς τῶν ἰδίων λόγων ἀνα-
κολουθίας. Οἶμαι γὰρ, ὅτι καθάπερ τὸ καλούμενον γλυκὺ c
τῷ καλουμένῳ πικρῷ συμβέβηκεν ἐναντιώτατον εἶναι, τῷ τε
λευκῷ τὸ μέλαν, καὶ τῷ ψυχρῷ τὸ θερμὸν, οὑτωσὶ δὲ καὶ τὸ
παρ' ἡμᾶς τῷ καθ' εἱμαρμένην, εἴ γε καθ' εἱμαρμένην μὲν
ἐκεῖνα καλεῖν προείληφεν ὅσα καὶ ἑκόντων ἡμῶν καὶ ἀκόντων

a 6. *εἰ λέγοντος*] *ἴσ.* del. *εἰ* Vigeri margo. 10. *ἀπελθεῖν καθείμαρτο*] *καθείμαρτο ἀπελθεῖν* C.E.F.G.I. *καθείμαρτο* om. D. b 3. *δύνασθαι*] *γρ. μὴ δύνασθαι* Vigeri margo, et sic F.G.I. 5. *γε περὶ*] *καὶ περὶ* C.F.G. 6. *ἐκφέρεσθαι*] *εἰσφέρεσθαι* C.F.G.I. 9. *ἐναργειῶν*] Scribe, *τῶν ἐνεργειῶν*. Est autem *ἐνεργεία vis quædam fati, sive necessitatis*. Sic infra p. 277. *τῆς Ἀφροδίτης ἐνεργείας τρόπος*. Vide Vigerum ad locum supra, qui hæret. *Vis Veneris*. Toup. c 2. *συμβέβηκεν ἐναντιώτατον εἶναι*] *ἐναντίον εἶναι συμβ.* C.F.G.S.V. 4. *τῷ καθ'*] *τὸ καθ'* C. qui mox om. *εἴγε καθ' εἱμ. μέν.* 6. *προείληφεν*] *γρ. προειλήφαμεν* S. 7. *καὶ ἀκόντων* om. D.

28 tamen cum uxore voluerit. Quemadmodum enim, inquit, absurde faceret, qui Hegesarchum pugilem, quod eum prorsus illæsum e certamine discessurum audiisset, demissis abjectisque manibus pugnare vellet, quandoquidem fatum ab omni eum plaga securum præstaret: cum is cujus ea vox esset, id tantum ob insignem atque singularem hominis in declinandis ictibus cautionem, futurum dixisset. Ita cæteris in rebus eodem plane
29 modo philosophandum esse. Quippe, multa plane, nisi et ea velimus, et in eadem acerrima simul contentione ac vehementissimo studio incumbamus, fieri nullo modo posse, utpote quæ fatum sit cum ea tantum condi-
30 tione fieri. Hic vero quis non iterum inconsultam et ineptam hominis philosophiam, vel ob novitatem probationum, vel ob argumentorum discidium jure miretur? Equidem sic existimo, nihilo magis rebus iis quæ fato fiunt, cum iis quæ nostra ex voluntate pendent, quam dulci cum acerbo, vel nigro cum albo, vel calido cum frigido convenire. Nam ut ea fato

πάντως γίνεται, παρ' ἡμᾶς δὲ ὅσα ἐκ τοῦ σπουδάζειν ἡμᾶς
καὶ ἐνεργεῖν ἐπὶ τέλος ἔρχεται, ἢ παρὰ τὸ ἀμελεῖν καὶ ῥαθυ-
31 μεῖν οὐκ ἐπιτελεῖται. Ἐὰν τοίνυν ἐκ τοῦ σπουδάζειν ἐμὲ
θοἰμάτιον φυλάττειν ἐκεῖνο σώζηται, καὶ ἐκ τοῦ βούλεσθαι
τῇ γυναικὶ πλησιάζειν τὰ τέκνα γίγνηται, καὶ ἐκ τοῦ βούλε- d
σθαι φεύγειν τοὺς πολεμίους τὸ μὴ ἀποθνήσκειν ὑπ' αὐτῶν,
καὶ ἐκ τοῦ διαμάχεσθαι πρὸς τὸν ἀνταγωνιστὴν ἀνδρείως
φυλάττεσθαί τε αὐτοῦ τὰς τῶν χειρῶν ἐπιβολὰς τὸ ἄπλη-
κτον ἐκ τοῦ ἀγῶνος ἀπαλλάσσεσθαι, πῶς τὸ καθ' εἱμαρμένην
32 ἐνταῦθα σωθήσεται; Εἰ μὲν γὰρ κατ' ἐκείνην ταῦτα συμβαίνει,
παρ' ἡμᾶς οὐκ ἂν λέγοιτο συμβαίνειν· εἰ δὲ παρ' ἡμᾶς, οὐκ
ἂν κατ' ἐκείνην δηλαδή, διὰ τὸ μὴ δύνασθαι συνδραμεῖν
[157] 33 ταῦτα ἀλλήλοις. Ἀλλὰ παρ' ἡμᾶς μὲν ἔσται, φησί, πε-
ριειλημμένου μέντοι τοῦ παρ' ἡμᾶς ὑπὸ τῆς εἱμαρμένης. Καὶ
πῶς, εἴποιμ' ἄν, περιειλημμένου; Εἴ γε καὶ τὸ φυλάττειν
θοἰμάτιον, καὶ τὸ μὴ φυλάττειν, ἀπὸ τῆς ἐξουσίας ἐγίνετο
τῆς ἐμῆς. Οὕτω γὰρ καὶ τοῦ σώζεσθαι τοῦτο δηλονότι
34 κύριος ἂν εἴην ἐγώ. Καὶ ἐξ αὐτῆς δὲ τῆς διαστολῆς, ἣν ποι- p. 267
εῖται Χρύσιππος, δῆλον γίνεται τὸ ἀπολελύσθαι τῆς εἱμαρ-

c 13. γίνηται] γίγνηται C.F.G. γένηται I. d 4. ἐπιβολὰς] ἐπιβουλὰς E. 5. ἀπαλλάττεσθαι F.G. εἱμαρμένον I. 7. συμβαίνειν G. 10. παρ'] καθ' I. 11. τοῦ om. D. ult. ἐγίνετο] ἐγένετο F.G.
p. 267. 3. ἀπολελύσθαι] τὸ ἀπολ. C.E.F.G.I.

assignari vulgata notione solent, quæ velimus nolimusve fiant; sic potes-
tatis ea nostræ censentur, quæ vel studio laboreque nostro perducantur ad
31 finem, vel negligentia nostra imperfecta remaneant. Si ergo vestem, quod
diligens in ea conservanda fuerim, non amisi: si abs me liberi susci-
piuntur, quod rem habere cum uxore voluerim: si quod mihi ab hostibus
caverim, eorum manibus non interii: si quod fortiter ac strenue cum
adversario certaverim, ejusque petitiones omnes diligenti cautione elu-
serim, eodem certamine sine plaga defunctus sum: qui locus in his rebus
32 fato relinquitur? Enimvero si fato hæc omnia contingunt, eadem vi
nostra contigisse nemo jure dixerit: sin autem vi nostra, fatum pro-
fecto simul excludatur, quod nullum inter sese duo ista commercium
33 habere possint. Imo, inquit, vi simul voluntatis nostræ fient, quod
ea vis facultasque nostra ipso quoque fato clausa teneatur. Ain tu?
teneatur! Qui fieri possit? Nam si vestem et conservare, et non conser-
vare, libertatis arbitriique mei est: certe ut eadem conservetur, in mea
34 quoque potestate situm est. Sed enim manifeste vel ex ipsa Chrysippi
distinctione sequitur, antecedentem in nobis caussam ab omni fato liberam

ΔΙΟΓΕΝΙΑΝΟΥ

μένης τὴν παρ᾽ ἡμᾶς αἰτίαν. Καθείμαρται γὰρ, φησὶ, σωθῆ-
ναι θοιμάτιον, εἰ φυλάττοις αὐτό· καὶ παῖδας ἔσεσθαι, εἰ καὶ
σὺ βουληθείης· ἄλλως δὲ μὴ ἂν ἔσεσθαί τι τούτων. Ἐπὶ δὲ
τῶν ὑπὸ τῆς εἱμαρμένης προκατειλημμένων οὐκ ἄν ποτε
35 ὑποτιμήσεσι τοιαύταις χρησαίμεθα. Οὐκ οὖν φαμὲν τεθνή-
ξεσθαι πάντα ἄνθρωπον εἰ τόδε τι γένοιτο, μὴ τεθνήξεσθαι
δὲ εἰ μὴ γένοιτο, ἀλλ᾽ ἁπλῶς τεθνήξεσθαι, κἂν ὁτιοῦν πρὸς b
τὸ μὴ ἀποθνήσκειν καθόλου γίγνοιτο· ἢ μὴ ἀλγηδόνος
ἔσεσθαι δεκτικὸν ἄνθρωπόν τινα, κἂν ταδὶ πράττῃ· ἀλλὰ
πάντ᾽ ἄνθρωπον ἀλγηδόνος εἶναι δεκτικὸν, ἐάν τε βούληται,
ἐάν τε μή· καὶ ὅσα ἄλλα οὑτωσὶ καὶ μὴ ἄλλως ἔχειν κα-
36 θείμαρται. Ὥστε καὶ τὸ γενέσθαι τόδε τι ἀναγκαῖόν ἐστιν,
εἰ βουληθείημεν ἡμεῖς, ἄλλως δὲ οὐχὶ, φανερὸν ὅτι τὸ ἡμᾶς
βουληθῆναί τε καὶ μὴ βουληθῆναι ὑπ᾽ οὐδεμιᾶς ἑτέρας αἰτίας
37 προκατείχετο, ἀλλ᾽ ἦν αὐτεξούσιον· εἰ δὲ τοῦτο ἀκατανάγκα-
στον ἦν, καὶ τὸ γενέσθαι τόδε τι δῆλον ὡς ἀπ᾽ αἰῶνος οὐ c
προκατείχετο, εἰ μή τι καὶ αὐτὸ τὸ βούλεσθαι φυλάττειν
θοιμάτιον, ἢ μὴ βούλεσθαι, παρά τινα εἱμαρμένην καὶ κατὰ

a 4. φυσι] φησι C. 5. φυλάττοις] φυλάττεις C.F.G. 6. μὴ ἂν] μὴ δ᾽ ἂν C.F.G. 7. τούτων] τοιούτων D. 11. τι γένοιτο] τι om. C.F. Tum γένηται C.F.G. et sic infra γένηται D. omisso infra δέ. b. γίνοιτο] γίγνοιτο C.F.G. 2. ἄνθρωπόν τινα] τινα ἄνθ. C.D.F.G. 3. πράττοι] πράττῃ C.D.F.G. Tum ἀλλ᾽ ἁπλῶς I. 6. καὶ τὸ] ἴσ. εἰ τὸ Vigeri marg. 7. δὲ οὐχὶ] δὲ om. B. c 2. φυλάττει I.

ac solutam esse. Quippe, vestem enim inquit, conservari fatum est, si eam
servaveris; suscipi abs te liberos, si volueris: secus, neutrum fieri. At in
iis, quæ fati necessitas occupasset, conditionibus istis nunquam uteremur.
35 Nec enim moriturum quemlibet hominem dicimus, si quid factum erit;
non moriturum, si factum non erit: sed plane ac simpliciter moriturum,
quicquid demum ad mortem devitandam factum erit. Nec certum aliquem,
si hoc illudve fecerit, ab omni dolore immunem futurum; at simpliciter,
36 hominem quemlibet, velit nolit, dolori esse obnoxium. Atque ita de cæteris
omnibus, quæ hoc modo, non aliter, habere sese fatum est. Quare si
aliquid fieri necesse est, modo id velimus; secus autem, minime: liquet
omnino, ut illud ipsum aut vellemus aut nollemus, caussam aliam antece-
dentem fuisse nullam; sed utrumque prorsus in nostra potestate situm.
37 Quod si nulla id necessitate constrictum est; ut certi etiam aliquid fiat,
antegressam ex æternitate caussam nullam esse constat: nisi forte, quod
vestem conservare aut voluerimus aut noluerimus, hoc ipsum fato quodam,

ΔΙΟΓΕΝΙΑΝΟΥ

38 αἰτίαν ἔξωθεν ἀναγκαίαν ἐγίνετο. Ἀλλ' οὕτω τέλεον ἡ παρ' ἡμᾶς ἐξουσιαστικὴ δύναμις ἀναιρεῖται, καὶ οὐκ ἔτι σώζοιτο ἂν θοἰμάτιον παρὰ τὴν αἰτίαν τὴν ἐμήν, ἢ ἀπολλύοιτο· διὸ καὶ εἴην ἂν ἐγὼ καὶ ἀπολλυμένου τούτου κατὰ λόγον ἀνεπιτίμητος, (ἄλλη γὰρ αὐτό τις ἀπώλλυεν αἰτία,) καὶ σωζομένου πάλιν οὐδαμῶς ἐπαινούμενος, ὅτι μηδὲ τοῦτο εἰργαζόμην ἐγώ. Σὺ δὲ ὡς σῶσαι πάντα δυνάμενος, οὕτως ἀνετείνου τῷ d λόγῳ.

39 Ταῦτα μὲν ὁ προδηλωθεὶς ἀνήρ. Συνήφθω δὲ τούτοις καὶ τὰ ἀπὸ τῶν Ἀλεξάνδρου τοῦ Ἀφροδισιέως, ἀνδρὸς εὖ μάλα διαφανοῦς ἐν τοῖς κατὰ φιλοσοφίαν λόγοις, ὃς καὶ αὐτὸς ἐν τοῖς Περὶ εἱμαρμένης τοιαῖσδ' ἐχρήσατο φωναῖς εἰς ἀνασκευὴν τοῦ δόγματος·

ΑΛΕΞΑΝΔΡΟΥ

9 Διαιρεῖται δὲ τὰ τῶν γινομένων αἴτια εἰς τρόπους αἰτιῶν p. 268 τέσσαρας, καθὼς ὁ θεῖος Ἀριστοτέλης δέδειχε· τῶν γὰρ αἰτίων τὰ μέν ἐστι ποιητικά, τὰ δὲ ὕλης ἐπέχοντα λόγον· b

c 4. ἀναγκαίαν] ἀναγκαῖον B.C.F.G. Tum ἐγένετο B. 5. τέλεον om. B.C.D.F.G. 8. ἀπολλ.] ἀπολ. C.F.G. 9. ἂν ἐπιτ.] ἀνεπιτ. B.C. Vigeri margo. ἂν om. I. 10. ἄλλο τις ἀπωλ.] αὐτό τις ἀπολλ. B.C.F.G. αὐτὸ item D.I. 11. αἰτία] αἰτίας E.I. ἴσ. ἄλλοτε Vigeri margo. d 2. ἀνετείνου] ἀνέτεινον C.F.G. 4. ἀνδρὸς εὖ μάλα om. B.C. D.F.G. τοῦ pro τῶν F.G. 6. ἐν τοῖς περὶ εἱμ. om. B.C. qui mox ἐχρήσατο ταῖς κατὰ τῆς εἱμαρμένης ἀνασκευαῖς, et sic D.F.G.

p. 268. 4. Διαιρεῖται] Alexand. c. 3. p. 8. ed. Orellii. δὲ] δὴ I. 7. ποιητὰ] ποιητικὰ C.E.F.G. Vigeri margo. Alex. ed. b. ἐπέχοντα] ἐπέχει I. Alex. ed.

38 et causæ alicujus extrinsecus antegressæ necessitate factum dicatur. Atqui, funditus hoc modo facultatis et arbitrii nostri ratio tolleretur: nec jam in me vestis aut conservandæ, aut amittendæ caussa antecederet: adeoque ut omni, vel ea perdita, reprehensione merito carerem; (alia enim extrinsecus jacturæ caussa præfuisset:) sic eadem conservata, laude nulla dignus essem, quod per me conservata non fuisset. Tu vero, perinde ut si hæc omnia defendere una posses, ita oratione contendisti.

39 Hæc Diogenianus. Jam vero superioribus illis Alexandrum Aphrodiseum adjungamus, qui et ipse libris iis quos De Fato edidit, hunc in modum sententiam istam confutavit.

9 Eorum, inquit, omnium quæ fiunt principia, in quatuor (ut divinus Aristoteles docuit (caussarum genera dividuntur. Principiorum enim alia vim efficiendi, alia materiæ rationem habent. His accedit caussa formalis,

ΑΛΕΞΑΝΔΡΟΥ

ἔστι δέ τις ἐν αὐτοῖς καὶ ἡ κατὰ τὸ εἶδος αἰτία· παρὰ δὲ
τὰς τρεῖς ταύτας αἰτίας ἐστὶν ἐν αὐτοῖς αἴτιον καὶ τέλος, οὗ
2 χάριν τὸ γινόμενον γίνεται. Καὶ τοσαῦται μὲν αἱ τῶν αἰτίων
διαφοραί· ὅ τι γὰρ ἂν αἴτιον ᾖ τινὸς ὑπό τι τούτων τῶν
αἰτιῶν ὂν εὑρεθήσεται. Καὶ γὰρ εἰ μὴ πάντα τὰ γινόμενα
τοσούτων αἰτίων δεῖται, ἀλλὰ τά γε πλείστων δεόμενα οὐχ
3 ὑπερβαίνει τὸν εἰρημένον ἀριθμόν. Γνωριμωτέρα δ' ἂν αὐ-
τῶν ἡ διαφορὰ γένοιτο, εἰ ἐπὶ παραδείγματός τινος τῶν
γινομένων ὁραθείη. Ἔστω δὴ ἐπ' ἀνδριάντος ἡμῖν ἡ τῶν c
αἰτίων δεικνυμένη διαίρεσις. Τοῦ δὴ ἀνδριάντος ὡς μὲν
ποιητικὸν αἴτιον, ὁ ποιήσας τεχνίτης, ὃν ἀνδριαντοποιὸν κα-
λοῦμεν· ὡς δὲ ὕλη, ὁ ὑποκείμενος χαλκὸς, ἢ λίθος, ἢ ὅ τι
ἂν ᾖ τὸ ὑπὸ τοῦ τεχνίτου σχηματιζόμενον κατὰ τὴν τέχνην·
αἴτιον γὰρ καὶ τοῦτο τοῦ γεγονέναι τε καὶ εἶναι τὸν ἀνδρι-
4 άντα. Ἔστι δὲ καὶ τὸ εἶδος, τὸ ἐν τῷ ὑποκειμένῳ τούτῳ
γενόμενον ὑπὸ τοῦ τεχνίτου, καὶ αὐτὸ τοῦ ἀνδριάντος αἴτιον·
διὸ εἶδός ἐστι δισκεῦον, ἢ ἀκοντίζον, ἢ ἐπ' ἄλλου τινὸς d
[158] 5 ὡρισμένου σχήματος. Οὐ μόνον δὲ ταῦτα τῆς τοῦ ἀνδριάντος

b 2. εἶδος] τὸ εἶδος D.E.F.G.I. Al. ed. παρὰ] περὶ I. 3. τέλος] τὸ τέλος Al. ed. et mox καὶ τὸ γ. 5. αἱ τῶν om. B.C.G. 8. τάγε] τά δε C.F.G. 9. τὸν ἀριθμὸν τὸν εἰρ. Alex. ed. ubi mox γίνοιτο. c 2. τοῦ δὲ] τοῦ δὴ B.C.F. Alex. ed. 6. τ' ἂν] τ' om. C.F.G. 9. γενόμ.] γινομ. Alex. ed. d 2. μόνον] μόνα Al. ed.

ac præter illas tres, quartum quoque principium, finis inquam, cujus gratia
2 fit quod efficitur, numerari debet. Ac tot quidem principiorum discrimina
recte statuuntur. Quicquid enim rei cujuscunque principium est, idem
ad caussarum istarum aliquam pertinere reperies. Nam, ut quæ fiunt, tot
caussis non indigeant omnia; quæ tamen pluribus indigent, ea nunquam
3 assignatum numerum superant. Verum illustrior futura est earum diver-
sitatis ratio, si in certo quodam eorum quæ fiunt exemplo cernetur.
Existat ergo a nobis in statua, principiorum allata distinctio. Statuæ igitur
efficiens principium artifex ipse est, quem propterea statuarium appella-
mus: ejusdem materia, æs quod arti subjicitur, aut lapis, aut aliud ejus-
modi aliquid, quod artis ex præceptionibus conformetur: nam id quoque
4 statuæ existendi principium est. Accedit utrique forma, quæ ab artifice
subjectam in materiam inducitur, quæque pariter statuæ principium est.
Quare vel discum jacientis, vel jaculantis in morem, si formam spectes, vel
5 alia qualibet peculiari singularique figura simulacrum expressum est. Nec

γενέσεως αἴτια, ἀλλ' ἔστιν οὐδενὸς τῶν αἰτίων τῆς γενέσεως ΑΛΕΞ-ΑΝ-ΔΡΟΥ
αὐτοῦ δεύτερον τὸ τέλος, οὗ χάριν γέγονε, τουτέστιν, ἡ τιμή
τινος, ἢ εἰς θεὸν εὐσέβειά τις. Ἄνευ γὰρ τῆς τοιαύτης αἰ-
6 τίας οὐδ' ἂν τὴν ἀρχὴν ὁ ἀνδριὰς ἐγένετο. Ὄντων τοίνυν
τοσούτων τῶν αἰτίων, καὶ τὴν πρὸς ἄλληλα διαφορὰν ἐχόν-
των γνώριμον, τὴν εἱμαρμένην ἐν τοῖς ποιητικοῖς αἰτίοις δι-
καίως ἂν καταριθμοῖμεν, ἀναλογίαν σώζουσαν πρὸς τὰ γινό-
μενα κατ' αὐτὴν τῇ τοῦ ἀνδριάντος δημιουργῷ τέχνῃ.

7 Τούτου δὲ οὕτως ἔχοντος, ἀκόλουθον ἂν εἴη περὶ τῶν
ποιητικῶν αἰτίων ποιήσασθαι τὸν λόγον· οὕτω γὰρ ἔσται
γνώριμον, εἴτε πάντων τῶν γιγνομένων χρὴ τὴν εἱμαρμένην
αἰτιᾶσθαι, εἴτε δὴ καὶ ἄλλοις τισὶ παρὰ τήνδε συγχωρεῖν, p. 269
8 ὡς οὖσι ποιητικοῖς τινῶν αἰτίοις. Ἁπάντων δὴ τῶν γιγνομέ-
νων Ἀριστοτέλης ποιούμενος τὴν διαίρεσιν τὰ μὲν αὐτῶν τινὸς
χάριν γίγνεσθαι λέγει, σκοπόν τινα καὶ τέλος τῶν γιγνομένων
προκείμενον ἔχοντος τοῦ ποιοῦντος αὐτά, τὰ δὲ οὐδενός, ὅσα
οὐ κατὰ πρόθεσίν τινα τοῦ ποιοῦντος γίγνεται, οὐδ' ἐπὶ τέλος

d 3. αἴτια, ἀλλ' ἔστιν οὐδενὸς] αἴτια ἔστιν, οὐδενὸς Alex. ed. 4. δεύτερον] δευτερεῦον C.F. qui γένος pro τέλος. γένος G. Tum γεγονέναι D. 6. τῆς τοιαύτης] τῆς om. Al. ed. 7. γέγονεν] ἐγένετο B.C.D.F.G.S.V. Al. ed. 11 ἀναλογίαν om. F. σώζουσαν] σώζουσα C. 12. τῇ —τέχνῃ] τῷ—τεχνίτῃ Alex. ed. 15. οὕτω—γνώριμον om. D.
p. 269. ἄλλοις] ἄλλως B. δεῖ pro δὴ Alex. ed. 3. γινομένων] γιγνομ. C.F.G. infra sæpius. 7. οὐ κατὰ] οὐ om. B. ὅσα γὰρ οὐ Alex. ed. qui mox ὑπὸ τοῦ ποιοῦντος. 8. πρόθεσιν] προαίρεσιν S.

ista solum conflandæ statuæ principia sunt; nulli siquidem eorum, hoc in genere, finis ille cedit, cujus gratia elaboratur; cujusmodi vel cujusdam honor, vel erga deum religio est. Hæc enim caussa si deesset, ne affecta
6 quidem et inchoata statua fuisset. Tot ergo cum sint principiorum genera, quorum discrimen nemini non perspicuum est, fatum inter efficientia jure censebimus, cum in rebus iis quæ fato fiunt, cum arte statuarii proportione comparetur.

7 Hoc autem cum ita se habeat, consentaneum fuerit de principiis efficientibus disputationem instituere. Sic enim facilius intelligetur, omniumne quæ fiunt, assignanda fato caussa sit, an aliis præterea nonnullis concedendum,
8 ut efficientia rerum quarundam principia censeantur. Aristoteles igitur, cum omnium quæ fiunt partitionem institueret, nonnulla quidem alicujus rei gratia fieri docuit, cum ipsorum artifici scopus operis quidam est finisque propositus: alia vero nullius, cujusmodi sunt quæcunque auctor nullo

Ex naturæ caussarum ac principiorum, fati ratio convellitur.

ΑΛΕΞΑΝΔΡΟΥ

ὡρισμένον ἔχει τὴν ἀναφοράν, τοιαῦτα οἷόν ἐστι καρφῶν τε
τινῶν διακρατήσεις καὶ περιστροφαί, καὶ τριχῶν ἐπαφαί τε b
9 καὶ ἐκτάσεις, καὶ ὅσα τούτοις ὁμοίως γίνεται. Ὅτι μὲν γὰρ
γίνεται καὶ αὐτά, γνώριμον· οὐ μὴν ἔχει τὴν κατὰ τὸ τέλος
καὶ τὴν οὗ χάριν αἰτίαν. Τὰ μὲν οὖν οὕτω γινόμενα, ἀσκό-
πως καὶ ἁπλῶς γινόμενα, οὐδεμίαν εὔλογον ἔχει διαίρεσιν.
10 Τῶν δὲ ἐπί τι τὴν ἀναφορὰν ἐχόντων, καί τινος γιγνομένων
χάριν, τὰ μὲν κατὰ φύσιν, τὰ δὲ κατὰ λόγον γίγνεται. Τά
τε γὰρ φύσιν αἰτίαν ἔχοντα τῆς γενέσεως κατά τινας ἀρι-
θμοὺς καὶ τάξιν ὡρισμένην πρόεισιν ἐπί τι τέλος, ἐν ᾧ γιγνό- c
μενα τοῦ γίγνεσθαι παύονται, εἰ μή τι αὐτοῖς ἐνστὰν ἐμποδὼν
11 γίγνοιτο τῇ κατὰ φύσιν αὐτῶν ἐπὶ τὸ προκείμενον ὁδῷ. Ἀλλὰ
καὶ τὰ κατὰ λόγον γιγνόμενα ἔχει τι τέλος. Οὐδὲν γὰρ ὡς ἔτυχε
τῶν κατὰ λόγον γιγνομένων γίγνεται, ἀλλ' ἐπί τινα σκοπὸν
12 ἡ ἀναφορὰ πᾶσιν αὐτοῖς. Ἔστι δὲ κατὰ λόγον γιγνόμενα,
ὅσα ὑπὸ τῶν ποιούντων αὐτὰ γίγνεται λογιζομένων τε περὶ
αὐτῶν καὶ συντιθέντων καθ' ὃν ἂν τρόπον γένοιτο. Οὕτω γί-

a 10. οἷον] ἴσ. οὖν Vigeri margo, ὁποῖά Al. ed. b 4. τὴν οὗ] τινος Al. ed. 10. τῆς γενεσ.] τὴν γενεσ. I. c 2. παύονται] παύεται I. Al. ed. 3. γίνοιτο] γένοιτο I. 4. προκείμενον] τέλος add. Al. ed. 5. γινόμενα] Addit B. τοῦ γίνεσθαι παύονται· εἰ μή τι αὐτοῖς ὅσα ὑπὸ τῶν ποιούντων αὐτὰ γίνεται. 7. τινα σκοπόν] τινα φορὰν F.G. 9. δὲ περὶ] τε περὶ B.C.D.F.G.I.

consilio fecerit, nullumque proinde certum ad finem propriumque retulerit.
Exempli caussa paleas modo retinere, modo versare; capillos vel attrectare
9 vel extendere, quæque sunt generis ejusdem. Nam ista quoque fieri per-
spicuum est, finem tamen ea, caussamve cujus gratia fiant, nullam habent.
Verum hoc rerum genus, quod inconsiderate ac temere fiat, caussæ nihil
10 est, cur de statuenda peculiari ejus nota et ratione laboremus. Quæ vero
ad certi quidpiam referuntur, et alicujus gratia fiunt, horum alia naturæ
ductu fiunt, alia rationis. Nam et quæ naturalem ortus sui caussam
habent, ea certis quibusdam numeris, statoque ac definito ordine singula-
rem ad finem perveniunt, quem ubi assequuta sunt, tum demum fieri
desinunt; nisi quid iis occurrat, quod naturalem ipsorum ad id quod sibi
11 propositum est, cursum impediat. Similiter quæ ratione fiunt, aliquem
ad finem spectant. Nihil enim quod ratione fiat, temere fieri potest.
12 Quicquid ejusmodi est, scopum ad aliquem referatur necesse est. Jam ea
ratione fieri dicuntur, quæ suis ab auctoribus, quemadmodum quidque
fieri debeat, accurate secum matureque cogitantibus, efficiuntur. Atque

ΑΛΕΞ-ΑΝ-ΔΡΟΥ

γνεται τά τε κατὰ τὰς τέχνας γιγνόμενα πάντα, καὶ τὰ κατὰ d
13 προαίρεσιν· ἃ διαφέρει τῶν γιγνομένων φύσει, τῷ τὰ μὲν
φύσει γιγνόμενα ἐν αὑτοῖς ἔχειν τὴν ἀρχήν τε καὶ τὰς αἰτίας
τῆς τοιαύτης γενέσεως, (τοιοῦτον γὰρ ἡ φύσις,) καὶ γίγνεσθαι
μὲν κατὰ τάξιν τινὰ, οὐ μὴν τῆς ποιούσης αὐτὰ φύσεως
14 ὁμοίως ταῖς τέχναις λογισμῷ περὶ αὐτῶν χρωμένης. Τὰ δὲ
γιγνόμενα κατὰ τέχνην τε καὶ προαίρεσιν ἔξωθεν ἔχει τὴν ἀρ-
χὴν τῆς κινήσεως καὶ τὴν αἰτίαν τὴν ποιοῦσαν, ἀλλ' οὐκ ἐν
αὑτοῖς, καὶ τῆς γενέσεως αὐτῶν ὁ τοῦ ποιοῦντος ἡγεῖται περὶ
15 αὐτῶν λογισμός. Τρίτον δέ ἐστιν ἐν τοῖς ἕνεκά του γιγνομέ-
νοις, καὶ τὰ ἀπὸ τύχης τε καὶ τοῦ αὐτομάτου γίγνεσθαι πεπι-
στευμένα, ταύτῃ τῶν προηγουμένως ἕνεκά του γιγνομένων δια-
φέροντα, ᾗ ἐπ' ἐκείνων μὲν τὰ πρὸ τοῦ τέλους τοῦ τέλους p. 270
χάριν γίγνεται, ἐπὶ δὲ τούτων τὰ μὲν γιγνόμενα πρὸ τοῦ
τέλους ἄλλου χάριν γίγνεται, ἀπαντᾷ δὲ αὐτοῖς ἄλλου χάριν
γιγνομένοις, ὡς τέλος, τὸ αὐτομάτως τε καὶ ἀπὸ τύχης γί-
γνεσθαι λεγόμενον.

d. κατὰ] τὰ κατὰ B.C.F.G.I.S.V. Mox ἃ om. I. 4. τὰς αἰτίας] τὴν αἰτίαν Al. ed. 7. χρωμένης] χρωμένοις C.F. χρωμένως I. 9. τὴν om. D. 10. καὶ τὴν αἰ. τὴν π.] καὶ τὴν ποιοῦσαν αἰτίαν B.C.F.G. 12. ποιοῦντος] ποιοῦνται B. 13. τούτου D. 14. ἀπὸ] ὑπὸ C.D.F.G. 15. προηγουμένως] προηγουμένων C.

p. 270. πρὸ] πρὸς B.C. qui om. τοῦ τέλους sec. πρὸς item D.F.G. ᾗ ἐπ' ἐκείνων μὲν πᾶν τὸ πρὸ τοῦ τέλους γινόμενον τοῦ τέλους χάριν γ. Al. ed.

hujusmodi sunt, cum ea quæ artis præceptionibus, tum quæ voluntate
13 consilioque fiunt. Cæterum hæc inter et ea quæ naturam sequuntur, hoc interest; quod illa principium in se ipsis ortus sui caussasque proprias habeant; (talis enim ex sese natura est,) cumque certo quodam ordine fieri soleant, eorum tamen effectrix natura, non jam ratiocinatione, ut fit in
14 artibus, in iisdem efficiendis utatur: at quæ vel arte vel consilio fiunt, iis nec in se ipsis, sed extrinsecus et motus principium, et caussa efficiens
15 antecedat, et eorum effectioni auctoris deliberatio præeat. Jam rerum istarum, quæ alicujus gratia fiunt, tertium quoddam genus ex iis constituit, quæ casu ac temere fieri creduntur: hoc tamen ab illis discrimine, quæ, non nisi caussis ob quas fiant antegressis, existunt, quod in illis, quæ finem antecedunt, ea quoque finis gratia fiant: in istis, quæ finem antegrediuntur, ea cum alterius caussa fiant, tum iisdem vero dum ita fiunt, sic tanquam finis quidam id occurrat, quod temere casuque fieri dicitur.

ΑΛΕΞ-ΑΝ-ΔΡΟΥ

16 Τούτων δὲ οὕτως ἐχόντων, καὶ πάντων τῶν γιγνομένων εἰς
τούτους τοὺς τρόπους νενεμημένων, ἀκόλουθον ἐπὶ τούτοις
ἰδεῖν ἐν τίνι τῶν ποιητικῶν αἰτίων χρὴ τιθέναι τὴν εἱμαρμέ-
17 νην. Ἆρά γε ἐν τοῖς οὐδενὸς γιγνομένοις χάριν; Ἢ τοῦτο
μὲν παντάπασιν ἄλογον; Ἀεὶ γὰρ ἐπὶ τέλους τινὸς τῷ τῆς b
εἱμαρμένης ὀνόματι χρώμεθα, καθ' εἱμαρμένην τε αὐτὸ λέ-
γοντες γεγονέναι· διὸ ἐν τοῖς ἕνεκά του γινομένοις ἀναγκαῖον
τιθέναι τὴν εἱμαρμένην.

[159]
18 Ταῦτα αὐτοῖς ῥήμασιν ὁ προδηλωθεὶς ἀνὴρ διελὼν
διὰ πλειόνων ἑξῆς συνίστησιν, οὐδ' ἄλλο τι εἶναι τὴν
εἱμαρμένην ἢ τὰ κατὰ φύσιν γινόμενα· μὴ γὰρ ἐν τοῖς
κατὰ λογισμὸν ἡμέτερον καὶ κατὰ τέχνην ἐπιτελουμένοις
19 τὴν τῆς εἱμαρμένης ἀνάγκην ἐπιθεωρεῖσθαι. Φησὶ δὲ,
τῶν κατὰ φύσιν πλεῖστα ἐμποδίζεσθαι συμβαίνειν, ἃ c
καὶ καλεῖσθαι παρὰ φύσιν· ὥσπερ καὶ ἐν τοῖς κατὰ τὴν
τέχνην τὰ παρὰ τὴν τέχνην λέγεσθαι. Εἰ δὲ ὅλως
παρὰ τὸ κατὰ φύσιν γίγνεταί τινα, γένοιτ' ἂν καὶ παρὰ

b 3. τε αὐτὸ] τε om. Alex. ed. 5. ὁ προδηλωθεὶς ἀνὴρ] ὁ Ἀλέξανδρος B.V. Ἀλέξανδρος C.F.G.S. 8. μὴ σὺν τοῖς F. 10. ἐπιτελουμένοις] ἐπιτελούμενα B.D. ἐπιτελουμένην C.F.G. Tum τὴν περὶ εἱμ. F.
c 2. κατὰ τὴν] τὴν om. C.D.G. 4. παρὰ τὸ] περὶ τὰ B. παρὰ τὰ I. τῶν C. pro τό. παρὰ τὸν F.

16 Quibus hunc in modum constitutis, atque omnibus quæ fiunt hos in ordines ac genera distributis, sequitur deinceps, uti quam ad principiorum
17 efficientium classem revocari fatum debeat videamus. Utrum igitur ad eorum, quæ nullius rei caussa fiunt? An potius id plane absurdum videatur, cum et fati nomine ad finem aliquem designandum constanter uti soleamus, et finem ipsum fato contigisse dicamus? Itaque superest, ut in iis fatum numeretur, quæ alicujus gratia fiunt.

18 Hæc totidem verbis Alexander, quibus explicatis, confirmat deinde pluribus, fatum aliud esse nihil, quam quæ natura fiunt, quod in iis quæ provisione nostra consilioque perficimus, nusquam ea quæ fati
19 propria est necessitas appareat. Addit præterea, eorum quamplurima quæ naturam sequuntur, objicibus quibusdam inhiberi, quæ præter naturam vocari soleant, quemadmodum in iis quæ arte fiunt, præter artem pleraque dicuntur. Quod si semel præter naturam fieri nonnulla dabitur, detur etiam præter fatum eadem fieri necesse

ΑΛΕΞΑΝΔΡΟΥ

τὴν εἱμαρμένην, εἴπερ τὰ κατὰ φύσιν ταῦτά ἐστι τὰ καθ' εἱμαρμένην.

20 Ὁρῶμεν γοῦν, φησὶν, ὅτι καὶ τὸ σῶμα τῷ τοιόνδε ἢ τοιόνδε εἶναι τὴν φύσιν, ἐν νόσοις καὶ φθοραῖς ἀκολούθως τῇ φυσικῇ συστάσει γίνεται· οὐ μὴν ὁμοίως ἐπὶ πάντων, οὐδὲ ἐξ ἀνάγκης. Ἱκαναὶ γὰρ ἐκκροῦσαι πολλάκις τὴν τοι- d ἄνδε ἕξιν ἐπιμέλειαι καὶ βίων ὑπαλλαγαὶ καὶ προστάξεις
21 ἰατρῶν καὶ συμβουλίαι θεῶν. Κατὰ δὲ τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τῆς ψυχῆς εὕροι τις ἂν παρὰ τὴν φυσικὴν κατασκευὴν διαφόρους ἐν ἑκάστῳ προαιρέσεις καὶ πράξεις καὶ βίους ἐξ ἀσκήσεως καὶ ἀπὸ μαθημάτων καὶ ἀπὸ λόγων κρειτ-
22 τόνων βελτιουμένων.... Εἰπόντος γοῦν ποτε τοῦ φυσιογνώμονος περὶ τοῦ Σωκράτους τοῦ φιλοσόφου ἄτοπά τινα καὶ πλεῖστον ἀφεστῶτα τῆς προαιρέσεως αὐτοῦ τῆς κατὰ τὸν βίον, καὶ ἐπὶ τούτοις ὑπὸ τῶν περὶ τὸν Σωκράτην καταγε-

c 8. τῷ τοιόνδε] τὸ τ. C. qui om. ἢ τοιόνδε. τοιόν bis Al. ed. ubi mox καὶ ἐν ν. καὶ pro ἢ F. 10. καταστάσει] συστάσει B.C.E.F.G.I. Alex. ed. ὁμοίως—οὐδὲ om. Al. ed. d. τοιάνδε] τοιαύτην B.C.D. F.G.S.V. πολλάκις om. Al. ed. qui τάξιν pro ἕξιν. d 2. βίων] ἀέρων Al. ed. 3. συμβουλίαι] συμβουλαὶ Al. ed. κατὰ δὲ τ. α. τ.] οὕτως B.C. οὕτω D.S. 4. εὕροι] εὕρῃ C.F.G. Supra οὕτως καὶ ἐπὶ F.G. 6. ἐν] γινομένας Al. ed. ubi τάς τε προαιρέσεις καὶ τὰς πρ. καὶ τοὺς β. et plura. 7. ἀπὸ μαθημάτων] ἀποπαθημάτων C. ἀπὸ π. F.G. Mox καὶ βελτιουμένων F.G. 8. ἀπὸ λόγων] ἀπολόγων B. 9. περὶ τοῦ] τοῦ om. B.C.G.I. Ζωπύρου τοῦ φυσ. Al. ed. περὶ τοῦ Σωκράτους] Vid. Cicero de Fato c. 5. 11. τῆς κατὰ] τε κατὰ B. 13. σωκράτην] σωκράτου C. τὸν Σωκ. I.

est, si quicquid naturæ tribuitur, illud ipsum est quod fato fieri dicitur.

20 Et corpus quidem videmus, inquit, quod hoc illove modo a natura sese habeat, morbis etiam atque morti pro naturali temperatione obnoxium fieri. Quanquam ne id quidem in omnibus ex æquo, vel necessario locum habet: quod ejusmodi habitus partim cura et studio, partim mutatione victus, partim medicorum præceptionibus, partim denique divino consilio
21 superari queat. Idem etiam in animo usu venire solet, ut præter singularem naturæ vim et conditionem, variæ singulorum agendi vivendique rationes, partim exercitatione atque doctrina, partim sapientioribus consiliis
22 meliores fiant. Itaque cum de Socrate philosopho Zopyrus physiognomon aliena quædam et plurimum a Socratis instituto vitæque genere discrepantia conjecisset, eaque de caussa, risu ab iis qui cum Socrate erant

p. 16. Naturæ sunt, quæ vulgo fatis assignantur.

Zopyri de Socratis indole conjecturæ.

ΑΛΕΞΑΝΔΡΟΥ

λωμένου, οὐδὲν εἶπεν ὁ Σωκράτης ἐσφάλθαι τὸν Ζώπυρον· ἦν γὰρ ἂν τοιοῦτος, ὅσον ἐπὶ τῇ φύσει, εἰ μὴ διὰ τὴν ἐκ p. 271 φιλοσοφίας ἄσκησιν ἀμείνων τῆς φύσεως ἐγένετο.

23 Καὶ τοιαῦτα μὲν τὰ κατὰ φύσιν, ἃ καὶ μηδέν φησι διαφέρειν τῶν καθ' εἱμαρμένην.

Τὰ δὲ ἀπὸ τύχης, τοιαῦτα, ὅταν ἄλλου τινὸς χάριν γενομένῳ τινὶ μὴ τοῦτο ἀπαντήσῃ οὗ χάριν ἐγένετο, ἄλλο δέ τι ὅπερ τὴν ἀρχὴν οὐδὲ ἠλπίζετο. Θησαυρόν τε γάρ φησιν ἀπὸ τύχης εὑρηκέναι τινά, ὅταν ἄλλου χάριν ὀρύσσων, ἀλλὰ μὴ τοῦ θησαυρὸν εὑρεῖν, θησαυρῷ περιπέσῃ· καὶ τὸ ἀργύριον ἀπὸ τύχης κεκομίσθαι τινὰ λέγουσιν, ὅταν εἰς τὴν ἀγορὰν προελθὼν ἄλλου τινὸς χάριν ἀργύριον ἔχοντι περιπεσὼν τῷ b χρεώστῃ τὸ ὀφειλόμενον λήψαιτο· καὶ ὁ ἵππος δὲ αὐτομάτως τισὶ λέγεται σεσῶσθαι, ὅταν τροφῆς μὲν ἐλπίδι, ἢ ἄλλου τινὸς χάριν, ἀποφύγῃ τοὺς κατέχοντας αὐτὸν, ἀπαντήσῃ δὲ αὐτοῦ τῇ φυγῇ καὶ τῷ δρόμῳ τὸ τοῖς δεσπόταις περιπε-
24 σεῖν. Ὧν οὕτως ἐχόντων, οὐδὲ ταῦτα ἂν εἴη καθ' εἱμαρμένην. Καὶ ἄδηλα δέ ἐστί τινα αἴτια ἀνθρωπίνῳ λογισμῷ, ἃ

14. ἐσφάλθαι] ἔψευσθαι Al. ed.
p. 271. 6. ἀπαντήσῃ] ἀπαρτῆσαι C. ἀπαρτήσῃ F.G. Mox ἐγίνετο D. F.G.I. 7. δέ τι] δέστι B. b 2. λήψαιτο] αὐτὸ λάβῃ E.I. αὐτῷ λάβῃ Al. ed. 3. λέγεταί τισι D. 7. τὸ τοῖς] τῷ δὲ τοῖς C. 9. δέ ἐστι] δὲ om. F.

exceptus esset; negavit Socrates Zopyrum falli; talem enim sese naturæ vi futurum esse, nisi philosophiæ studiis naturæ vitia superasset.

23 Atque hujusmodi ea sunt, quæ naturam sequuntur, quæque nihil ab iis quæ fato fiunt differre contendit.

v. p. 22. Quæ vero casu fieri dicuntur, de iis ita statuit: ut si, cum quid alterius rei gratia fieret, minus id ipsi, cujus gratia fiebat, occurrerit, sed aliud quidpiam, quod eventurum initio nemo cogitaret. Sic ab eo inventum casu thesaurum esse pronuntiat, qui cum alio prorsus quam inveniendi thesauri animo fodere cœpisset, in thesaurum inciderit. Similiter casu receptam ab eo pecuniam, qui cum alia mente in forum venisset, incidens in debitorem, qui præsentem haberet pecuniam, ab eo quod sibi deberetur acceperit. Quin et casu salvum a quibusdam equum illum dici consuevisse, cui cum aut pabuli spe, aut alterius cujuslibet rei appetitu, cum ex eorum a quibus tenebatur manibus aufugisset, in fuga ipsa cursuque con-
24 tingeret, ut in suos ipse dominos incideret. Quare nemo ista fato jure
p. 26. tribuerit. Porro certa rerum quarundam principia sunt humanæ rationi

ΑΛΕΞ-ΑΝ-ΔΡΟΥ

κατά τινας ἀντιπαθείας γίνεσθαι πεπίστευται, ἀγνοουμένης
τῆς αἰτίας δι' ἣν γίνεται. Ὁποῖα περίαπτά τινα ποιεῖν c
προείληπται, οὐδεμίαν εὔλογον καὶ πιθανὴν αἰτίαν τοῦ ταῦτα
ποιεῖν ἔχοντα· ἔτι δὲ ἐπαοιδαὶ, καὶ τοιαῦταί τινες μαγγα-
νεῖαι. Τούτων γὰρ ὁμολογεῖται μὲν ὑπὸ πάντων ἄδηλος
25 εἶναι ἡ αἰτία· διὸ καὶ ἀναιτιολόγητα λέγουσιν αὐτά. Πολλὰ
δ' εἶναι παρὰ ταῦτα, καὶ ἐνδεχομένως, καὶ ὁπότερα ἔτυχε
26 γινόμενα, ἃ οὐδὲ ταῦτ' ἂν εἴη καθ' εἱμαρμένην. Λέγεται δὲ
ἐνδεχομένως γίνεσθαι ταῦτα, ἐφ' ὧν καὶ τὸ μὴ γενέσθαι χώ-
ραν ἔχει, ὡς καὶ αὐτὸ τὸ ὁπότερα ἔτυχε λεγόμενον ποιεῖ d
γνώριμον· οἷον, τὸ κινῆσαί τι τῶν ἑαυτοῦ μερῶν, καὶ τὴν
τυχοῦσαν τοῦ τραχήλου περιστροφὴν, καὶ τὴν τοῦ δακτύλου
ἔκτασιν, καὶ τὸ ἐπᾶραι τὰ βλέφαρα, καὶ τὸν καθεζόμενον
στῆσαι, καὶ τὸν κινούμενον ἠρεμῆσαι, καὶ τὸν λαλοῦντα σι-
γῆσαι, καὶ ἐπὶ μυρίων εὕροι τις ἂν δύναμίν τινα ἐνυπάρχου-
σαν τῶν ἐναντίων δεκτικὴν, ἃ οὐκ ἂν γένοιτο ἐξ εἱμαρμένης·
τὰ γὰρ ἐξ αὐτῆς οὐ δέχεται τοῦ ἐν ᾧ ἐστὶ τὸ ἐναντίον.

b 10. τινας ἀντιπαθείας] ἀντιπαθείας τινας B. c 2. προείληπται] προσείληπται B. qui om. οὐδεμίαν—προλήψεως. 3. τοῦ ταῦτα] τὸ ταῦτα C.F. 4. μαγγανεῖαι] μαντεῖαι F.G. 5. πάντων] τούτων C. F.G. 8. ἐνδεχομένως] ἐνδεχόμενα C.F.G. Mox ἴσ. ὁποτέρᾳ Vigeri margo. 9. ἂν εἴη] εἴη ἂν I. 10. γενέσθαι] γίνεσθαι C.F.G. d. τὸ ὁπότερα] τε ὁπότερ' C.F.G. 10. ἢ οὐκ ἂν F. 11. ἐξ αὐτῆς οὐ δέχεται τοῦ] ἐξ εἱμαρμένης οὐκ ἔχει δύναμιν τοῦ δέξασθαι τὸ E.I.

prorsus obscura, quæ quod earum caussa ignoretur, antipathia quadam evenire creduntur. Cujusmodi ea sunt, quæ amuletis quibusdam fieri inveterata opinio est, cum idonea similisque vero caussa vis illorum effectricis assignari nulla possit. Tales quoque sunt cantiones, cæteræque id genus præstigiæ. Nam istorum omnium ignotas esse caussas nemo non fatetur, eademque propterea ἀναιτιολόγητα, hoc est ejusmodi, quorum expli-
25 cari caussa non possit, vulgo dicuntur. Ad hæc pleraque statuit utramque in partem promiscue contingentia, quæ prout res tulerit eveniant, quæ fati
26 quoque necessitati subducenda putat omnia. Ea porro in utramque partem contingentia vocantur, quæ tam non fieri possunt, quam fieri, quemadmodum ex eo quod additur, prout res tulerit, intelligitur. Exempli caussa p. 28.
partem corporis aliquam movere, cervices temere huc illucve convertere, digitum extendere, tollere supercilia, stare cum ante sederes, aut cum prius movereris, quiescere, aut tacere cum ante loquereris, aliaque sexcenta: quibus in omnibus cum vim quandam agnoscas contrariis suscipiendis idoneam, tum vero fati nullam invenias; quod quæ fato fiunt, id suscipere, in quo simul etiam contrario locus est, nullo modo possint.

ΑΛΕΞΑΝΔΡΟΥ [160]

27 Ἀλλὰ καὶ τὸ βουλεύεσθαι τὸν ἄνθρωπον οὐκ εἰς μάτην αὐτῷ ὑπάρχει· ἣν δ' ἂν εἰς μάτην βουλευτικὸς, εἰ ἐξ ἀνάγκης ἔπραττε τὰ πραττόμενα. Ἀλλ' ἐναργῶς φαίνεται τῶν ἀλ- p. 272 λων ζῴων ὁ ἄνθρωπος μόνος τοῦτο παρὰ τῆς φύσεως ἔχων πλέον, τὸ μὴ ὁμοίως ἐκείνοις ταῖς φαντασίαις ἕπεσθαι, ἀλλ' ἔχειν τῶν προσπιπτόντων κριτὴν τὸν λόγον· ᾧ χρώμενος, εἰ μὲν ἐξεταζόμενα τὰ φαντασθέντα οἷα τὴν ἀρχὴν ἐφάνη καί ἐστι, συγκατατίθεται τῇ φαντασίᾳ, καὶ οὕτω μέτεισιν αὐτά· εἰ δὲ ἀλλοῖα φαίνεται, οὐκ ἔτι ἔμεινεν ἐπὶ τῆς προλήψεως, ἐλέγξαντος αὐτὰ τοῦ λόγου, διὰ τὸ συμβουλεύσασθαι περὶ b αὐτῶν.

28 Βουλευόμεθα γοῦν περὶ μόνων ὧν δυνάμεθα πράττειν· εἰ δέ ποτε μὴ βουλευσάμενοι πράττοιμεν, πολλάκις μετανοοῦμεν καὶ μεμφόμεθα ἑαυτοῖς τῆς ἀβουλίας· ἀλλὰ κἂν ἄλλους ἴδωμεν ἀβούλως πράττοντας, ἐπικαλοῦμεν ὡς ἁμαρτάνουσιν, ἀξιοῦμέν τε συμβούλοις τοῖσδε χρῆσθαι, ὡς ἐφ' ἡμῖν ὄντων τῶν τοιούτων.

d 12. βουλεύεσθαι] βούλεσθαι I. 13. αὐτὸ ὑπάρχειν D. qui mox οὐδ' ἦν δ' ἄν.
p. 272. ζώων om. F. b. συμβουλεύσασθαι] βουλεύσασθαι B.C. D.F.G. 2. δυνάμεθα] βουλόμεθα C.F.G. οὖν] γὰρ D. 5. τῆς] ὡς C.F.G. ἀλλὰ κἂν ἄλλους] καὶ ἄλλους ἂν C.D.F.G. 6. ἐγκαλοῦμεν] ἐπικαλοῦμεν B.C.F.G.S. Al. ed. 7. ἁμαρτήσαντας] ἁμαρτάνουσιν B.C.D.F. G.S.V. Al. ed. Mox καὶ D.

c. 11 p. 34. seq. Deliberandi facultas cum fato pugnat.

27 Jam vero deliberandi certe consulendique facultate prædituus homo frustra non est, essetque tamen, si quicquid agit, ageret necessitate. Enimvero uni hoc, quod oculis ipsis tenetur, homini præ cæteris animantibus eximium ac singulare natura donavit, uti non quomodo illis usu venit, oblatas sensibus impulsiones consequatur, sed in iis quæ subinde contingunt rationis judicium adhibere possit. Quo dum ipse utitur, si quæ sensu et cogitatione percepit, eadem excussa diligentius, cujusmodi visa erant, ejusmodi re ipsa esse comperiat, in phantasiæ judicio acquiescit, eaque persequitur. Sin eadem aliter se habere intelligat, non hæret in præcepta cogitatione diutius, quod eorum falsitatem ratio adhibita consultatione deprehenderit.

28 Atqui de rebus tantum iis, quæ fieri a nobis possunt, consultationem p. 42. instituimus; quas si quando neglecta deliberatione fecerimus, pœnitentia sæpe ducti temeritatis ipsi nos ac stultitiæ accusamus. Imo, si alios quoque nullo ad res agendas consilio accedere videamus, eos quasi peccarint reprehendere solemus, hosque aut illos consulere volumus, quippe qui res illas nostra in potestate sitas esse sentiamus.

ΑΛΕΞΑΝΔΡΟΥ

29 Ὅτι δὲ ψεῦδος ἦν αὐτῶν ὁ περὶ εἱμαρμένης λόγος, ἱκανὸν μαρτύριον τὸ μηδ᾽ αὐτοὺς τοὺς προστάτας αὐτοῦ δύνασθαι c πείθεσθαι τοῖς ὑπ᾽ αὐτῶν λεγομένοις. Καὶ γὰρ καὶ προτρέπειν καὶ διδάσκειν ἐπαγγέλλονται, καὶ μανθάνειν καὶ παιδεύεσθαι συμβουλεύουσιν, ἐπιτιμῶσί τε καὶ ἐπιπλήττουσι τοῖς οὐ τὰ προσήκοντα δρῶσιν, ὡς κατὰ προαίρεσιν ἰδίαν
30 ἁμαρτάνουσιν. Ἀλλὰ καὶ συγγράμματα πλεῖστα καταλείπουσι, δι᾽ ὧν ἀξιοῦσι παιδεύεσθαι τοὺς νέους. Ἐπαύσαντο δ᾽ ἂν τῆς ἐν τοῖς λόγοις φιλοτιμίας, εἰ προσέσχον ὅτι καὶ συγγνώμης ἀξιοῦσι τοὺς ἀκουσίως ἁμαρτάνοντας, τοὺς δὲ d ἑκουσίως πλημμελοῦντας κολάσεως [ἀξίους εἶναί φασιν,] ὡς ἐπ᾽
31 αὐτοῖς δηλονότι τοῦ τε ἁμαρτάνειν καὶ τοῦ μὴ κειμένου. Ὥστε καὶ κατ᾽ αὐτοὺς ἀναιρεῖσθαι τὴν ἐξ εἱμαρμένης ἀνάγκην, συνίστασθαι δὲ κατὰ φύσιν ἡμῖν ὑπάρχειν τὸ αὐτεξούσιον· μετὰ τοῦ πλεῖστα εἶναι καὶ τὰ μὴ ἐφ᾽ ἡμῖν, ὥσπερ τὰ κατὰ φύσιν, καὶ τὰ ἐκ τύχης, ἕτερα ὄντα καὶ αὐτὰ παρὰ τὸν τῆς εἱμαρμένης λόγον, καθὼς προδέδεικται.

32 Τούτων ἡμῖν ἀπὸ πλείστων ἐπιτετμημένων, τῷ πολὺν

b 9. ψευδὴς] ψεῦδος C.F.G. Alex. ed. c 2. πείθεσθαι om. I. 3. ἐπαγγέλλεται D. 5. ἐπιπλήττουσι] ἐπιπλήττωσι B. 9. τῆς] τοῖς C. Supra ἐπαύσατο F. d 2. ἀξίους εἶναί φασιν om. B.C.D.F.G. 3. δηλονότι] τούτων δῆλον ὅτι I. καὶ τοῦ μὴ κειμένου] καὶ μὴ ἁμαρτάνειν κειμένων B.D.F.G. Hæc om. C. 6. ἡμῖν] ἡμῶν C. 11. πολὺν] πολλὰ B. Supra ἐπιτετμημένων G.

c. 18. p. 62. Fati assertores secum ipsi pugnant.

29 Cæterum quam vana sit eorum de fato sententia, vel ex eo manifeste quivis intelligat, quod ne ipsi quidem ejus assertores decretis placitisque suis obtemperare possint. Nam et hortatores se doctoresque profitentur, aliisque auctores sunt, ut disciplina erudiri sese informarique patiantur, adeoque graviter eos ac vehementer increpant, qui officio functi suo non
30 fuerint, utique quod sua ipsi sponte ac voluntate peccaverint. Quid quod volumina relinquunt ipsi plurima, quibus juniores institui velint? Quam illi profecto docendi ambitionem omitterent, si et veniam iis qui inviti atque imprudentes offendunt abs sese dari, et qui consulto peccant, eos pœna dignos pronuntiari cogitarent, quod iis peccare vel non peccare
31 integrum fuisset. Quare et fati necessitatem evertunt ipsi quoque, et liberam arbitrii potestatem nobis a natura inesse confirmant: quemadmodum sane pleraque juris nostri non sunt, ut quæ vel natura vel casu fiunt, sed quæ nihilo verius assignari fato possint, ut superioribus argumentis demonstratum est.

c. 19. p. 64.

32 Atque his a nobis magna ex multitudine in epitomen ideo con-

εἶναι τὸν περὶ τοῦ αὐτεξουσίου λόγον ἐν τοῖς καθ'
ἡμᾶς δόγμασιν· (ᾧ καὶ τῶν φιλοσόφων συνέδραμον αἱ
παρατεθεῖσαι φωναὶ, τοῖς μὲν καθ' ἡμᾶς θείοις γράμμα-
σιν ἐπιμαρτυροῦσαι, τὰς δὲ περὶ εἱμαρμένης οὐ μόνον
τῶν πολλῶν ἀνθρώπων ἀλλὰ καὶ τῶν χρησμῳδῶν τῶν
θαυμαστῶν θεῶν τὰς δόξας ψευδεῖς οὔσας ἀπελέγχου-
σαι·) καὶ τῶν μὲν πρὸς τοὺς γενναίους χρησμοὺς κυνι- p. 273
κώτερον ἀποταθέντων, τῶν δὲ πρὸς τοὺς θαυμαστοὺς
φιλοσόφους παρὰ τῶν αὐτοῖς γνωρίμων ἀντειρημένων,
ὥρα καὶ τῶν ἐξ ἀστρολογίας πρὸς τοὺς Χαλδαΐζοντας
τῶν τὴν κακότεχνον ταύτην γοητείαν ὡς ἐν μέρει μα-
θήματος ἐπαγγελλομένων τοὺς λόγους ἐπισκέψασθαι·
παραθήσομαι δέ σοι καὶ τῶνδε τὰς ἀποδείξεις ἐξ ἀνδρὸς
Σύρου μὲν τὸ γένος, ἐπ' ἄκρον δὲ τῆς Χαλδαϊκῆς ἐπι-
στήμης ἐληλακότος. Βαρδησάνης ὄνομα τῷ ἀνδρὶ, ὃς b

d 11. περὶ τοῦ] τοῦ om. B.C.D.F. 15. ἐπιμαρτυροῦσι D. ult. χρησμῳδῶν τῶν θαυμαστῶν] θαυμαστῶν χρησμῳδῶν B.C.D.F.G.

p. 273. 2. ἀποτεθέντων] ἀποταθέντων B.C.F.G. 11. Βαρδισάνης] γρ. Βαρδησάνης Vigeri marg. Et sic Hist. Eccl. IV. 30. cum Porphyr. Abst. IV. 17. Vid. Cavei Hist. Litt. T. I. p. 77. Plura Strunzius in Hist. Bardesanis ac Bardesanistarum *Vitemb.* 1710. 4°.

tractis, quod plurima nostris in literis de arbitrii nostri facultate habeantur, (quibus producta philosophorum testimonia consentiunt, dum et sacrarum ad paginarum quibus utimur auctoritatem accedunt, et istas de fato non tralatitias vulgi tantum sed egregiorum etiam fatidicorumque numinum opiniones falsi coarguunt :) totaque vi disputationis partim in præclara oracula vehementius asperiusque collata, partim adversus eximios philosophos, non aliis, quam eorum ipsorum quos usque adeo norunt, sententiis verbisque contexta : juvat eorum deinceps, quos astrologos nominant, adversus istos Chaldæorum sectatores, qui sic artis nefariæ præstigias, tanquam doctrinæ partem aliquam profitentur, rationes expendere. Quas quidem ex homine Syro, qui summam Chaldaicæ doctrinæ perfectionem et absolutionem adeptus erat, hoc loco proferemus. Bardesanes

ἐν τοῖς πρὸς τοὺς ἑταίρους διαλόγοις τάδε πῃ μνημονεύεται φάναι.

10 Κατὰ φύσιν ὁ ἄνθρωπος γεννᾶται, τρέφεται, ἀκμάζει, γεννᾷ, ἐσθίει, πίνει, κοιμᾶται, γηρᾷ, ἀποθνήσκει· καὶ τοῦτο
2 παντὸς ἀνθρώπου καὶ παντὸς ἀλόγου ζῴου. Καὶ τὰ μὲν c
ἄλλα ζῷα ψυχικὰ ὄντα, καὶ διόλου κατὰ συμπλοκὴν γεγενημένα, διόλου σχεδὸν κατὰ φύσιν φέρεται. Λέων σαρκοφαγεῖ, καὶ ἀμύνεται εἴ τι ἀδικηθῇ· καὶ διὰ τοῦτο πάντες οἱ λέοντες σαρκοφαγοῦσι καὶ ἀμύνονται· καὶ ἀμνάδες χορ-
[161] τοφαγοῦσι, καὶ κρεῶν οὐχ ἅπτονται, καὶ ἀδικούμεναι οὐκ
3 ἀμύνονται· καὶ ὁ αὐτὸς τρόπος πάσης ἀμνάδος. Σκορπίος γῆν ἐσθίει, καὶ τοὺς μὴ ἀδικήσαντας ἀδικεῖ, κέντρῳ ἰοβόλῳ πλήσσων· καὶ ἡ αὐτὴ κακία πάντων σκορπίων. Μύρμηξ d
κατὰ φύσιν οἶδε χειμῶνος παρουσίαν, καὶ δι' ὅλης θερείας κάμνων ἀποτίθεται ἑαυτῷ τροφάς· καὶ ὁμοίως πάντες μύρ-

ΒΑΡΔΗΣΑΝΟΥ

b. ἐν τοῖς πρὸς τοὺς] πρὸς τοὺς ἐν τοῖς C.F.G. qui statim ἑταίροις διὰ λόγους. ἑτέρους D. pro ἑταίρους. 2. τάδε πῃ] τάδ' ἔπη C.E.F.G. μνημον. φάν.] φαν. μνημ. B.C.F.G. c 3. γεγενημ] γεγεννημ. B. 5. ἀμύνεται] ἀμύνεται ἀδικηθεὶς B. Tum εἴτι τε D. τι om. F.G. εἴποτε ἀδ. I. 6. πάντες om. B.C.F.G. 8. κρεῶν] κλεῶν C. Tum οὐχὶ D. ἀδικούμεναι] ἀδικούμενοι C.F.G. 9. πάσης] πάσαις B.C.F.G. qui statim om. ἀμνάδος. d. καὶ ἡ αὐτὴ κακία πάντων σκορπίων] καὶ τὸ αὐτὸ πᾶσι σκορπίοις B.C.D.F.S.V. 2. χειμῶνος παρουσίαν] χειμῶνα B. χ. παρόντος καὶ δι' ὅλου θέρους C. et fere F.G. 3. ἀποτίθεται ἑαυτῷ τροφὰς etc.] ταμιεύει τροφὰς τοῦτο πᾶσι μύρμηξι· μέλισσα μ. γ. B. ταμιεύειν τροφὰς C.F.G. ταμιεύει . . τοῦτο πᾶσι μύρμηξι D.V. ταμιεύει καὶ τοῖς πᾶσι μύρ. S.

is fuit, quem in suis, quos ad disciplinæ socios scripsit dialogis, hunc in modum philosophari memorant.

10 Naturæ legibus, inquit, generatur homo, alitur, crescit, generat, comedit, bibit, dormit, senescit, moritur: atque id omni non homini tantum, sed
2 etiam experti rationis animanti commune est. Verum animantes cæteræ, quod præter sensum nihil habeant, quodque totæ maris ac fœminæ congressione generentur, naturæ quoque in omnibus propemodum impetu rapiuntur. Leo carne vescitur; idem, si lædis, ulciscitur: itaque leones omnes et carne vescuntur, et ulciscuntur si lædis. Oves herba vescuntur, carnes ne attingunt quidem, nec si læseris ulciscuntur: ac toti ovium
3 generi instinctus iste communis est. Scorpius et terram comedit, et illos etiam, a quibus nihil ipse læsus fuerit, venenato stimulo vulnerat; qua improbitate genus omne scorpiorum laborat. Formica id a natura habet, ut hyemem imminere præsentiat, eoque totam æstatem assiduo labore terens, alimenta reponat sibi: quod ab omnibus formicis fieri videmus.

ΒΑΡ-ΔΗΣΑ-ΝΟΥ

4 μηκες ἐργάζονται. Μέλισσα μέλι γεωργεῖ, ἐξ οὗ καὶ τρέ-
φεται· καὶ ἡ αὐτὴ γεωργία πάσαις μελίσσαις. Καὶ ἦν πολ-
λὰ εἴδη ἐκθέσθαι ἡμῖν τῶν ζῴων, ἅ τινα τῆς φύσεως μὴ δυνά-
μενα ἐκστῆναι πολὺν θαυμασμὸν παρασχεῖν ὑμῖν ἐδύνατο·
ἀλλ' αὐτάρκη ἡγησάμην ἐκ τῶν παρακειμένων τὴν ἀπόδειξιν
ποιήσασθαι, ὅτι τὰ μὲν ἄλλα ζῷα κατὰ τὴν κοινότητα καὶ
τὴν διαφορὰν κατὰ φύσιν δοθεῖσαν ἑκάστῳ ἐξ ἀνάγκης ἡδέως
5 φέρεται, ἄνθρωποι δὲ μόνοι, τὸ ἐξαίρετον ἔχοντες τόν τε p. 274
νοῦν καὶ τὸν ἐκ τούτου προφερόμενον λόγον, κατὰ μὲν τὴν
κοινότητα ἕπονται τῇ φύσει, ὡς προεῖπον, κατὰ δὲ τὸ ἐξαί-
6 ρετον οὐ κατὰ φύσιν πολιτεύονται. Οὐδὲ γὰρ μία βρῶσις ἡ
τῶν ἁπάντων· ἄλλοι μὲν γὰρ κατὰ τοὺς λέοντας τρέφονται,
ἄλλοι δὲ κατὰ τὰς ἀμνάδας· οὐχ ἓν ἔχοντες σχῆμα φορημά-
των, οὐκ ἔθος ἕν, οὐχ εἷς νόμος πολιτείας ἐν αὐτοῖς, οὐ μία
κίνησις ἐπιθυμίας τῶν πραγμάτων· ἀλλ' ἕκαστος τῶν ἀνθρώ-
πων κατὰ τὴν ἰδίαν θέλησιν αἱρεῖται ἑαυτῷ βίον, τὸν πλη- b
7 σίον μὴ μιμούμενος, πλὴν ἐν οἷς βούλεται. Τὸ γὰρ ἐλεύθε-

d 6. *καὶ ἡ αὐτὴ γεωργία*] *τοῦτο* B.C.D.F.G.S.V. *ἡ αὐτοὺς γεωργία πάσας μελίσσης* E. *πάσης μελίσσης* I. 7. *ἡμῖν*] *ὑμῖν* B. *ἅτινα*] *ἃ* B.C.D.F.G. 9. *ἀλλ' αὐτάρκη ἡγησάμην*] *ἀλλ' ἀρκεῖ* B.C.D.F.G.S.V. 11. *τὴν ἀπόδειξιν ποιήσασθαι*] *ἡ ἀπόδειξις* B.C.D.F.G.S.V.

p. 274. 2. *τόν τε*] *τόν* $\overset{\tau\epsilon}{\gamma\epsilon}$ D. 6. *μὲν*] *μὲν γὰρ* B.C.D.F.G. 8. *ἔχοντες*] *ἔσχοντες* I. qui mox om. *ἐν αὐτοῖς*.

4 Apis cum in elaborando melle versari, tum etiam eodem ali solet: quare id studium omnibus in apibus cernitur. Possem equidem alia pleraque animantium genera producere, quæ quod peculiaris naturæ vim et impetum deserere nequeant, eo ipso nobis plurimum admirabilitatis habere viderentur. Sed futurum id satis existimavi, si vulgarium et quotidianorum exemplo docerem, animantes quidem cæteras, prout eas vel inter se communione conjunxit, vel dissimilitudine natura distinxit, ejus ductum
5 necessario quidem, sed tamen jucunde sequi: homines vero, qui proprium aliquid soli ac singulare, hoc est mentem, quæque proficiscitur ex mente, rationem habeant, ut in iis quæ ad communionem pertinent, eandem naturam sequantur, (quemadmodum jam ante dixi;) in iis tamen quæ peculiari ex jure ac facultate pendent, ad communem illam naturam minus
6 adhærescunt. Nec enim eodem omnes utuntur cibo, cum alii leonum, ovium alii ritu vescantur: non cultus idem omnibus, non mos, non vitæ lex et ratio placet, non earundem omnes rerum cupiditate ducuntur: suo quisque vivit arbitrio, nec vicinum quisquam, nisi quatenus visum fuerit,
7 æmulatur. Est enim ea libertate præditus, quæ servitutem pati non possit.

Diversi diversorum populorum mores.

ΒΑΡ-ΔΗΣΑ-ΝΟΥ

ρον αὐτοῦ οὐχ ὑπόκειται δουλείᾳ, καὶ εἴ ποτε ἑκὼν δουλεύσει,
καὶ τοῦτο τῆς ἐλευθερίας αὐτοῦ ἐστὶ, τὸ δύνασθαι δουλεύειν
8 ἑκόντα. Πόσοι τῶν ἀνθρώπων, καὶ μάλιστα τῶν Ἀλαναίων,
ὡς τὰ ἄγρια ζῷα, κρεοβοροῦσιν ἄρτου μὴ γευόμενοι, καὶ οὐ
διὰ τὸ μὴ ἔχειν, ἀλλὰ διὰ τὸ μὴ θέλειν; Ἄλλοι κρεῶν οὐ
γεύονται, ὡς τὰ ἥμερα ζῷα· ἄλλοι ἰχθυοφαγοῦσι μόνον· c
ἕτεροι δὲ ἰχθύων οὐ γεύονται, οὐδ' ἂν λιμώσσωσιν. Οἱ μὲν
9 ὑδροποτοῦσιν, οἱ δὲ οἰνοποτοῦσιν, οἱ δὲ σίκερα πίνουσι. Καὶ
ἁπλῶς πολλὴ διαφορὰ βρωμάτων καὶ πομάτων ἐν τῇ ἀν-
θρωπότητι, μέχρι καὶ ἐν τῇ τῶν λαχάνων καὶ ὀπωρῶν βρώ-
σει διαφερόμενοι. Ἀλλὰ καὶ οἱ μὲν, ὡς σκορπίοι, καὶ ὡς
ἀσπίδες, μὴ ἀδικηθέντες ἀδικοῦσιν· οἱ δὲ, ὡς τὰ ἄλογα ζῷα,
ἀδικούμενοι ἀμύνονται· ἕτεροι δὲ, ὡς λύκοι ἁρπάζουσι, καὶ
ὡς γαλαὶ κλέπτουσιν· ἄλλοι δὲ ὡς ἀμνάδες καὶ μηκάδες ὑπὸ
τῶν ὁμοιοπαθῶν ἐλαύνονται, καὶ τοὺς ἀδικοῦντας οὐκ ἀδι-
κοῦσι· καὶ οἱ μὲν λέγονται ἀγαθοὶ, οἱ δὲ κακοὶ, οἱ δὲ δίκαιοι. d

b 4. *δουλεύσῃ* D. 7. *ἀλαναίων*] *λαναίων* C. *κρεοβοροῦσιν*] *κρεωβ.* C. *κρεοβωροῦσιν* B. *κρέα τρεφόμενοι ἄρτου οὐ γεύονται* I. 8. *γευόμενα*] *γευόμενοι* C.F.G. Vigeri marg. Mox *καὶ* om. B.C.D.F.G. 10. *κρεῶν οὐ γεύονται*] *οὐχ οὕτως* B.C.F.G. Tum *ἀλλ' ὡς* C.F.G. 11. *ἰχθύων οὐ γεύονται*] *οὐδὲ τοῦτο* B.C.D.F.G. c 2. *λιμώσσ.*] *λιμώττ.* C.F.G. Tum *οἱ μὲν ὑδρ.* om. B.C.F.G. 3. *σίκερα πίνουσι*] *σικερατίζουσι* B.C.D.S.V. *σικέρα τίζουσι* G. *σῃ* (*αι* supra) *σίκερα* S. in altera ora 5. *καὶ*] *τε καὶ* C.F.G. 6. *τῶν λαχ.*] *τῶν* om. C.F.G. 7. *διαφερόμενοι*] *ἴσ. διαφερομένῃ* Vigeri marg. *ὡς*] *ὡσεὶ* B.C.D.F.G. 9. *ἄλογα*] *ἄλλα* B.C.F.G.I.S.V. 12. *ὁμοιοπαθῶν*] Act. Apost. 14, 15. *ab iis qui ejusdem naturæ sunt.* Toup. 13. *τοὺς*] *καὶ τοὺς* B.C.I. ed. Viger.

Quod si volens aliquando libensque serviat, hoc ipsum libertatis ejus est,
8 quod servire libere possit. Quam multi homines, Alanæorum præsertim Alanæi.
ex genere, crudis ferarum more carnibus vescuntur, panem ne attingunt
quidem, non penuria, sed voluntate? Alii perinde ac cicures animantes
carnibus abstinent. Alii solis utuntur piscibus, quos alii, ut maxime fames
urgeat, gustare non possunt. Alii aquam, vinum alii, alii siceram bibunt.
9 Denique magna est in hominum genere cibi potusque diversitas, quam in
olerum etiam ac pomorum usu videre licet. Nonnulli præterea, quomodo
scorpii aspidesque solent, nulla injuria lacessiti lædunt, illatas alii bruta-
rum animantium ritu persequuntur injurias. Sunt qui rapacitate lupos,
feles et catos furacitate imitentur: sunt contra qui tanquam oves aut
capreæ a similibus impune vexentur, acceptasque injurias patienter ferant.
10 Itaque alii boni, improbi alii, alii justi vocantur. Atque hinc nemo non

ΒΑΡΔΗΣΑΝΟΥ

10 Ὅθεν ἐστὶ νοεῖν μὴ πάντως κατὰ φύσιν ἄγεσθαι τὸν ἄνθρωπον· (ποίαν γὰρ αὐτοῦ ἐροῦμεν φύσιν;) ἀλλὰ πῇ μὲν φέρεται κατὰ φύσιν, πῇ δὲ κατὰ προαίρεσιν. Διὸ τὸν ἔπαινον, καὶ τὸν ψόγον, καὶ τὴν καταδίκην ἔχει ἐν τοῖς κατὰ προαίρεσιν· ἐν δὲ τοῖς κατὰ φύσιν ἔχει τὴν ἀνεγκλησίαν οὐ κατὰ ἔλεος, ἀλλὰ κατὰ λόγον.

11 Καὶ ἑξῆς φησὶ,

Νόμους ἔθεντο διαφόρους οἱ ἄνθρωποι ἐν ἑκάστῃ χώρᾳ,
τινὰς γεγραμμένους, τινὰς δὲ ἀγράφους· ἐξ ὧν διηγήσομαι,
ὡς οἶδα, καὶ ὧν μέμνημαι, ἀρξάμενος ἐκ τῆς τοῦ κόσμου
12 ἀρχῆς. Νόμος ἐστὶ παρὰ Σήραις μηδένα φονεύειν, μήτε
πορνεύειν, μήτε κλέπτειν, μήτε ξόανα προσκυνεῖν· καὶ ἐν p. 275
ἐκείνῃ τῇ μεγίστῃ χώρᾳ οὐ ναόν ἐστιν ἰδεῖν, οὐ γυναῖκα πορ-
νικὴν, οὐ μοιχαλίδα ὀνομαζομένην, οὐ κλέπτην ἑλκόμενον ἐπὶ
13 δίκην, οὐκ ἀνδροφόνον, οὐ πεφονευμένον. Οὐδενὸς γὰρ τὸ
αὐτεξούσιον ἠνάγκασεν ὁ τοῦ πυριλαμπέος Ἄρεος ἀστὴρ
μεσουρανῶν ἄνδρα σιδήρῳ ἀνελεῖν, οὐ Κύπρις σὺν Ἄρει
τυχοῦσα ἀλλοτρίᾳ γυναικὶ μιγῆναί τινα παρ᾽ ἐκείνοις, πάν-

d 6. διὸ τὸν—ἔχει om. F. qui pergit ἐν δὲ τοῖς. 10. Νόμους] Sequentia edidit Grabius in Spicilegio Patrum T. I. p. 290. 11. γεγραμμένους] γεγραμμένας B. ult. Σήρας] σύραις F.
p. 275. 2. πορνικὴν] πρακτικὴν E.I. 5. πυριλαμπέος] πυριλάμπεως B.D. Supra γὰρ om. E.I. 7. ἀνελεῖν] ἀνελῆ I.

intelligit, hominem rebus in omnibus natura minime ferri: (quam enim aut cujusmodi propriam ejus naturam esse dicemus?) sed partim natura, partim voluntate. In iis ergo quæ voluntatis sunt, modo laude, modo vituperio, modo pœna dignus est: at in iis quæ naturæ vitio fiunt, omni reprehensione carere debet; atque id judicium non misericordia, sed ratio dictat.

11 Hæc ille, quibus idem quæ sequuntur adjungit.

Varias, inquit, leges singulis in regionibus, partim scriptas, partim non
scriptas homines tulerunt, e quibus eas quæ notæ mihi sunt, quæque in
12 memoriam ab orbis conditu subeunt, hoc loco proferam. Apud Seras lex
est, qua cædes, scortatio, furtum, et simulacrorum cultus omnis prohibetur.
Quare in amplissima regione non templum videas, non meretricem, non
13 adulteram, non furem in jus raptum, non homicidam, non occisum. Nul-
lius adhuc liberæ voluntati, flammivomi stella Martis, medio licet in cœlo
volvatur, hominis ferro necandi necessitatem imposuit. Neminem apud
eos congressa cum Marte Venus ad uxoris alienæ congressionem impulit;

BAP-ΔΗΣΑ-NOΥ

τως πάσῃ ἡμέρᾳ μεσουρανοῦντος τοῦ Ἄρεος, καὶ πάσῃ ὥρᾳ
14 καὶ ἡμέρᾳ γεννωμένων τῶν Σηρῶν. Παρὰ Ἰνδοῖς καὶ Βάκτροις εἰσὶ χιλιάδες πολλαὶ τῶν λεγομένων Βραχμάνων, οἵ- b
τινες κατὰ παράδοσιν τῶν προγόνων καὶ νόμων οὔτε φονεύ-
[162] ουσιν, οὔτε ξόανα σέβονται, οὐκ ἐμψύχου γεύονται, οὐ μεθύσκονταί ποτε, οἴνου καὶ σίκερος μὴ γευόμενοι, οὐ κακίᾳ τινὶ κοινωνοῦσι προσέχοντες τῷ Θεῷ, τῶν ἄλλων Ἰνδῶν φονευόντων, καὶ ἑταιρευόντων, καὶ μεθυσκομένων, καὶ σεβομένων
15 ξόανα, καὶ πάντα σχεδὸν καθ' εἱμαρμένην φερομένων. Ἔστι δὲ ἐν τῷ αὐτῷ κλίματι τῆς Ἰνδίας φυλή τις Ἰνδῶν, οἵτινες τοὺς ἐμπίπτοντας ξένους ἀγρεύοντες καὶ [τούτους] θύοντες ἐσθίουσι· c
καὶ οὔτε οἱ ἀγαθοποιοὶ τῶν ἄστρων κεκωλύκασι τούτους μὴ μιαιφονεῖν καὶ μὴ ἀθεμιτογαμεῖν, οὔτε οἱ κακοποιοὶ ἠνάγκα-
16 σαν τοὺς Βραχμᾶνας κακουργεῖν. Παρὰ Πέρσαις νόμος ἦν γαμεῖν τὰς θυγατέρας καὶ τὰς ἀδελφὰς καὶ τὰς μητέρας· καὶ οὐ μόνον ἐν τῇ χώρᾳ ἐκείνῃ καὶ ἐν ἐκείνῳ τῷ κλίματι τούτους τοὺς ἀνοσίους γάμους οἱ Πέρσαι ἐποίησαν, ἀλλὰ καὶ ὅσοι

b 2. οἵ τινες] οἱ B.C.D.F.G. 7. τῷ θεῷ] τῷ om. B.C.D.F. Mox φονεύονται (ων) D. 10. αὐτῷ] αὐτοῦ B. 11. οἵ τινες] οἱ B.C.D.F.G. c. τούτους om. B.C.D.F.G. 2. ἄστρων] ἀστέρων F.G.I.S. 3. ἀθεμιστογαμεῖν D. 6. καὶ τὰς ἀδελφὰς om. Viger. sed ea verba habet ed. Steph. et ni fallor mss. omnes. 7. ἐκείνῃ om. B.D.F.G. 8. ἐν ἐκείνῳ τῷ κλίματι] τῷ κλίματι ἐκείνῳ B.C.F.G. τούτους om. B.C.D. F.G. Tum γάμους om. B.

tametsi nullo non die Mars ille medium in cœlum evadat, nulla non hora
14 quotidie nascantur Seres. Apud Indos et Bactros, multa sunt eorum millia, quos Brachmanas vocant. Ii tam majorum, quam legum traditione, ab omni cæde cultuque simulacrorum abstinent, animantium nihil gustant, sicci nunquam et sobrii non sunt, quod vino, siceræque parcant, dumque uni Deo vacant, nullius unquam sceleris communione polluuntur. Cæteri autem Indi cædibus interea, stupris, ebrietati, colendisque simulacris
15 dediti sunt, ac fato cunctis propemodum in rebus obsequuntur. Imo vero eodem in Indiæ climate, genus quoddam reperitur Indorum, qui allatos casu peregrinos ubi ceperint, eosdem postmodum hostiarum more jugulatos devorent. Ita, nec istos ab hac vel cædium immanitate, vel indignitate nuptiarum benefica sidera revocare, nec ad scelus Brachmanas adigere
16 malefica potuerunt. Apud Persas lex erat, qua non filias tantum aut sorores, sed ipsas quoque matres secum matrimonio jungere licebat. Nec in ea regione tantum, eove duntaxat in climate, incestas illas Persæ nuptias contrahebant; sed etiam quotquot eorum e Perside alio commigrarunt,

Brachmanes quales.

ΒΑΡΔΗΣΑΝΟΥ

αὐτῶν τῆς Περσίδος ἐξεδήμησαν, οἵτινες καλοῦνται Μαγου-
σαῖοι, τὴν αὐτὴν ἀθεμιστίαν διαπράττονται, παραδιδόντες d
τοὺς αὐτοὺς νόμους καὶ τὰ ἔθη τοῖς τέκνοις κατὰ διαδοχήν.
17 Ἐξ ὧν εἰσὶ μέχρι νῦν πολλοὶ ἐν Μηδίᾳ, καὶ ἐν Αἰγύπτῳ, καὶ
ἐν Φρυγίᾳ, καὶ ἐν Γαλατίᾳ. Καὶ οὐ δήπου Κύπρις ἐν ὁρίοις
καὶ οἴκοις Κρόνου, σὺν Κρόνῳ ἐφομαρτοῦντος τοῦ Ἄρεος,
18 ἐν ταῖς τῶν πάντων γενέσεσιν εὑρίσκετο. Παρὰ Γήλοις
νόμος ἐστὶ τὰς γυναῖκας γεωργεῖν, καὶ οἰκοδομεῖν, καὶ πάντα
τὰ ἐργατικὰ πράσσειν, καὶ κοινωνεῖν οἷς ἂν βούλωνται, καὶ
μὴ ἐγκαλεῖσθαι ὑπὸ τῶν ἀνδρῶν, μήτε καλεῖσθαί τινα μοι-
χαλίδα, τῷ πάσας ἐργατικὰς εἶναι, καὶ πᾶσι κοινωνεῖν, μά-
19 λιστα δὲ τοῖς ξένοις. Καὶ οὔτε μυρίζονται Γήλισσαι γυ-
ναῖκες, οὐχ ἱμάτια βαπτὰ φοροῦσιν, ἀνυπόδητοι δέ εἰσι
πᾶσαι, καίτοι τῶν Γήλων ἀνδρῶν κοσμουμένων ἐν φορήμασι p. 276
μαλακοῖς καὶ ἐν διαφόροις χρώμασι, καὶ χρυσοφορούντων,
καὶ μυριζομένων· καὶ οὐ κατά τινα ἄλλην μαλακίαν, εἰσὶ γὰρ

c 10. οἵ τινες] οἱ B.C.D.F.G. 11. μαγουσαῖοι] μαγουναῖοι C.F.G. Vid. Beausobrium in Hist. Manich. T. I. p. 178. d 2. τοὺς αὐτοὺς νόμους καὶ τὰ ἔθη] τὰ αὐτὰ ἔθη B.C.F.G. 4. μηδίᾳ] μηδείᾳ B.C.F. Mox ἐν om. B.C.F.G. ante Αἰγ. ante Γαλ. C.F.G. Tum ἀλλὰ καὶ ἐν Φρ. I. 5. οὐ D. qui mox ἐπομαρτοῦντος cum B.C. ed. Steph. ubi ἐπιμαρτυροῦντος E.I. ἐπομαρτοῦντο F.G. 8. εὑρίσκετο] ηὑρίσκετο B. 11. βούλωνται] βούλονται D. ult. ἀνυπόδητοι] ἀνυπόδετοι B.I. Supra μερίζονται F.G.

p. 276. γήλων] γηλίων C.F.G. et infra. 2. φορήμασι] φρονήμασι C.G. ἐν om. D.F. 5. εἰσι γὰρ] εἰσὶ καὶ F.

quos Magusæos vocant, iisdem flagitiis obstricti manent, posterisque suis
17 hæreditario quasi jure leges et consuetudines easdem relinquunt. Atque
hujus nationis plurimi etiamnum, in Media, Ægypto, Phrygia, Galatia
reperiuntur. Neque tamen Venerem, opinor, quisquam dixerit, in omnium
ac singulorum ortu, sic in finibus ædibusque Saturni constitisse, ut Mars
18 cum eodem Saturno comitaretur. Apud Gelos cautum lege est, uti mu-
lieres terram colant, domos ædificent, ac reliquis hujusmodi operibus
vacent, imo quibuscum ipsæ voluerint impune consuescant. Ita, nec
reprehendi a viris, nec adulteræ vocari solent, quod omnes pariter et in
similium artium occupatione versentur, et cum omnibus promiscue, ac
19 præsertim cum peregrinis conjungantur. Præterea nec unguentorum
Gelissis mulieribus, nec tinctarum vestium usus est: imo nudis quoque
pedibus incedunt omnes; cum interea viri non mollia tantum ac delicata,
sed etiam et colore distincta multiplici, et auro collucentia vestimenta
ferre, atque unguentis perfundi consueverint. Quod ipsi tamen pro sua
quadam insitaque animorum ignavia non utique faciunt, cum et fortissimi

Gelissæ mulieres quales.

ΒΑΡ-ΔΗΣΑ-ΝΟΥ

20 ἀνδρεῖοι, καὶ πολεμικώτατοι, καὶ κυνηγετικώτατοι. Καὶ οὐ πᾶσαι αἱ τῶν Γήλων γυναῖκες ἔλαχον ἐν Αἰγοκέρωτι ἢ ἐν Ὑδρηχόῳ κακοδαιμονοῦσαν τὴν Κύπριν, οὐδ' οἱ ἄνδρες αὐτῶν πάντες ἔχουσιν ἐν Κριῷ σὺν Ἄρει τὴν Παφίην, ἔνθα τοὺς
21 ἀνδρείους καὶ σπατάλους οἱ Χαλδαΐζοντες λέγουσι. Παρὰ Βάκτροις αἱ γυναῖκες παντὶ κόσμῳ διαφέροντι καὶ παντὶ b μύρῳ χρῶνται, ὑπηρετούμεναι ὑπὸ παιδίσκων καὶ νεανίσκων μᾶλλον ἢ οἱ ἄνδρες· προερχόμεναι μετὰ πολλῆς φαντασίας ἔφιπποι, κοσμοῦσαι πολλῷ χρυσῷ καὶ λίθοις βαρυτίμοις τοὺς ἵππους· καὶ οὐ σωφρονοῦσιν, ἀλλ' ἀδιαφόρως κοινωνοῦσι τοῖς δούλοις καὶ τοῖς ξένοις, ἄδειαν ἔχουσαι τοιαύτην, καὶ ὑπὸ τῶν ἀνδρῶν μὴ ἐγκαλούμεναι σχεδὸν κυριεύουσιν αὐτῶν.
22 Καὶ οὐ πάντως ἐν πάσῃ γενέσει τῶν ἐν Βακτρίᾳ γυναικῶν c μεσουρανεῖ μετὰ Διὸς καὶ Ἄρεος ἐν ἰδίοις ὅροις ἡ φιλόγελως Ἀφροδίτη. Ἐν δὲ τῇ Ἀραβίᾳ, καὶ τῇ Ὀσροηνῇ, οὐ μόνον αἱ μοιχαλίδες φονεύονται, ἀλλὰ καὶ αἱ ὑποπτευόμεναι
23 οὐκ ἀφίενται ἀτιμώρητοι. Παρὰ Πάρθοις καὶ Ἀρμενίοις οἱ φονεῖς ἀναιροῦνται, ποτὲ μὲν ὑπὸ τῶν δικαστῶν, ποτὲ δὲ

a 8. ὑδρηχόῳ] ὑδριχ. B.D.E. 10. Παφίην] φαίην I. b. διαφέροντι] διαφέρον τε C. διαφέρων τε F. 2. ὑπηρετούμεναι] ὑπηρετούμενοι B.C.F. 4. πολλῆς φαντασίας] Sic in Novo Testamento in Actis [25, 23.] S. 5. πολλῷ χρυσῷ] χρυσῷ πολλῷ E.I. 11. πάσῃ] πᾶσι B. c 2. φιλόγελως] φιλόγελος D. 3. ἀραβίᾳ] ἀρραβίᾳ B.C. ἐν τῇ Ἀραβίᾳ δὲ καὶ ἐν τῇ Ὀσ. E.I. 6. οἱ φονεῖς] οὐ φ. I.

20 sint, et bellorum venationisque peritissimi. Nec fœminæ apud illos, aut in Capricorno, aut in Aquario infaustam omnes Venerem infestamque sortitæ sunt: nec rursus viri omnes eandem in Ariete cum Marte conjunctam habent, quo utriusque situ, fortes simul ac delicatos nasci Chal-
21 dæorum sectatores autumant. Apud Bactros, mulieres omni cultus ac mundi elegantia, omnique unguentorum genere uti solent, adeoque pluribus quam viri, ancillarum ac puerorum obsequiis officiisque coli. Prodeunt in equis, quos multo auro gemmisque pretiosissimis phaleratos habent, ingenti specie atque pompa: eædem usque adeo intemperantia laborant, ut cum servis etiam atque peregrinis promiscue consuescant: nec ullam propterea virorum offensionem aut reprehensionem extimescunt,
22 utpote quibus ipsæ prope dominentur. Neque tamen, opinor, in Bactrianarum omnium mulierum ortu, Venus illa jocorum ac deliciarum amans, cœlo in medio, ac suis in finibus, cum Jove simul ac Marte congreditur. In Arabia et Osroene, cum adulterii crimen in mulieribus capitale est, tum
23 ipsa quoque suspicio pœnam habet. In Parthia simul et Armenia, vulgares quidem homicidæ nonnunquam a judicibus, interdum a cæsorum propin-

Bactriæ mulieres.

Parthi et Armenii homicidæ quomodo puniti.

ΒΑΡΔΗΣΑΝΟΥ

ὑπὸ τῶν καθ' αἷμα τῶν φονευθέντων. Καὶ ἐάν τις φονεύσῃ
γυναῖκα αὐτοῦ, ἢ ἀδελφὸν ἄτεκνον, ἢ ἀδελφὴν ἄγαμον, ἢ
υἱὸν, ἢ θυγατέρα, οὐκ ἐγκαλεῖται ὑπό του, νόμου τοιούτου
ὑπάρχοντος ἐν ταῖς χώραις ἐκείναις· παρ' Ἕλλησι δὲ καὶ d
Ῥωμαίοις μείζονι τιμωρίᾳ ὑποβάλλονται οἱ τῶν [οἰκείων
24 καὶ] συγγενῶν φονευταί. Ἐν Ἄτροις ὁ κλέπτων τι ὀβολοῦ
ἄξιον λιθάζεται, παρὰ Βάκτροις ὁ ὀλίγα κλέπτων ἐμπτύεται,
παρὰ Ῥωμαίοις πληγαῖς αἰκίζεται· τοιοῦτοι γὰρ οἱ νόμοι.
25 Ἀπὸ Εὐφράτου ποταμοῦ, καὶ μέχρι τοῦ Ὠκεανοῦ, ὡς ἐπὶ
ἀνατολὰς, ὁ λοιδορούμενος ὡς φονεὺς, ἢ ὡς κλέπτης, οὐ πάνυ
[163] ἀγανακτεῖ· ὁ δὲ ὡς ἀρσενοκοίτης λοιδορούμενος ἑαυτὸν ἐκδι-
κεῖ μέχρι καὶ φόνου· παρ' Ἕλλησι δὲ καὶ οἱ σοφοὶ ἐρωμένους
26 ἔχοντες οὐ ψέγονται. Ἐν τῇ αὐτῇ ἀνατολῇ ὑβριζόμενοι,
ἐὰν γνωσθῶσιν, ὑπὸ ἀδελφῶν, ἢ πατέρων, καὶ συγγενῶν φο-
27 νεύονται, καὶ ταφῆς προδήλου οὐκ ἀξιοῦνται. Παρὰ δὲ Γάλ- p. 277
λοις οἱ νέοι γαμοῦνται μετὰ παρρησίας, οὐ ψόγον τοῦτο

c 8. *τῶν συγγενῶν τῶν φονευομένων*] *τοῦ καθ'* (*τῶν καθ'* C.F.G.) *αἷμα τῶν φονευθέντων* B.C.D.F.G. 9. *ἄτεκνον*] Trapez *cœlibem* S. 11. *οὐκ*] *οὐδ'* I. *τινος*] *του* B.C.D.F.G. om. S.V. d 2. *οἰκείων καὶ* om. B.C.D.F.G. *παραβάλλονται* pro *ὑποβ.* E.I. 3. *ἄτροις*] *In Atriis* Trapez. S. 4. *ὀβολοῦ ἄξιον*] *ἄξιον ὀβολοῦ* B.C.F.G.I. *λιθάζεται*] *λιθάθεται* C. *ὀλίγα*] *ὁ ὀλίγα* F.G. 5. *ἐμπτύεται*] *ἐμπνίγεται* C.G. *ἐμπίγεται* F. 6. *αἰκίζεται*] *παιδεύεται* E.I.S.V. *καὶ κίζεται* F. 10. *ἑαυτὸν ἐκδικεῖ*] Trapez. male, *magnitudine ignominiæ seipsum immisisse cogitabat* S. 11. *δὲ καὶ*] *δὲ* om. F.G. 13. *ἐὰν*] *ἂν* B.C.D.F.G.

p. 277. 2. *γάλλοις*] *γάλοις* C.F.G. *ση. γάλλοις.* Sic infra *ἐν γαλλίᾳ* S. 3. *ψόγον*] *ψόγου* C.F.

quis morte puniuntur. Si quis vero aut uxorem, aut fratrem liberis orbum,
aut sororem innuptam, aut filium, aut filiam occiderit, accusat nemo: hoc
enim ut liceat, certa populorum istorum lege cautum est: cum apud
Græcos et Romanos acerbiores adversus propinquorum et affinium inter-
24 fectores pœnæ constitutæ sint. Apud Atros qui vel obolare quidpiam
furatus erit, lapidatur: apud Bactros levioris furti reus conspuitur; apud
25 Romanos verberatur. Ejusmodi quippe leges ab iis sancitæ sunt. Ab
Euphrate fluvio ad Oceanum usque versus orientem, quibus vel homicidii
vel furti crimen impingitur, non graviter admodum ac moleste ferunt: at
quibus mascula Venus objicitur, ii vel cæde nonnunquam turpitudinis
suspicionem ulciscuntur: cum apud Græcos, amores suos habere, ne
26 sapientibus quidem ipsis probro detur. In eodem oriente, quibus oblatum
stuprum fuerit, ii, comperta re, a fratribus, aut parentibus, aut cognatis
27 non occiduntur modo, sed etiam sepulchri honore spoliantur. Apud Gallos
autem adolescentes publice ac secure nubunt, nec turpe facinus, cui patriæ

ΒΑΡΔΗΣΑΝΟΥ

ἡγούμενοι διὰ τὸν παρ' αὐτοῖς νόμον. Καὶ οὐ δυνατόν ἐστι πάντας τοὺς ἐν Γαλλίᾳ οὕτως ἀθέως ὑβριζομένους λαχεῖν ἐν ταῖς γενέσεσι Φωσφόρον μεθ' Ἑρμοῦ ἐν οἴκοις Κρόνου καὶ
28 ὁρίοις Ἄρεος δύνοντα. Ἐν Βρεττανίᾳ πολλοὶ ἄνδρες μίαν γυναῖκα ἔχουσιν· ἐν δὲ τῇ Παρθίᾳ, πολλαὶ γυναῖκες ἕνα ἄνδρα, καὶ πᾶσαι σωφρονοῦσι πειθόμεναι αὐτῷ κατὰ τὸν νόμον.
29 Αἱ δὲ Ἀμαζόνες πᾶσαι ἄνδρας οὐκ ἔχουσιν, ἀλλ' ὡς τὰ ἄλογα ζῷα ἅπαξ τοῦ ἔτους περὶ τὴν ἐαρινὴν ἰσημερίαν ὑπερ- b
βαίνουσαι τοὺς ἰδίους ὅρους κοινωνοῦσι τοῖς πλησιοχώροις, ἑορτήν τινα ταύτην ἡγουμένοις· ἐξ ὧν συλλαμβάνουσαι ὑποστρέφουσι, καὶ ἀναγκαίως ἐν ἑνὶ καιρῷ ἀποκυΐσκουσι κατὰ τὸν τῆς φύσεως νόμον, καὶ τοὺς μὲν γεννωμένους ἄρρενας ῥίπτουσι, τὰς δὲ θηλείας ἀνατρέφουσι· πολεμικαί τέ εἰσι,
30 καὶ γυμνασίων προνοούμεναι. Ἑρμῆς μετὰ Ἀφροδίτης ἐν οἴκοις Ἑρμοῦ ποιεῖ πλάστας, καὶ ζωγράφους, καὶ τραπεζίτας· ἐν οἴκοις δὲ Ἀφροδίτης, μυρεψούς, ἢ φωνάσκους,
31 καὶ ὑποκριτὰς ποιημάτων. Καὶ παρὰ Ταϊνοῖς, καὶ Σαρα- c

a 4. καὶ οὐ—δύνοντας om. B. 6. ἐν ταῖς om. C. ταῖς om. D.F.G. infra δύνοντα C.F.G. Mox ἐξ ἑρμοῦ I. 9. παρθίᾳ] πανθίᾳ C.F.G. παροίᾳ D. b 2. ὑπερβαίνουσαι] ὑποβαίνουσαι I. 5. ὑποστρέφουσι] ὑποτρέφουσι C. ἐν ἑνὶ] ἐν om. C.F.G. 6. ἀποκυΐσκουσι] κυΐσκουσι B.C.D.F.G. 7. τοὺς μὲν] μὲν om. E.I. ῥίπτουσι om. F. c 2. ταϊνοῖς] ταιηνοῖς B.I. ταναινοῖς F. ταηνοῖς. Holsten. Steph. Byz. p. 310. Tum σαρακινοῖς I.

legis patrocinetur auctoritas, arbitrantur. Neque tamen fieri profecto potest, ut quotquot in Galliis eo sese flagitio, tam projecta cum impudentia contaminant, ii suo in ortu Vesperum omnes, in Saturni ædibus,
28 Martisque finibus cum Mercurio occidentem sortiti sint. In Britannia plures viri uxorem unicam; in Parthia virum unicum plures uxores habent; quæ tamen caste omnes vivunt, eique, quod ita lege sancitum
29 est, obtemperant. Amazones contra nullum apud se virum patiuntur, sed brutarum animantium ritu, semel quotannis circa vernum æquinoxium, patriis egressæ finibus, rem cum finitimis habent, qui tempus illud solennis cujusdam festi loco ducunt. Revertuntur postmodum concepto fœtu, eodemque necessario tempore, prout lex naturæ fert, simul omnes pariunt: sed projectis maribus, solas suscipiunt aluntque fœminas. Sunt autem bellicosæ omnes, et in omni exercitationis genere præcipuo studio
30 curaque versantur. Jam Mercurium ferunt suis in ædibus cum Venere congredientem, fictores, pictores, nummularios; at in Veneris ædibus, un-
31 guentarios, phonascos, histriones efficere. Atqui apud Tainos et Sara-

Ubi pictores, nummularii, histriones nulli.

ΒΑΡΔΗΣΑΝΟΥ

κηνοῖς, καὶ ἐν τῇ ἀνωτέρᾳ Λιβύῃ, καὶ παρὰ Μαύροις, καὶ παρὰ τοῖς παρὰ τὸ στόμα τοῦ Ὠκεανοῦ Νομάσι, καὶ ἐν τῇ ἐξωτέρᾳ Γερμανίᾳ, καὶ ἐν τῇ ἀνωτέρᾳ Σαρματίᾳ, καὶ ἐν τῇ Σκυθίᾳ, καὶ ἐν πᾶσι τοῖς ἐξ Ἀρκτικῶν μερῶν τοῦ Πόντου ἔθνεσι, καὶ ὅλῃ τῇ Ἀλανίᾳ, καὶ Ἀλβανίᾳ, καὶ Ὠτηνῇ, καὶ Σαυνίᾳ, καὶ ἐν Χρυσῇ, οὐκ ἔστιν ἰδεῖν οὐ τραπεζίτην, οὐ πλάστην, οὐ ζωγράφον, οὐκ ἀρχιτέκτονα, οὐ γεωμέτρην, οὐ φώνασκον, οὐχ ὑποκριτὴν ποιημάτων, ἀλλ' ἐστέρηται ὁ τῆς τοῦ d
Ἑρμοῦ καὶ τῆς Ἀφροδίτης ἐνεργείας τρόπος ἐν ὅλῳ τῷ κύκλῳ
32 τούτῳ τῆς οἰκουμένης. Οἱ Μῆδοι πάντες τοῖς μετὰ σπουδῆς τρεφομένοις κυσὶ τοὺς νεκροὺς ἔτι ἐμπνέοντας παραβάλλουσι· καὶ οὐ πάντες σὺν τῇ μήνῃ τὸν Ἄρεα ἐφημερινῆς
33 γενέσεως ἐν Καρκίνῳ ὑπὸ γῆν ἔχουσιν. Ἰνδοὶ τοὺς νεκροὺς καίουσι, μεθ' ὧν συγκαίουσιν ἑκούσας τὰς γυναῖκας· καὶ οὐ δήπου πᾶσαι αἱ καιόμεναι ζῶσαι Ἰνδῶν γυναῖκες ἔχουσιν ὑπὸ γῆν ἐπὶ νυκτερινῆς γενέσεως σὺν Ἄρει τὸν ἥλιον ἐν Λέοντι
34 ὁρίοις Ἄρεος. Γερμανῶν οἱ πλεῖστοι ἀγχονιμαίῳ μόρῳ ἀποθνήσκουσι, καὶ οὐ πάντως τὸ πλῆθος τῶν Γερμανῶν τὴν p. 278
σελήνην καὶ τὴν ὥραν μεσολαβουμένας ὑπὸ Κρόνου καὶ Ἄρεος

c 3. παρὰ om. C. 4. παρὰ] περὶ D. om. F.G. 6. σκυθίᾳ] σκύθῃ C.F.G. 8. ἀλβανίᾳ καὶ ὠτηνῇ] ἀλβανία καὶ ἐν σαυνίᾳ B. ὠτείνῃ (G.) καὶ ἐν συννίᾳ C.F. καὶ ἐν Σαυνίᾳ D.G.I. d 3. τοῖς μετὰ] τοῖς om. F.G. 6. ἐφημερινῆς] ἴσ. ἐφ' ἡμ. Vigeri margo. 11. ἔχουσιν —ἄρεος om. B.
p. 278. πάντως] πάντα F.

cenos, ac tam in superiore Libya, quam apud Mauros, necnon apud Nomadas illos, qui Oceani ostium accolunt, simulque tam in exteriore Germania, quam in Sarmatia superiore, Scythia quoque, ac cæteris omnibus, quæ ad Septentrionales Ponti partes habitant gentibns; insuper tota passim Alania, Albania, Otene, Saunia, et aurea Chersoneso, neque nummularium ullum videas, neque fictorem, neque pictorem, neque architectum, neque geometram, neque phonascum, neque histrionem: sed am-
32 bitu illo terrarum universo, vis ista Mercurii Venerisque nulla est. Medi omnes, canibus quos ingenti alunt studio, adhuc spirantia moribundorum corpora objiciunt; neque tamen omnes lunam atque Martem in Cancro,
33 diurni ortus præsides sub terram habuere. Indi et mortuorum cadavera, et illorum uxores ultro sese offerentes comburunt: neque tamen, quotquot apud illos vivæ mulieres comburuntur, solem omnes, leonis in ædibus, Martisque finibus, sub terram cum eodem Marte conjunctum, ortu noc-
34 turno sortitæ snnt. Germani plerique, fractis laqueo cervicibus moriuntur: nec tamen Germanorum utique multitudo tanta, lunam horamque

ΒΑΡΔΗΣΑΝΟΥ

35 ἔχει. Παντὶ ἔθνει, καὶ πάσῃ ἡμέρᾳ, καὶ παντὶ τρόπῳ τῆς
γενέσεως γεννῶνται ἄνθρωποι· κρατεῖ δὲ ἐν ἑκάστῃ μοίρᾳ
τῶν ἀνθρώπων νόμος καὶ ἔθος διὰ τὸ αὐτεξούσιον τοῦ ἀνθρώ-
που· καὶ οὐκ ἀναγκάζει ἡ γένεσις τοὺς Σῆρας μὴ θέλοντας
φονεύειν, ἢ τοὺς Βραχμᾶνας κρεοφαγεῖν, ἢ τοὺς Πέρσας
ἀθεμίτως μὴ γαμεῖν, ἢ τοὺς Ἰνδοὺς μὴ καίεσθαι, ἢ τοὺς Μή- b
δους μὴ ἐσθίεσθαι ὑπὸ κυνῶν, ἢ τοὺς Πάρθους μὴ πολυγα-
μεῖν, ἢ τὰς ἐν τῇ Μεσοποταμίᾳ γυναῖκας μὴ σωφρονεῖν, ἢ
τοὺς Ἕλληνας μὴ γυμνάζεσθαι γυμνοῖς τοῖς σώμασιν, ἢ τοὺς
Ῥωμαίους μὴ κρατεῖν, ἢ τοὺς Γάλλους μὴ γαμεῖσθαι, ἢ τὰ
ἄλλα βάρβαρα ἔθνη ταῖς ὑπὸ τῶν Ἑλλήνων λεγομέναις
Μούσαις κοινωνεῖν· ἀλλ', ὡς προεῖπον, ἕκαστον ἔθνος καὶ
ἕκαστος τῶν ἀνθρώπων χρῆται τῇ ἑαυτοῦ ἐλευθερίᾳ ὡς βού-
λεται καὶ ὅτε βούλεται, καὶ δουλεύει τῇ γενέσει καὶ τῇ φύσει c
δι' ἣν περίκειται σάρκα, πῇ μὲν ὡς βούλεται, πῇ δὲ ὡς μὴ
36 βούλεται. Πανταχῇ γὰρ καὶ ἐν παντὶ ἔθνει εἰσὶ πλούσιοι
καὶ πένητες καὶ ἄρχοντες καὶ ἀρχόμενοι καὶ ἐρρωμένοι καὶ

a 4. τόπω] τρόπῳ C.F.G. Vigeri margo. 6. μοίρᾳ om. D. 9. μὴ θέλοντας φονεύειν nescio an om. D. 11. μὴ γαμ.] μὴ om. C.F.G. b. κυνῶν] τῶν κ. B. γυναικῶν C.F.G. pro κυνῶν. 4. γυμνοὺς] γυμνοῖς C. ed. Viger. 10. ἑαυτοῦ] αὐτοῦ B.C.D.F.G. c. δι' ἣν περίκ.—ὑπόκειντι om. B. 2. ὡς μὴ] μὴ om. C.F.G. Tum βουλεύεται F. et γὰρ om.

35 nascendi a Saturno Marteque interceptam habere potuit. Enimvero quotidie, omnique nascendi genere, apud omnes populos, nascuntur homines; vincunt ubique tamen hominum ipsorum leges, mores, liberumque voluntatis arbitrium. Itaque nec Seres ad homicidia, nec Brachmanes ad esum carnium, nec Persæ ad incestis nuptiis abstinendum, nec Indi ad rogum fugiendum, nec Medi ad canum dentes evitandos, nec Parthi ad uxorum multitudine abstinendum, nec Mesopotamiæ mulieres ad intemperantiam, nec Græci ad repudiandas nudorum corporum exercitationes, nec Romani ad imperium abjiciendum, nec Galli ad fugiendum muliebrium nuptiarum turpitudinem, nec reliquæ nationes barbaræ, ad Musarum (quas Græci vocant) consuetudinem, ortus sui conditione, invitæ nolentesque coguntur. Sed quemadmodum ante diximus, singulæ nationes, hominesque singuli, sua ipsi libertate, ubi quotiesque libuerit, utuntur: tametsi partim nascendi conditioni, partim naturæ quisque suæ, quæ suo quemque corpore induit, libens nonnunquam atque volens, interdum nolens et invitus obtemperet.
36 Quippe ubique terrarum, atque apud omnes omnino populos, divites

BAP-ΔΗΣΑ-ΝΟΥ

νοσοῦντες, ἕκαστος κατὰ τοὺς τῆς γενέσεως αὐτοῦ κλήρους.
[164] Ταῦτα, ὦ Βαρδησάνη, ἄκρως ἡμᾶς πέπεικε, φημὶ αὐτῷ. Οἱ δὲ ἀστρονόμοι φασὶ τὴν γῆν ταύτην μεμερίσθαι εἰς ἑπτὰ κλίματα, καὶ ἄρχειν ἑκάστου κλίματος ἕνα τῶν ἑπτὰ ἀστέρων· καὶ τοὺς διαφόρους νόμους μὴ τοὺς ἀνθρώπους τεθει- d
κέναι ἑαυτοῖς, ἀλλ' ἑκάστου ἄρχοντος πλεονάζειν τὸ θέλημα ἐν τῇ ἰδίᾳ χώρᾳ, ὃν νόμον νενομίκασιν οἱ κρατούμενοι.
37 Ἀπεκρίνατο· Οὐκ ἀληθὴς ἡ ἀπόκρισις αὕτη, ὦ Φίλιππε. Εἰ γὰρ καὶ διῄρηται ἡ οἰκουμένη εἰς μέρη ἑπτὰ, ἀλλ' οὖν γε μιᾷ μερίδι εὑρίσκομεν πολλὰς διαφορὰς νόμων. Οὐδὲ γὰρ ἑπτὰ νόμοι εἰσὶ κατὰ τοὺς ἑπτὰ ἀστέρας, οὐδὲ δώδεκα κατὰ τὰ ζῴδια, οὐδὲ τριακονταὲξ κατὰ τοὺς δεκανοὺς, ἀλλὰ μυρίοι.
38 Μνημονεύειν τε ὀφείλετε ὧν προεῖπον, ὅτι καὶ ἐν ἑνὶ κλίματι καὶ ἐν μιᾷ χώρᾳ τῶν Ἰνδῶν εἰσὶν ἀνθρωποφάγοι Ἰνδοὶ, καί εἰσιν οἱ ἐμψύχων ἀπεχόμενοι· καὶ ὅτι οἱ Μαγουσαῖοι οὐκ ἐν

c 7. ταῦτα] φημὶ αὐτῷ ἡμᾶς ταῦτα C.F.G. qui infra om. ἡμᾶς—φημὶ αὐτῷ. Βαρδισάνη] Vid. supra ad p. 273 A. 9. μεμερίσθαι] μερίζεσθαι C.F.G. d 3. νόμον] νόμοι C. οἱ νόμοι F.G. Tum νενομήκασιν D. 5. ἀπόκρισις] διάκρισις alicubi Wyttenbachius in indice ad Plutarchum. 6. ἡ] οἱ C. 8. οὐδὲ] οὐ F. 10. τὰ ζῴδια] τὰ om. E.F. 13. ἐν μιᾷ χώρᾳ] χώρᾳ μίᾳ C.F.G. ἐν om. D.F.
γου
15. μαγουσαῖοι] μαρσυσαῖοι C.F.G. Μαρυσαῖοι D. Supra ἀπεσχόμενοι F.

pariter et inopes, principes, principibusque subditi, valentes, morbisque vexati reperiuntur, prout ortus cujusque sors et ratio tulerit.

Hæc, inquam, o Bardesane, hujus mihi sententiæ veritatem abunde persuadent. At enim astronomi terram aiunt in septem climata divisam esse, quibus singulis singuli planetæ præsint: ita diversas illas ab hominibus positas et constitutas leges non fuisse, sed principis cujusque sideris voluntatem sua in regione dominari, quam loco legis habuerint, qui ejus imperio ac ditione teneantur.

37 Verum id, Philippe, falso respondetur. Nam ut demus orbem terrarum septem in partes distributum esse; magnum vel una tantum in parte legum discrimen agnoscimus. Nec enim uti planetæ septem, septem quoque leges; nec pro signorum zodiaci numero duodecim; nec, quot ipsi decanos ponunt, sex tantum et triginta, sed prorsus infinitæ nume-
38 rantur. Quippe, meminisse vos eorum quæ supra diximus, oportebit: eodem in climate, unoque Indiarum in tractu, Indos alios esse, qui carnibus vescantur humanis, alios qui ab omni rerum animatarum esu abstineant: Magusæos non in Perside tantum filias uxores ducere, sed etiam

Περσίδι μόνῃ τὰς θυγατέρας γαμοῦσιν, ἀλλὰ καὶ ἐν παντὶ p. 279
ἔθνει, ὅπου ἂν οἰκήσωσι, τοὺς τῶν προγόνων φυλάσσοντες ΒΑΡ-ΔΗΣΑ-ΝΟΥ
39 νόμους καὶ τῶν μυστηρίων αὐτῶν τὰς τελετάς. Ἀλλὰ καὶ
πολλὰ βάρβαρα ἔθνη κατελέξαμεν, τά τε ὄντα ἐν μεσημβρίᾳ,
καὶ δύσει, καὶ ἀνατολῇ καὶ ἄρκτῳ, τουτέστιν ἐν διαφόροις
40 κλίμασι, μὴ μετέχοντα Ἑρμαϊκῆς ἐπιστήμης. Πόσοι, νομί-
ζετε, σοφοὶ ἄνδρες παρήγαγον τοὺς κακῶς κειμένους νόμους;
Πόσοι δὲ νόμοι ὑπὸ τῆς ἀπορίας κατελύθησαν; Πόσοι βα- b
σιλεῖς κρατήσαντες ἐθνῶν παρήγαγον τοὺς πρὸ αὐτῶν νόμους,
καὶ ἔθεντο τοὺς ἰδίους; Καὶ οὐδεὶς τῶν ἀστέρων ἀπώλεσε τὸ
41 ἴδιον κλίμα. Χθὲς οἱ Ῥωμαῖοι τῆς Ἀραβίας κρατήσαντες
τοὺς τῶν βαρβάρων νόμους ἤλλαξαν· ἕπεται γὰρ τὸ αὐ-
τεξούσιον τῷ αὐτεξουσίῳ. Τὸ δὲ δυνάμενον πεῖσαι καὶ τοὺς
42 ἀπίστους ἐκθήσομαι ὑμῖν. Ἰουδαῖοι πάντες οἱ διὰ Μωσέως
δεξάμενοι νόμον τοὺς γεννωμένους ἄρρενας παῖδας ἐν τῇ ὀγδόῃ
ἡμέρᾳ αἱμάσσουσι περιτέμνοντες, οὐκ ἀστέρος παρουσίαν c
ἀναμένοντες, οὐ κλίματος ἐξουσίαν ἐντρεπόμενοι, οὐχ ὑπὸ
νόμου ἀλλοτρίας χώρας ἀγόμενοι· ἀλλ' εἴτε ἐν Συρίᾳ τυγ-
χάνουσιν, εἴτε ἐν Γαλλίᾳ, εἴτε ἐν Ἰταλίᾳ, εἴτε ἐν Ἑλλάδι, ἢ

p. 279. μόνῃ] μόνον C.D.F.G. 2. ἔθνει] ἔθει E. ὅπου ἂν οἰκήσωσι] ὅπου οἰκήσουσι τὰς τῶν μυστ. αὐτῶν τελετὰς φυλάσσοντες C.F.G. et ni fallor D. 9. σοφοὶ ἄνδρες] ἄνδρες σοφοὶ C.F.G. b 7. τὸ δὲ] δὲ om. F. c 3. ἐκτρεπόμενοι] ἐντρεπόμενοι G.I. Montac. et sic ms. apud Grabium. 4. ἀγόμενοι] ἑπόμενοι D. cum γρ. ἀγόμενοι in marg. 5. Γαλλίᾳ] Γαλατίᾳ E.I. γαλίαις F.G. v. p. 275 d. 6. ἢ ἐν παρθίᾳ om. C.D.F.G.

ubicunque degant, acceptas a majoribus leges, eosdemque mysteriorum
39 ritus ac ceremonias retinentes. Multas quoque recensuimus barbaras
nationes, ad meridiem, occasum, orientem, septentrionem incolentes, hoc
est in varia climata dissipatas, apud quas nullum extet Mercurianæ artis
40 doctrinæque vestigium. Jam vero, quam multos extitisse viros sapientes
putatis, qui leges perperam constitutas immutarint? Imo quam multæ
leges, vel consilii, vel rerum inopia conciderunt? quam multi reges, debel-
latis victisque nationibus novas ipsi propriasque leges, antiquatis prioribus,
41 imposuerunt? Neque tamen suo climate planetarum ullus excidit. Ro-
mani subacta nudiustertius Arabia, barbarorum leges sustulerunt. Impe-
rium enim, rerum potestas omnium licentiaque consequitur. Sed juvat
42 illud afferre, quod vel incredulis fidem faciat. Judæi omnes, qui a Mose
legem acceperunt, infantes masculos ante octavum ab ortu diem circumci-
sione cruentant. Qua quidem in re nec sideris præsentiam ullius expec-
tant, nec certi climatis vim ac jura declinant, nec alterius regionis legibus
agi se patiuntur. Itaque seu in Syria, seu in Gallia, seu in Italia, seu in

BAP-ΔΗΣΑ-ΝΟΥ

43 ἐν Παρθίᾳ, ἢ ὅπου ἂν ὦσι, τοῦτο ποιοῦσιν. Ὅπερ οὐκ ἔστι
κατὰ γένεσιν, οὐ γὰρ δύνανται πάντες Ἰουδαῖοι μίαν γενέσιν
ἔχειν. Ἀλλὰ καὶ δι' ἡμερῶν ἑπτὰ πάντες ὅπου ἂν ὦσιν ἀρ-
γοῦσιν ἐκ παντὸς ἔργου, καὶ οὔτε ὁδεύουσιν, οὔτε πυρὶ χρῶν-
ται· οὔτε ἀναγκάζει ἡ γένεσις Ἰουδαῖον οὐ κτίσαι οἶκον, οὐ
καταλῦσαι, οὐκ ἐργάσασθαι, οὐ πωλῆσαι, οὐκ ἀγοράσαι ταῖς d
ἡμέραις τοῦ σαββάτου, καί τοι ἐν τῇ αὐτῇ ἡμέρᾳ γεννώντων
Ἰουδαίων καὶ γεννωμένων, καὶ νοσούντων, καὶ ἀποθνησκόντων.
44 Ταῦτα γὰρ οὐκέτι ἐστὶ τοῦ αὐτεξουσίου. Ἐν τῇ Συρίᾳ,
καὶ ἐν τῇ Ὀσροηνῇ, ἀπεκόπτοντο πολλοὶ τῇ Ῥέᾳ, καὶ ἐν
τούτῳ μιᾷ ῥοπῇ ὁ βασιλεὺς Ἄβγαρος ἐκέλευσε τῶν ἀπο-
κοπτομένων τὰ αἰδοῖα ἀποκόπτεσθαι καὶ τὰς χεῖρας, καὶ ἐκ
45 τότε οὐδεὶς ἀπεκόψατο ἐν τῇ Ὀσροηνῇ. Τί δὲ ἐροῦμεν
περὶ τῆς τῶν Χριστιανῶν αἱρέσεως, ἧς ἡμεῖς οἱ δοξασταὶ
πολλοὶ ὄντες καὶ ἐν διαφόροις ἀνέστημεν κλίμασιν, ἐν παντὶ
ἔθνει καὶ κλίματι, οἵτινες πολλοὶ ὄντες ἑνὶ ὀνόματι κεκλή-
46 μεθα; Καὶ οὔτε οἱ ἐν Παρθίᾳ Χριστιανοὶ πολυγαμοῦσι, p. 280

c 7. ἢ ὅπου] ἢ om. I. 9. Ἰουδαῖοι] οἱ Ἰουδ. C.D.F.G. 11. καὶ οὔτε] καὶ om. C. 13. οἶκον om. C.F.G. Supra Ἰουδαίων D. d 2. τῇ αὐτῇ ἡμέρᾳ γεννώντων] τῇ ἡμέρᾳ τῇ αὐτῇ πάντων C.F.G. τῇ ἡμέρᾳ τῇ αὐτῇ D. 6. ἐν om. D. ἄβγαρος] αὔγαρος C.D.F.G.S.V. 8. ἔκτοτε] τότε C.D.F.G. 9. ἐσροηνῇ D. 12. οἵ τινες] οἳ C.D.F.G. 13. κεκλήμεθα] καλούμεθα E.I.
p. 280. ἐν παρθ.] ἐν om. C.G.

Græcia, seu in Parthia, verbo ubicunque versentur, morem eundem reti-
43 nent. Id autem nascendi conditionem profecto non sequitur, cum una
Judæi passim omnes eademque teneri non possint. Iidem, ubicunque
degant, septimo quoque die ab omni prorsus opere vacant omnes; adeo-
que ne iter quidem suscipiunt, aut igni utuntur. Ita Judæus nemo sabbati
diebus ad domum vel ædificandam, vel demoliendam, ad laborandum, ven-
dendum, emendum, ortus necessitate adigitur: cum tamen eo ipso die
passim generent atque nascantur, ægrotent passim moriantur que Judæi:
44 quod ista nequaquam ex libertate pendeant. In Syria quondam et Osroene
plerosque Opis in honorem abscindi moris erat: verum cum repente jus-
sisset rex Abgarus, ut quibus abscissa verenda essent, iis etiam manus
45 abscinderentur; nemo se deinceps tota Osroene abscidit. Quid porro de
Christianorum instituto dicemus, cujus nos sectatores et plurimi et di-
versis in terræ partibus extitimus, qui tamen in omni cum gente tum
46 climate uno omnes eodemque nomine appellati sumus? Enimvero nec in

ΒΑΡΔΗΣΑΝΟΥ

Πάρθοι ὑπάρχοντες, οὔθ' οἱ ἐν Μηδίᾳ κυσὶ παραβάλλουσι τοὺς νεκροὺς, οὐχ οἱ ἐν Περσίδι γαμοῦσι τὰς θυγατέρας αὐτῶν, Πέρσαι ὄντες, οὐ παρὰ Βάκτροις καὶ Γάλλοις φθείρουσι τοὺς γάμους, οὐχ οἱ ἐν Αἰγύπτῳ θρησκεύουσι τὸν Ἆπιν ἢ τὸν κύνα ἢ τὸν τράγον ἢ αἴλουρον· ἀλλ' ὅπου εἰσὶν, οὔτε ὑπὸ τῶν κακῶς κειμένων νόμων καὶ ἐθῶν νικῶνται, οὔθ' ἡ ὑπὸ τῶν ἀρχῶν πρυτανευομένη γένεσις αὐτοὺς ἀναγκά- b
[165] ζει τοῖς ἀπειρημένοις κακοῖς ὑπὸ τοῦ διδασκάλου αὐτῶν χρῆσθαι, νόσῳ δὲ καὶ πενίᾳ καὶ πάθεσι καὶ ταῖς νομιζομέ-
47 ναις ἀτιμίαις ὑπόκεινται. Ὥσπερ γὰρ ὁ ἐλεύθερος ἡμῶν ἄνθρωπος δουλεύειν οὐκ ἀναγκάζεται, κἂν ἀναγκασθῇ ἀνθίσταται τοῖς ἀναγκάζουσιν· οὕτως οὐδὲ ὁ φαινόμενος ἡμῶν δοῦλος
48 ἄνθρωπος τῆς ὑποταγῆς ἐκφεύγειν ῥᾳδίως δύναται. Εἰ γὰρ πάντα ἐδυνάμεθα, ἡμεῖς ἂν ἦμεν τὸ πᾶν, ὥστε εἰ μηδὲν ἐδυνάμεθα, ἄλλων ἦμεν, ὡς προεῖπον, ὄργανα, καὶ οὐχ ἑαυτῶν. c
Θεοῦ δ' ἐπινεύσαντος πάντα δυνατὰ καὶ ἀνεμπόδιστα· τῇ γὰρ ἐκείνου βουλήσει οὐδὲν ἀντιστῆναι δύναται. Καὶ γὰρ

a 2. ὑπάρχοντες] τυγχάνοντες C.D.F.G.S.V. 3. παραβάλλουσι] προτιθέασι C.D.F.G. 4. περσίδι] περσία C.F.G. i. e. ΠΕΡΣΙΑΙ. 5. γάλλοις] γήλοις C.D.F.G. Vid. p. 275 D. 6. αἰγύπτῳ] αἰγυπτίᾳ C.F.G. 9. ἐθῶν] ἐθνῶν C.F.G. 10. οὐχ] οὔτε C.F.G. οὔθ' D. b 5. οὐκ ἀναγκ.] οὐ καταναγ. C. 8. δοῦλος om. C. Mox τὴν ὑποταγὴν ῥᾳδίως ἐκφεύγειν I. 10. ἦμεν] ἡμῶν B. qui om. ὡς προεῖπον—ἑαυτῶν. ὥστε] ὡς I. 11. καὶ οὐχ] καὶ om. C.F.G.

Christianos, ubicunque degant, suis ritibus vivere.

Parthia Christiani, Parthi licet, pluribus utuntur uxoribus, nec in Media defunctorum corpora canibus objiciunt, nec in Perside, Persæ licet, filias uxores ducunt: nec apud Bactros aut Gallos nuptiarum honestatem et jura contaminant, nec in Ægypto Apin, canem, hircum, felemve colunt. Ita, ubicunque degant, nec legum morumque sceleratorum improbitate vincuntur, nec ad flagitium ullum, præceptoris sui legibus interdictum, nascendi conditionis ex principum astrorum imperio nutuque descriptæ vi adiguntur. Iidem tamen, morbis, egestati, calamitatibus, et contumeliis,
47 ut vulgo appellantur, obnoxii sunt. Quemadmodum enim homo ille noster, quem liberum esse volumus, aut in servitutem non cogitur, aut si urgetur interdum, vim afferentibus resistit: ita noster hic homo, qui sub aspectum cadit, servus ipse cum sit, obsequendi necessitatem haud facile
48 declinare potest. Quippe, si nostræ cuncta potestatis essent, nihil non essemus; quemadmodum si positum ac situm in nobis esset nihil, aliorum, ut ante dixi, administri essemus, non juris nostri. At annuente Deo, fieri cuncta possunt, impediri nihil. Ejus enim voluntati res obsistere nulla

ΒΑΡ-ΔΗΣΑ-ΝΟΥ

τὰ δοκοῦντα ἀνθίστασθαι, αὐτοῦ χρηστοῦ ὄντος, καὶ συγχωροῦντος ἑκάστῃ φύσει ἔχειν τὴν ἰδιότητα καὶ τὸ αὐτεξούσιον τοῦ θελήματος, ἀνθίσταται.

49 Τοσαῦτα καὶ ὁ Σύρος. Ἑνὸς δὲ ἔτι μνησθεὶς περιγράψω τὸν λόγον. Ἐπειδὴ γὰρ τὰ μὲν ἀπὸ τῶν ἔξωθεν γραμμάτων αὐτάρκως παρατέθειται, λείπει δὲ τὰ ἀπὸ τῶν ἱερῶν γραμμάτων, ὧν δὴ καὶ μάλιστα ἡμῖν δεῖ d εἰς τὴν τῆς Εὐαγγελικῆς Ἀποδείξεως Προπαρασκευήν, εὖ ἂν ἔχοι καὶ τάδε ἐποπτεῦσαι, ὡς ἂν κατὰ μηδὲν ὁ λόγος ἐλλείποι τῶν εἰς τὸ πρόβλημα θεωρουμένων.

50 Ὅθεν δὴ καὶ τάδε σοι σαφῆ καταστήσω. Οὐ μὴν οἷός τ' ἂν εἴης γυμνῶν ἐπαΐειν τῶν ἱερῶν λογίων τὰ πολλὰ συνεσκιασμένως προενηνεγμένων. Διόπερ ἐγώ σοι τὸν ἑρμηνέα τούτων παραστήσομαι· σὺ δ', εἰ μὴ τοῖς κρείττοσι βασκαίνεις, οἶσθά που τὸν ἄνδρα, Χριστοῦ μὲν θιάσοις εἰσέτι δεῦρο χορεύοντα δι' ὧν ἀπολέλοιπε πό-

c 5. τὸ αὐτ.] τὸ om. F. 10. γραμμάτων om. B.D.F.G.I. et καὶ post δή B.
d 2. προπαρασκ.] παρασκ. C.F.G. 3. ἐλλείποι] ἐλλίποι B. ἐλλείποιτο εἰς D. 4. καὶ] ὅθεν καὶ B. 8. τοῦτον] τούτων C.I. Vigeri marg. 9. βασκαίνειν] βασκαίνεις B.C.F.G. Vigeri marg. βασκαίνῃς I.

potest, cum ea quæ nonnunquam videntur obsistere, id eatenus modo faciant, quatenus suam ipse naturæ cuilibet prærogativam, integramque voluntatis libertatem pro sua benignitate concessit.

49 Atque hactenus Syrus ille. Ego vero, postquam unius adhuc testimonium produxero, huic disputationi finem imponam. Quandoquidem enim abunde profanis adhuc e literis hausimus, solaque divinarum auctoritas superest, quæ certe quidem ad hanc præsertim Evangelicæ Demonstrationis Præparationem desideratur: æquum sane opportunumque fuerit, in eas quoque diligenter intueri, nihil ut omnino desideretur, qnod ad susceptæ quæstionis disceptationem pertineat. Itaque ex illis etiam hujus tibi veritatis argumenta pro-
50 ducere statui. Sed quoniam sacrorum oraculorum, si nude ponerentur, sensum mentemque capere non posses, quod fere umbris quibusdam involuta proferantur, eorum interpretem adducam in medium. Tu vero, nisi forte sublimioribus illis mentibus invides, hominem probe nosti, qui ut hic adhuc inter Christi cœtus, operum, quæ sui tanquam vicaria reliquit, usu et tractatione versatur, ita nec homini-

νων, οὐ μὴν οὐδὲ τοῖς ἐκτὸς ἀγνῶτα δι' ἣν ἐπιδέδεικται
καὶ πρὸς τὰ τῶνδε μαθήματα φιλοτιμίαν. Σκέψαι δ'
οὖν ὅσα τε καὶ ὁποῖα ἐν τοῖς εἰς τὴν Γένεσιν Ἐξηγητι-
κοῖς ὁ θαυμάσιος Ὠριγένης περὶ τῆς προκειμένης ὑπο- p. 281
θέσεως διείληφε, καὶ ὅπως ἐφώδευσε τὸν περὶ εἱμαρμέ-
νης λόγον.

ΩΡΙΓΕΝΟΥΣ

11 Περὶ τοῦ εἰς σημεῖα γεγονέναι τοὺς φωστῆρας, οὐκ ἄλ-
λους ἡλίου καὶ σελήνης καὶ τῶν ἄστρων τυγχάνοντας, τῶν b
σφόδρα ἀναγκαιοτάτων ἐστὶ διαλαβεῖν· οὐ μόνον ἐθνῶν τῶν
τῆς Χριστοῦ πίστεως ἀλλοτρίων σφαλλομένων εἰς τὸν περὶ
τῆς εἱμαρμένης τόπον, τῇ τῶν καλουμένων πλανωμένων ἀστέ-
ρων ἐπιπλοκῇ πρὸς τοὺς ἐν τῷ ζῳδιακῷ πάντων αὐτοῖς νομι-
ζομένων συμβαίνειν τῶν ἐπὶ τῆς γῆς, καὶ τῶν περὶ ἕκαστον
ἄνθρωπον, τάχα δὲ καὶ ἀλόγων ζῴων· ἀλλὰ γὰρ καὶ πολ-
λῶν τῶν πεπιστευκέναι ὑπολαμβανομένων περισπωμένων μὴ
ἄρα ἠνάγκασται τὰ τῶν ἀνθρώπων πράγματα, καὶ ἀμήχανον c
ἄλλως γενέσθαι ἢ ὡς οἱ ἀστέρες κατὰ τοὺς διαφόρους σχη-

d 14. σκέψαι] σκέψε C.G. Tum δ' om. B.D.F.
p. 281. b 2. ἐθνῶν] πολλῶν ἐθνῶν Orig. 6. ἐπιλογῇ] ἐπιπλοκῇ mavult Vigerus, et sic ed. Delarue post Tarinum Philocal. ed. Paris. p. 331. cum E.I. καλουμένων om. Orig. 7. τῶν ἐπὶ] τῶν om. Orig. et mox τῆς. 8. ἀνθρώπων] ἄνθρωπον B.C.D.E.I. ἀνθρώπων Orig. 9. ἀλλὰ γὰρ—μακαριότητος om. B. 11. ἀνθρώπων] τῶν ἀνθ. F. Orig. c 2. κατὰ τοὺς] τοὺς om. C.D.F.G.

bus a nostris etiam ritibus alienis, propter summam qua in eorum quoque disciplinas incubuit contentionem, ignotus est. Vide igitur, quemadmodum quibusque verbis Origenes vir ille singularis hac tota de re suis in Genesim Commentariis statuat, istamque de fato disputationem qua ratione pertractet.

Orig. Philocal. Tarin. p. 330. T. II. p. 3. ed. Delarue.

11 Quod hic habetur, inquit, luminaria, quæ sane alia non sunt, quam sol, luna, cæteraque sidera, tanquam signa quædam esse constituta, id vero ut diligenter explicetur, in primis necessarium est. Nec enim gentes illæ modo, quæ a Christi fide alienæ sunt, ad eum qui de fato instituitur locum offendunt, quod quæ in terris eveniunt omnia, quæque singulos ad homines, imo quæ ad brutas quoque fortassis animantes pertinent, ea stellarum, quas errantes vocant, cum iis quæ ad zodiacum adhærescunt, sideribus complexione quadam et comparatione fieri arbitrentur: sed eorum etiam permulti, qui Christianæ fidei sectatores ac professores habentur, anguntur animis, ne humanæ res adeo necessitate teneantur, ut aliter,

ΩΡΙΓΕΝΟΥΣ

2 ματισμοὺς ἐπιτελοῦσιν. Ἕπεται δὲ τοῖς ταῦτα δογματί-
ζουσιν ἐξ ὅλων τὸ ἐφ' ἡμῖν ἀναιρεῖν· διόπερ καὶ ἔπαινον καὶ
3 ψόγον, καὶ πράξεις ἀποδεκτὰς πάλιν τε αὖ ψεκτάς. Ἅπερ
εἰ οὕτως ἔχει, τὰ τῆς κεκηρυγμένης τοῦ Θεοῦ κρίσεως οἴχεται,
καὶ ἀπειλαὶ πρὸς τοὺς ἡμαρτηκότας, ὡς κολασθησομένους·
τιμαί τε αὖ πρὸς τοὺς τοῖς κρείττοσιν ἑαυτοὺς ἐπιδεδωκότας,
καὶ μακαριότητες· οὐδὲν γὰρ ἔτι τούτων εὐλόγως ἔσται γε- d
4 νόμενον. Καὶ εἰ τὰ ἀκόλουθά τις ἑαυτῷ ἐφ' οἷς δογμα-
τίζει βλέποι, καὶ ἡ πίστις ἔσται ματαία, ἥτε Χριστοῦ ἐπι-
δημία οὐδὲν ἀνύουσα, καὶ πᾶσα ἡ διὰ νόμου καὶ προφητῶν
οἰκονομία, κάματοί τε ἀποστόλων ὑπὲρ τοῦ συστῆσαι τὰς
5 διὰ Χριστοῦ τοῦ Θεοῦ ἐκκλησίας. Εἰ μὴ ἄρα καὶ Χριστὸς,
κατὰ τοὺς οὕτω τολμῶντας ὑπὸ τὴν ἀνάγκην τῆς τῶν ἄστρων
[166] κινήσεως τῷ γένεσιν ἀνειληφέναι γενόμενος, πάντα πεποιήκοι
τε καὶ πάθοι, οὐ τοῦ Θεοῦ καὶ πατρὸς τῶν ὅλων αὐτῷ τὰς

c 3. ἐπιτέλλουσιν] ἐπιτελοῦσιν C.F.G. Orig. 6. πάλιν τε] τε om. C.D.F.G. et mox om. ἅπερ—ἔχει C. 10. τοῖς—ἑαυτοὺς—μακαριότητος] τοῖς om. C.F. qui ἑαυτοῖς—μακαριότητες. Orig. μακαριότητες, et sic Vigeri marg. μακαριότητις G. d. εὐλόγως om. C.F.G. Tum γινόμενον I. 2. δογματίζει—ἐχαρίσατο om. B. 3. ματαία] μάταιος Orig. 6. ὑπὲρ] ὑπὸ F.G. 7. τοῦ θεοῦ] τοῦ om. C.F.I. τὰς τοῦ θεοῦ διὰ Χριστοῦ Orig. καὶ χριστὸς C.D.F.G. post τολμῶντας. 9. τὴν γένεσιν] τῷ γένεσιν E.I. Orig. 11. θεοῦ καὶ πατρὸς] χριστοῦ καὶ πρὸς C.F.G. Mox αὐτοῦ τῶν ὅλων Orig. ed. sed mss. cum Eus. consentiunt.

2 quam varius astrorum situs et collocatio jubeat, fieri non possint. Qua
quidem ex opinione consequens illud est, ut funditus voluntatis nostræ vis
facultasque tollatur, simulque proinde laus omnis ac vituperatio, rerumque
3 vel approbatione dignarum vel reprehensione, discrimen. Hæc porro
sublata si semel erunt, evanescat pariter necesse est, quicquid de judicii
divini æquitate jactatur, concidant vel intentatæ sceleratis pœnarum ac
suppliciorum minæ, vel promissa melioris sanctiorisque vitæ professoribus
gloriæ ac felicitatis præmia; nihil enim istorum deinceps cum ratione fiet.
4 Imo, si quis cætera, quæ ex ejusdem sententiæ vi efficiuntur, spectare
volet; non inanis profecto solum, ac supervacanea fides nostra futura sit,
sed ne ipse quidem adventus Christi, totaque illa seu legis, seu propheta-
rum œconomia, et apostolorum in excitandis constabiliendisque Christi
5 Dei ecclesiis, suscepta contentio, vel hilum profecerit. Nisi tamen, ipsius
etiam Christi non modo nascendi rationem, sed quicquid præterea vel
egerit, vel tulerit, eandem in conversionis astrorum necessitatem projecta
hominum istorum temeritas illigabit: perinde videlicet, quasi is ab side-
ribus vim illam rerum admirabilium, non a Deo, cunctorumque parente

παραδόξους δυνάμεις δωρησαμένου, ἀλλὰ τῶν ἀστέρων. Οἷς ΩΡΙΓΕΝΟΥΣ
ἀθέοις καὶ ἀσεβέσι τυγχάνουσι λόγοις ἀκολουθεῖ, καὶ τὸ
τοὺς πιστεύοντας ὑπὸ τῶν ἀστέρων ἀγομένους πιστεύειν εἰς p. 282
6 Θεὸν λέγεσθαι. Πυθοίμεθα δ' ἂν αὐτῶν, τί ὁ Θεὸς βουλό-
μενος τοιοῦτον ἐποίει κόσμον, ἵν' οἱ μὲν ἐν αὐτῷ ἄνδρες ὄντες
τὰ γυναικῶν πάσχωσιν, οὐδαμῶς ἑαυτοῖς αἴτιοι τῆς ἀσελ-
γείας γεγενημένοι, ἕτεροι δὲ ἀγρίων ζώων κατάστασιν εἰλη-
φότες, τῷ τὴν φορὰν τοῦ παντὸς τοιούτους αὐτοὺς πεποιηκέ-
ναι, διὰ τὸ τὸν Θεὸν οὕτω κεκοσμηκέναι τὸ πᾶν, ἐπιδιδόασιν
αὐτοὺς ὠμοτάτοις καὶ σφόδρα ἀπανθρώποις πράγμασιν, ἀν- b
7 δροφονίαις καὶ πειρατείαις; Καὶ τί δεῖ λέγειν ἡμᾶς περὶ τῶν
συμβαινόντων ἐν ἀνθρώποις καὶ ἁμαρτανομένων ὑπ' αὐτῶν,
μυρίων ὅσων τυγχανόντων, οὕς τινας οἱ τῶν γενναίων προϊ-
στάμενοι τούτων λόγων ἀπολύοντες παντὸς ἐγκλήματος, τῷ
Θεῷ προσγράφουσι πάντων τῶν κακῶς καὶ ψεκτῶς πραττο-
μένων τὴν αἰτίαν;
8 Ἐὰν δέ τινες αὐτῶν, ὡς ἀπολογούμενοι περὶ Θεοῦ, ἕτερον
μὲν εἶναι λέγωσι τὸν ἀγαθὸν, οὐδενὸς τούτων ἔχοντα τὴν
ἀρχὴν, τῷ δὲ δημιουργῷ πάντων τὰ τοιαῦτα προσάπτωσι· c

p. 282. 3. πυθοίμεθα] πειθοιμ. C.F.G. 8. τῷ τὴν] τὸ τὴν C.D. Orig. ἀνειληφότες item Orig. 10. οὕτω om. I. 11. αὐτοὺς] ἑαυτοὺς D.F.G. Orig. b. ἀνδροφ.] καὶ ἀνδροφ. E. 2. πειρατίαις F.G. 7. προγράφουσι I. 8. ψευκτῶς] ψεκτῶς C. Vigeri marg. Orig. Supra κακῶς D.E.F.I. non κακῶν. 9. τὴν αἰτίαν] τὰς αἰτίας Orig. τινες] τινας C. 10. εἶναι λέγωσι] λέγωσιν εἶναι C.F.G. λέγουσι E.I. 12. πάντων τὰ] πάντα I. παντα τὰ Orig.

acceperit. Cujus ex orationis impietate illud sequitur, ut quotquot divinam
6 fidem amplectuntur, ad illam siderum omnes impulsione rapiantur. Ego
vero quæsierim ex iis perlibenter, quid tandem sequutus hac in mundi
molitione Deus fuerit, ut ex ea virorum, qui in eo degunt multitudine, alii
nulla sua culpa muliebris veneris turpitudinem paterentur; alii ferino
plane ritu, quod tales ipsos efficeret universi hunc in modum a Deo con-
stituti impetus atque conversio, teterrimis sese dirissimisque sceleribus, ut
7 homicidiis ac piraticis prædationibus dederent? Quanquam quid attinet
hanc a nobis, de rebus iis, quæ vel hominibus eveniunt, vel ab iisdem
peccantur, quæque prorsus infinitæ sunt, disputationem institui, quos
præsertim dogmatis istius assertores egregii, dum ab omni culpa liberant,
malorum quæque scelerate fiunt omnium Deo caussam assignant?
8 Quorum si nonnulli, ut Dei caussam tueri videantur, bonum quendam
alterum esse dicent, eumque rerum istarum fontem esse ac principium
negabunt, quod uni duntaxat rerum creatarum molitori similia tribuenda

ΩΡΙΓΕΝΟΥΣ

πρῶτον μὲν οὐδ' ὡς (ὃ) βούλονται δυνήσονται ἀποδεικνύναι,
ὅτι ἐστὶ δίκαιος. Πῶς γὰρ ὁ τοσούτων κακῶν κατ' αὐτοὺς
9 πατὴρ εὐλόγως χρηματίζοι δίκαιος; Δεύτερον δὲ, περὶ αὐτῶν
τί ποτε φήσουσιν, ἐξεταστέον; Πότερον ὑπόκεινται τῇ φορᾷ
τῶν ἀστέρων, ἢ ἠλευθέρωνται, καὶ ἐν τῷ βίῳ τυγχάνοντες
οὐδὲν ἐνεργούμενον εἰς ἑαυτοὺς ἔχουσιν ἐκεῖθεν; Εἰ μὲν γὰρ
φήσουσιν ὑποκεῖσθαι τοῖς ἄστροις, δῆλον ὅτι τὰ ἄστρα τὸ
νοῆσαι αὐτοῖς τοῦτο ἐχαρίσατο, καὶ ὁ δημιουργὸς ὑποβεβλη- d
κὼς ἔσται διὰ τῆς τοῦ παντὸς κινήσεως τὸν λόγον τὸν περὶ
10 τοῦ ἀνωτέρω ἀναπεπλασμένου θεοῦ, ὅπερ οὐ βούλονται. Εἰ
δὲ ἀποκρινοῦνται, ὅτι ἔξω τῶν νόμων τυγχάνουσι τοῦ δημι-
ουργοῦ τῶν κατὰ τοὺς ἀστέρας, ἵνα μὴ ἀπόφασις ᾖ τὸ λεγό-
μενον ὑπ' αὐτῶν ἀναπόδεικτος, πειραθήτωσαν ἡμᾶς προσά-
γειν ἀναγκαστικώτερον, διαφορὰν παριστάντες νοῦ τινὸς
ὑποκειμένου γενέσει καὶ εἱμαρμένῃ, καὶ ἑτέρου ἀπὸ τούτων
ἐλευθέρου. Δῆλον γάρ ἐστι τοὺς τοιούτους, ὅτι λόγον
11 ἀπαιτηθέντες διδόναι αὐτοῖς, οὐδαμῶς δυνήσονται. Πρὸς δὲ

c. ὡς] ὣς ὃ Orig. 2. δυνήσονται] δεήσονται C.F.G. 4. χρηματίζοι] χρηματίζει D. δογματίζοιτο Orig. 5. δὲ περὶ] δὲ om. C.F.G. et mox om. ποτε, et sic D. qui supra ἑαυτῶν, et infra ἠλευθέρονται. 6. φορᾷ] φθορᾷ I. 10. ἄστρα τοῦ νοῆσαι F.G. τὸ νοῆσαι] νοηθῆναι Orig. d 2. ἀνωτέρω] ἀνωτέρου C. ἀνωτάτου S.V. Mox θεοῦ ni fallor om. D. 4. τῶν νόμων τυγχ.] τυγχ. τῶν ν. B.C.F.G. τοῦ νόμου I. 11. ἐλευθέρου] ἐλευθερίου C.G. ἐλευτερίου F. δῆλον γὰρ—ἐσφαλμένως om. B. δῆλον γὰρ ὅτι τοῖς εἰδόσι τοὺς τοιούτους, ὅτι λόγον ἀπαιτηθέντες διδόναι αὐτὸν οὐδαμῶς δυνήσονται Orig. 12. ἀπαιτηθέντες] ἀπαιτηθέντα D. et mox αὐτῶν. οὐδαμῶς om. E.I. mox εὐχάς I.

velint; primum, ne sic quidem, quod ipsi volunt, justus ut ille sit efficient.
Quomodo enim quem tot malorum parentem fatentur ipsi quoque, justum
9 eundem esse jure meritoque defendant? Deinde quid sentiant ipsi de se,
quærendum ex illis est. Utrum sese astrorum conversione obligatos esse,
an liberos, atque ejusmodi, apud quos hac in vita, nihil omnino motus ille
possit? Obligatos si fatebuntur, hunc illis profecto astra quoque sensum
impresserint: adeoque novam de superiore suo fictitioque deo mentem,
hujus conversione mundi, suus ille, quod ipsi negant, architectus injecerit.
10 Sin autem ejus se minime, quas astra volvunt, legibus teneri responde-
bunt, id ne ab iis temere negari videatur, majori utique vi suffragium illi
nostrum extorquere debent, certo discrimine duo inter mentium genera
constituto, quarum aliæ ortus fatique necessitatem subire cogantur, aliæ
11 defugiant. Hac enim se quæstione profecto nunquam explicabunt. Ad
hæc preces ac vota nuncupare, supervacaneum plane sit. Nam si hæc

τοῖς εἰρημένοις, καὶ εὐχαὶ παρέλκουσι μάτην παραλαμβανό- ΩΡΙΓΕΝΟΥΣ
μεναι. Εἰ γὰρ κατηνάγκασται τάδε τινὰ γενέσθαι, καὶ οἱ
ἀστέρες ποιοῦσιν, οὐδὲν δὲ παρὰ τὴν τούτων πρὸς ἀλλήλους p. 283
ἐπιπλοκὴν δύναται γενέσθαι, Θεὸν ἀλογίστως ἀξιοῦμεν τάδε
12 τινὰ ἡμῖν δωρήσασθαι. Καὶ τί ἐπὶ πλεῖον μηκύνειν τὸν λό-
γον δεῖ, παριστάντα τὸ ἀσεβὲς τοῦ κατημαξευμένου ἀβασα-
νίστως παρὰ τοῖς πολλοῖς περὶ εἱμαρμένης τόπου; Αὐτάρκη
γὰρ εἰς ὑπογραφὴν καὶ τὰ εἰρημένα.
13 Πόθεν δὲ ἐξετάζοντες τὸ Ἔστωσαν εἰς σημεῖα οἱ φωστῆρες
ἐπὶ ταῦτα ἐληλύθαμεν, ἑαυτοὺς ὑπομνήσωμεν. Οἱ μανθά-
νοντες περί τινων ἀληθῆ, ἤτοι αὐτόπται τῶν πραγμάτων b
γενόμενοι, ἀποφαίνονται τάδε τινὰ ὑγιῶς, τὸ πάθος καὶ τὴν
ἐνέργειαν τῶν πεπονθότων ἢ ἐνεργησάντων θεασάμενοι, ἢ
ἀπαγγελλόντων τῶν οὐδαμῶς αἰτίων τοῖς γεγενημένοις ἀκού-
14 σαντες τάδε τινὰ γινώσκουσιν. (Ὑπεξῃρήσθω δὲ νῦν τοῦ
λόγου τὸ δύνασθαι τοὺς δεδρακότας ἢ πεπονθότας, διηγου-
μένους ἃ δεδράκασιν ἢ πεπόνθασιν, ἐνάγειν εἰς γνῶσιν τῶν

d 13. εὐχαὶ] αἱ εὐχ. Orig. ult. γὰρ] γὰρ καὶ E.
p. 283. 3. καὶ τί ἐπὶ πλεῖον μηκύνειν λόγον δεῖ] καὶ τί μηκύνομεν τὸν λόγον C.D.F.G. τὸν λ. E.I. καί τι μηκύνειν τ. λ. V. ἔτι πλεῖον Orig. 8. δὲ] δὴ C.D.F.I. 11. γενόμενοι] γινόμενοι C.D.F.G. b 2. ὑγειῶς] ὑγιῶς C.F.G. 3. ἐνεργησάντων] ἐνεργηθέντων C.F.G. ἐνεργηκότων D. ἐνηργηκότων Orig. 6. νῦν] αὐτοῦ Orig. 8. διηγουμένους] δεδιηγημένους Orig. 9. ἐνάγειν] ἀνάγειν E.

illave fieri necesse est, hancque astra necessitatem afferunt, nec aliter quam eorum mutua complexio jubeat, fieri quicquam potest, hoc aut illud abs
12 Deo impetrare sine ratione contendimus. Sed quorsum pluribus communis hujus de fato loci, quem inconsiderate vulgus adhuc hominum trivit, impietatem persequimur? Eam quippe superiori oratione informasse sat est?
13 Jam vero, cum locum illum expenderemus, *Sint in signa luminaria:* quemadmodum in eam disputationem delapsi fuerimus, nobis in memoriam revocemus. Qui vel aliqua de re veri ex aliis quidpiam intelligunt, vel ipsimet rei gestæ oculati testes fuerunt, ii profecto rem aperire sincere, integreque possunt: quippe qui, vel quod passus alter fuerit, vel quod idem perfecerit, aut oculis ipsi suis usurparint, aut aliorum qui tamen rei
14 caussam dederint nullam, commemoratione acceperint. (Illud enim sane omittamus, fieri posse, ut qui aliquid vel passi fuerint, vel fecerint, eos etiam qui præsentes non interfuerint, narratione ipsi sua totius in rei

ΩΡΙΓΕΝΟΥΣ

15 πεπραγμένων τὸν μὴ παρατετυχηκότα.) Ἐὰν οὖν ὁ διδα-
σκόμενος ὑπὸ τοῦ μηδαμῶς αἰτίου τῶν γινομένων τὸ τάδε c
τινὰ τοῖσδε γεγονέναι ἢ συμβήσεσθαι μὴ διακρίνῃ ὅτι οὐ
[167] πάντως ὁ διδάσκων περί τινος ὡς γενομένου ἢ ἐσομένου αἴ-
τιός ἐστι τοῦ τὸ πρᾶγμα τοιόνδε τι τυγχάνειν, οἰήσεται τὸν
παραστήσαντα περὶ τοῦ τάδε τινὰ γεγονέναι, ἢ τάδε τινὰ
ἔσεσθαι, πεποιηκέναι ἢ ποιήσειν τὰ περὶ ὧν διδάσκει, οἰήσε-
16 ται δὲ δηλονότι ἐσφαλμένως. Ὡς εἴ τις ἐντυχὼν προφητικῇ
βίβλῳ προδηλούσῃ τὰ περὶ Ἰούδαν τὸν προδότην νομίσαι,
μαθὼν τὸ ἐσόμενον, ὁρῶν αὐτὸ ἀποτελούμενον, τὴν βίβλον
αἰτίαν εἶναι τόδε τι γεγονέναι ὕστερον, ἐπεὶ ἀπὸ τῆς βίβλου d
μεμάθηκε τὰ ὑπὸ τοῦ Ἰούδα πραχθησόμενα ὕστερον· ἢ πάλιν
μὴ τὴν βίβλον ὑπολάβοι εἶναι αἰτίαν, ἀλλὰ τὸν πρῶτον
γράψαντα αὐτήν, ἢ τὸν ἐνεργήσαντα φέρε εἰπεῖν τὸν Θεόν.
17 Ὥσπερ δὲ ἐπὶ τῶν περὶ τοῦ Ἰούδα προφητευομένων αὐταὶ αἱ
λέξεις ἐξεταζόμεναι ἐμφαίνουσι τὸν Θεὸν ποιητὴν μὴ γεγονέναι τῆς τοῦ Ἰούδα προδοσίας, ἀλλὰ μόνον δεδηλωκέναι προεγνωκότα τὰ ἀπὸ τῆς τούτου κακίας πραχθησόμενα παρὰ

b 10. παρατετυχηκότα] παρατετευχότα Orig. 11. μηδαμῶς] μηδενὸς I. c 2. διακρίνων] διακρίνῃ C.F.G. Orig. διακρίνοι I. 3. περί] παρά C.F.G. 4. τὶ om. D. 5. οἰήσεται] εἰ οἰήσ. Orig. 8. δῆλον ὅτι ἐσφαλμένως τοῦτο οἰήσεται Orig. 9. δηλούσῃ D. 10. νομίσαι] νομήσαι C. 12. τόδε τί] τοῦτο δέ τι E.I. d. μεμάθηκε] μεμαθήκαμεν E.I. Mox πραχθησόμενον I. absque ὕστερον. 2. τὸ— πραχθησόμενον Orig. sine ὕστερον. 7. ἐξεταζόμεναι ἐμφαίνουσι] ἐμφ. ἐξετ. C.F.G.

15 cognitionem adducant.) Si quis ergo, postquam certi aliquid aut evenisse quibusdam, aut eventurum esse, ab illo qui ejus caussa non sit, auditione acceperit, non cogitet apud se, quisquis rem quamlibet aut gestam esse, aut gestum iri doceat, non eum continuo ejusdem rei caussam esse: is sane, quicunque vel factum aliquid vel futurum esse aperiet, ab eodem aut profectum illud aut profecturum opinabitur, falso
16 tamen opinabitur. Veluti siquis, ubi ex prophetico volumine, quod Judæ proditoris scelus exitiumque prædiceret, futuram totius rei seriem intellexisset, adeoque cum suis factum ipsum oculis intueretur, idem in volumen facinoris caussam omnem culpamque conferret: aut, si minus volumen, eum certe a quo primum conscriptum illud esset, aut vero Deum ipsum, cujus impulsu ac numine prodisset, ejusdem perfidiæ auctorem
17 esse sentiret. Quemadmodum enim conceptis ac disertis, si ea diligenter expendas, istius de Juda prophetiæ verbis, Deus omni proditionis ejus culpa liberatur: idque unum ex illis auferri potest, Deum quod nulla sui

ΩΡΙΓΕΝΟΥΣ

18 τὴν αὐτοῦ αἰτίαν· οὕτως εἴ τις ἐμβαθῦναι τῷ λόγῳ τοῦ
προειδέναι τὰ πάντα τὸν Θεὸν καὶ τοὺς ἐν οἷς οἷον ἐνετύπωσε
τῆς ἑαυτοῦ προγνώσεως τοὺς λόγους, κατανοῆσαι ἂν ὅτι οὔτε
ὁ προγνοὺς πάντως αἴτιος τῶν προεγνωσμένων, οὔτε τὰ p. 284
τοὺς τύπους τῶν λόγων τῆς προγνώσεως τοῦ προεγνωκότος
δεξάμενα.
19 Ὅτι μὲν οὖν ἕκαστον τῶν ἐσομένων πρὸ πολλοῦ οἶδεν ὁ
Θεὸς γενησόμενον, καὶ χωρὶς μὲν γραφῆς αὐτόθεν ἐκ τῆς ἐν-
νοίας τῆς περὶ Θεοῦ δῆλον τῷ συνιέντι ἀξίωμα δυνάμεως νοῦ
20 Θεοῦ. Εἰ δὲ δεῖ καὶ ἀπὸ τῶν γραφῶν τοῦτο παραστῆσαι,
πλήρεις μέν εἰσιν αἱ προφητεῖαι τοιούτων παραδειγμάτων,
καὶ τὰ κατὰ τὴν Σωσάνναν δὲ τοῦ Θεοῦ γινώσκοντος τὰ πάντα b
πρὶν γενέσεως αὐτῶν, οὕτω λέγουσαν· *Ὁ Θεὸς ὁ αἰώνιος, ὁ
τῶν κρυπτῶν γνώστης, ὁ εἰδὼς τὰ πάντα πρὶν γενέσεως αὐτῶν, σὺ*
21 *ἐπίστασαι ὅτι ψευδῆ μου κατεμαρτύρησαν οὗτοι.* Σαφέστατα
δὲ ἐν τῇ τρίτῃ τῶν Βασιλειῶν καὶ ὄνομα βασιλεύοντος καὶ
πράξεις ἀνεγράφησαν πρὸ πλειόνων ἐτῶν τοῦ γενέσθαι προ-

d 11. αἰτίαν] κακίαν Orig. 12. ἐμβαθύνειν D. 13. τοῖς] τοὺς Orig. 14. ἐνετύπωσε] ἐτύπωσε B.C.D.F.G.

p. 284. 2. τὰ om. D. 6. τῆς ἐννοίας τῆς περὶ θεοῦ] τῆς περὶ θεοῦ ἐννοίας B.C.F.G. 10. παραδειγμάτων om. B.C.D. Tum καὶ τὰ κατὰ D.F.G. Orig. b 6. δὲ ἐν] δὲ καὶ ἐν Orig. τῇ τρίτῃ] τῇ om. F. βασιλεύοντος] ἴσ. βασιλεύσοντος Vigeri marg. ὄνομα βασιλειῶν καὶ ὄνομα βασιλεύσαντος Orig. 7. ἀνεγράφησαν] ἀναγράφουσι B. ἀναγράφει C. F.G. Mox τοῦ om. F. 8. προφητ.] τὰ προφητ. Orig.

numinis communione, sola hominis improbitate futurum scelus ante cog-
18 noverat, prænuntiasse. Ita profecto, quisquis et eam in disputationem, qua Deo rerum omnium antegressa cognitio tribuitur, et in ea, quibus suæ cognitionis signa quædam et formas impresserit, subire altius ac penetrare voluerit, intelliget ipse continuo, non illi utique, qui prænoverit, aut iis ipsis rebus, quæ prænotionis ejus formas quasdam notasque susceperint, eorum quæ prænoverit caussam esse tribuendam.
19 Jam vero, quicquid aliquando futurum est, id omne Deum multo ante futurum prænosse, ut scripturæ abesset auctoritas, vel ipsamet ex Dei notione is profecto demum intelligat, qui probe vim illam et excellentiam
20 divinæ mentis intelligit. Si tamen sacrarum quoque literarum testimoniis eam in rem opus est, plenæ sunt exemplorum id genus prophetarum voces; ipsaque adeo Susanna rerum ei cognitionem omnium his verbis asseruit. *Deus æterne, qui absconditorum es cognitor, qui nosti omnia ante-* Dan. 13, 42.
21 *quam fiant, tu scis, quoniam falsum testimonium tulerunt contra me.* Ac Regum tertio regis ipsius nomen, resque ab eo gestas, multis ante annis, quam lucem aspicerent, hunc in modum clarissime vates divinus expressit.

ΩΡΙΓΕΝΟΥΣ

φητευόμενα οὕτως· Καὶ ἐποίησεν Ἱεροβοὰμ ἑορτὴν ἐν τῷ μηνὶ τῷ ὀγδόῳ, ἐν τῇ πέμπτῃ καὶ δεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς, κατὰ τὴν ἑορτὴν τὴν ἐν γῇ Ἰούδα. Καὶ ἀνέβη ἐπὶ τὸ θυσιαστήριον τὸ ἐν c Βαιθὴλ, ὃ ἐποίησεν ἐν ταῖς δαμάλεσιν, αἷς ἐποίησεν. Εἶτα μετ' ὀλίγα· Καὶ ἰδοὺ ἄνθρωπος τοῦ Θεοῦ ἐξ Ἰούδα παρεγένετο ἐν λόγῳ Κυρίου ἐν Βαιθὴλ, καὶ Ἱεροβοὰμ εἱστήκει ἐπὶ τὸ θυσιαστήριον αὐτοῦ ἐπιθῦσαι· Καὶ ἐπεκάλεσεν ἐπὶ τὸ θυσιαστήριον ἐν λόγῳ Κυρίου, καὶ εἶπε· Θυσιαστήριον, θυσιαστήριον, τάδε λέγει Κύριος, Ἰδοὺ υἱὸς τίκτεται τῷ οἴκῳ Δαβὶδ, Ἰωσίας ὄνομα αὐτῷ, καὶ θύσει ἐπί σε τοὺς ἱερεῖς τῶν ὑψηλῶν τῶν ἐπιθυόντων ἐπί σε, d καὶ ὀστᾶ ἀνθρώπων καύσει ἐπί σε. Καὶ ἔδωκεν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τέρας, λέγων, τοῦτο τὸ τέρας ὃ ἐλάλησε Κύριος λέγων, Ἰδοὺ τὸ θυσιαστήριον ῥήγνυται, καὶ ἐκχυθήσεται ἡ πιότης ἡ ἐπ' αὐτῷ. Καὶ μετ' ὀλίγα δηλοῦται, ὅτι καὶ τὸ θυσιαστήριον ἐρράγη, καὶ ἐξεχύθη ἡ πιότης ἀπὸ τοῦ θυσιαστηρίου κατὰ τὸ 22 τέρας ὃ ἔδωκεν ὁ ἄνθρωπος ἐν λόγῳ Κυρίου. Καὶ ἐν τῷ Ἠσαΐᾳ γενομένῳ πρὸ πολλοῦ τῆς αἰχμαλωσίας τῆς εἰς Βαβυλῶνα, μεθ' ἣν αἰχμαλωσίαν ὕστερόν ποτε γίνεται Κῦρος ὁ

b 11. κατὰ τὴν] τὴν om. D. τὴν ἐν γῇ] ἐν τῇ F.G. c 2. βαιθὴλ] βεθὴλ B.C.D. ἐν ταῖς] ἐν om. Orig. 6. ἐπὶ] εἰς B.D.F.G. 7. ἐπεκάλεσεν] ἐκάλεσεν Orig. d 3. τοῦτο τὸ—δηλοῦται om. B. sed vide infra. 5. πιότης] ποιότης C.D.F.G. et sic infra. ἐπ' αὐτῷ] ἐπὶ σεαυτῷ C. ἡ ἐπ. αὐτῷ πιότης καὶ μετ' ὀλίγα δηλοῦται καὶ τὸ τέρας B. 8. ἄνθρωπος τοῦ θεοῦ Orig. 11. αἰχμαλωσίαν] αἰχμαλωσίας B. αἰχμάλωτος C.F.G.

Reg. 3, 12. 32. *Constituitque Hieroboam diem solennem in mense octavo, quintadecima die mensis, in similitudinem solennitatis, quæ celebrabatur in Juda. Et ascendit altare quod fecit in Bethel, ut immolaret vitulis, quas fabricatus fuerat.* Ibid. 13, 1. Et paulo post, *Et ecce vir Dei venit de Juda, in sermone Domini, in Bethel, Hieroboam stante super altare, et thus jaciente. Et exclamavit contra altare in sermone Domini, et ait: Altare, altare, hæc dicit Dominus: Ecce filius nascetur domui David, Josias nomine, et immolabit super te sacerdotes excelsorum, qui nunc in te thura succendunt, et ossa hominum super te incendet. Deditque in illa die signum, dicens: Hoc erit signum, quod locutus est Dominus; Ecce altare scindetur, et effundetur adeps, qui in eo est.* Ac paucis interjectis, altare disruptum, effusumque adipem esse narratur, 22 quod signum in sermone Domini propheta dederat. Similiter apud Isaiam, qui multis ante capitivitatem Babylonicam annis vixerat, De Cyro Persarum Rege, qui tanto captivitatem illam intervallo sequutus est, quippe qui

ΩΡΙΓΕΝΟΥΣ

Περσῶν βασιλεὺς συνεργήσας τῇ οἰκοδομῇ τοῦ ναοῦ, γενο-
μένῃ κατὰ τοὺς χρόνους Ἔσδρα, ταῦτα περὶ Κύρου ὀνομαστὶ
προφητεύεται· *Οὕτω λέγει Κύριος ὁ Θεὸς τῷ χριστῷ μου Κύρῳ,
οὗ ἐκράτησα τῆς δεξιᾶς αὐτοῦ, ἐπακοῦσαι ἔμπροσθεν αὐτοῦ ἔθνη,
καὶ ἰσχὺν βασιλέων διαρρήξω, ἀνοίξω ἔμπροσθεν αὐτοῦ θύρας, καὶ
πόλεις οὐ συγκλεισθήσονται. Ἐγὼ ἔμπροσθέν σου πορεύσομαι,
καὶ ὄρη ὁμαλιῶ, θύρας χαλκᾶς συντρίψω, καὶ μοχλοὺς σιδηροῦς* p. 285
[168] *συνθλάσω· καὶ δώσω σοι θησαυροὺς σκοτεινούς, ἀποκρύφους, ἀορά-
τους ἀνοίξω σοι, ἵνα γνῷς ὅτι ἐγὼ Κύριος ὁ Θεός, ὁ καλῶν τὸ ὄνομά
σου, Θεὸς Ἰσραήλ. Ἕνεκεν τοῦ παιδός μου Ἰακώβ, καὶ Ἰσραὴλ
τοῦ ἐκλεκτοῦ μου, ἐγὼ καλέσω σε τῷ ὀνόματί μου, καὶ προσδέξο-*
23 *μαί σε.* Σαφῶς γὰρ καὶ ἐκ τούτων δεδήλωται, ὅτι διὰ τὸν
λαὸν ὃν εὐεργέτησεν, ὁ Κύριος ὁ Θεὸς μὴ γινώσκοντι αὐτῷ
τὴν καθ' Ἑβραίους θεοσέβειαν ἐδωρήσατο ἐθνῶν πλειόνων b
ἄρξαι. Καὶ ἔστι ταῦτα μαθεῖν καὶ ἀπὸ Ἑλλήνων τῶν ἀνα-
24 γραψάντων τὰ περὶ τὸν προφητευθέντα Κῦρον. Ἔτι δὲ
καὶ ἐν τῷ Δανιήλ, Βαβυλωνίων βασιλευόντων τότε, τῷ Να-
βουχοδονόσορ δείκνυνται αἱ ἐσόμεναι βασιλεῖαι μετ' αὐτόν.

d 12. *συνεργ.*] *καὶ συνεργ.* E I. 13. *γενομένῳ*] *γενομένῃ* I. Orig. *περὶ κύρου ὀνομαστὶ*] *ὀνομ. π. κ.* B.F.G. 14. *χρηστῷ—ἐκράτησε* D. ult. *πύλαι*] *πόλεις* C.D.E F.G.I. Orig.

p. 285. *θύρας χαλκὰς*] *χαλκᾶς θύρας* B. *καὶ θυρ. χαλ.* C.F.G. 2. *συνθλάσω*] *συνθλάσσω* C.F.G. *συγκλάσω* Orig. 4. *θεὸς*] *ὁ θεὸς* C. *κύριος*] *κύρος* B. 9. *εὐηργέτησεν ὁ Κῦρος* I. Orig. b 2. *ἀπὸ τῶν*] *τῶν* om. B.C.D.F.G. Orig. 3. *κύριον*] *κῦρον* B.C.D.F.G.I. Orig. 5. *δείκνυται* D. et sic mox.

instaurando templo (id quod in Esdræ tempus incidit) operam navarit
suam; ita nominatim prænunciatum habes, *Hæc dicit Dominus Christo* Is. 45, 1.
*meo Cyro, cujus apprehendi dexteram, ut subjiciam ante faciem ejus gentes,
et fortitudinem regum perfringam: aperiam coram eo januas, et portæ non
claudentur. Ego ante te ibo, et montes complanabo: portas æreas conteram,
et vectes ferreos confringam. Et dabo tibi thesauros absconditos, occultos,
invisibiles aperiam tibi, ut scias quia ego Dominus Deus, qui voco nomen
tuum, Deus Israel. Propter servum meum Jacob, et Israel electum meum,*
23 *ego vocabo te nomine tuo, et suscipiam te.* Ex iis enim quivis prorsus
intelligat, Cyrum in ejus populi gratiam, quem tot beneficiis affecerat, ut
Hebræorum pietatem ac religionem ignoraret, a Deo tamen gentium plu-
rimarum imperium accepisse. Atque id Græcorum etiam, qui res Cyri,
24 quem propheta cecinit, memoriæ prodiderunt, auferre possis. Quinetiam
apud Danielem, quo tempore Babylonicum florebat imperium, Nabucho-
donosori futurorum deinceps imperiorum oblata species est. Auro quippe

ΩΡΙΓΕΝΟΥΣ

Δείκνυνται δὲ διὰ τῆς εἰκόνος, χρυσίου μὲν τῆς Βαβυλωνίων ἀρχῆς ὀνομαζομένης, ἀργυρίου δὲ τῆς Περσῶν, χαλκοῦ δὲ τῆς Μακεδόνων, σιδήρου δὲ τῆς Ῥωμαίων. Καὶ πάλιν ἐν τῷ c αὐτῷ προφήτῃ τὰ περὶ Δαρεῖον καὶ Ἀλέξανδρον, καὶ τοὺς τέσσαρας διαδόχους Ἀλεξάνδρου τοῦ Μακεδόνων βασιλέως, καὶ Πτολεμαῖον τὸν τῆς Αἰγύπτου ἄρξαντα, τὸν ἐπικαλούμενον Λαγὼν, οὕτω προφητεύεται, Καὶ ἰδοὺ τράγος αἰγῶν ἤρχετο ἀπὸ λιβὸς ἐπὶ πρόσωπον πάσης τῆς γῆς. Καὶ τῷ τράγῳ κέρας ἀνὰ μέσον τῶν ὀφθαλμῶν. Καὶ ἦλθεν ἕως τοῦ κριοῦ τοῦ τὰ κέρατα ἔχοντος, οὗ εἶδον ἑστῶτος ἐνώπιον τοῦ Οὐβὰλ, καὶ ἔδραμε πρὸς αὐτὸν ἐνώπιον τῆς ἰσχύος αὐτοῦ. Καὶ εἶδον αὐτὸν φθάνοντα ἕως τοῦ κριοῦ, καὶ ἐξηγριώθη πρὸς αὐτὸν, καὶ ἔπαισε τὸν κριὸν, καὶ συνέτριψεν ἀμφότερα τὰ κέρατα αὐτοῦ, καὶ οὐκ ἦν d ἰσχὺς τῷ κριῷ στῆναι ἐνώπιον αὐτοῦ, καὶ ἔρριψεν αὐτὸν ἐπὶ τὴν γῆν, καὶ συνεπάτησεν αὐτὸν, καὶ οὐκ ἦν ὁ ἐξαιρούμενος τὸν κριὸν ἐκ χειρὸς αὐτοῦ. Καὶ ὁ τράγος τῶν αἰγῶν ἐμεγαλύνθη ἕως σφόδρα. Καὶ ἐν τῷ ἰσχῦσαι αὐτὸν συνετρίβη τὸ κέρας αὐτοῦ τὸ μέγα, καί ἀνέβη ἕτερα κέρατα ὑποκάτω αὐτοῦ εἰς τοὺς τέσσαρας ἀνέμους τοῦ οὐρανοῦ, καί ἐκ τοῦ ἑνὸς ἐξῆλθεν κέρας ἓν ἰσχυρὸν, καὶ

b 7. δὲ om. F. 9. μακεδόνων] μακεδόνος B. μακεδῶνος D. c 4. καὶ πτολ.—προφητεύεται καὶ om. B. τὸν τῆς Αἰγ. D.E.F.G. Mox λάγνον E.I. λάγον Orig. λαγὼν G. 6. ἰδοὺ φησὶν ἰδοὺ B. 9. τὰ κερ.] τοῦ τὰ κερ. C.D.E.F.G.I. Orig. d 2. στῆναι—αὐτοῦ om. B. 8. κέρατα om. D. 9. αὐτοῦ] αὐτω αὐτοῦ I. 11. κέρας ἓν] ἕκατού I.

Babyloniorum, Persarum argento, Macedonum ære, ferro denique Romanorum significabatur imperium. Ac rursus idem propheta de Dario simul et Alexandro, necnon de quatuor Alexandri Macedonum regis successoribus, ipsoque Ptolemæo, qui Ægypti regnum tenuit, cuique Lago cognomentum fuit, ejusmodi reliquit oraculum. *Ecce autem hircus caprarum veniebat ab occidente, super faciem totius terræ; et hircus habebat cornu inter oculos suos. Et venit usque ad arietem illum cornutum, quem videram stantem ante Ubal, et cucurrit ad eum in impetu fortitudinis suæ. Et vidi eum pervenientem usque ad arietem, et efferatus est in eum, et percussit arietem, et comminuit duo cornua ejus, et non poterat aries resistere ei, cumque eum misisset in terram, conculcavit: et nemo quibat liberare arietem de manu ejus. Hircus autem caprarum magnus factus est nimis: cumque crevisset, fractum est cornu ejus magnum: et orta sunt alia cornua subter illud per quatuor ventos cœli. De uno autem ex eis egressum est cornu unum*

Dan. 8, 5.

ΩΡΙΓΕΝΟΥΣ

26 ἐμεγαλύνθη περισσῶς πρὸς τὸν νότον καὶ τὴν δύσιν. Τί δὲ δεῖ
λέγειν τὰς περὶ Χριστοῦ προφητείας, οἷον τόπον γενέσεως
αὐτοῦ Βηθλεὲμ, καὶ τόπον ἀνατροφῆς αὐτοῦ Νάζαρα, καὶ
τὴν εἰς Αἴγυπτον ἀναχώρησιν, καὶ τεράστια ἃ ἐποίησε, καὶ
τίνα τρόπον ὑπὸ Ἰούδα τοῦ εἰς ἀποστολὴν κεκλημένου προ- p. 286
εδόθη; Πάντα γὰρ ταῦτα σημεῖά ἐστι τῆς τοῦ Θεοῦ προγνώ-
27 σεως. Ἀλλὰ καὶ αὐτὸς ὁ Σωτὴρ, Ὅταν, φησὶν, ἴδητε κυ-
κλουμένην ὑπὸ στρατοπέδων τὴν Ἱερουσαλὴμ, τότε γνώσεσθε, ὅτι
ἤγγικεν ἡ ἐρήμωσις αὐτῆς. Προεῖπε γὰρ τὸ ὕστερον συμβε-
βηκὸς τὸ τέλος τῆς κατασκαφῆς Ἱερουσαλήμ.
28 Ἀποδεδειγμένου τοίνυν ἡμῖν περὶ τοῦ προγνώστην εἶναι
τὸν Θεὸν οὐκ ἀκαίρως, ἵνα διηγησώμεθα πῶς οἱ ἀστέρες
γίνονται εἰς σημεῖα, νοητέον τοὺς ἀστέρας οὕτω τετάχθαι b
κινεῖσθαι, ἐναντιοφορούντων τῶν καλουμένων πλανωμένων
τοῖς ἀπλανέσιν, ἵνα σημεῖα ἀπὸ τοῦ σχηματισμοῦ τῶν ἀστέ-
ρων πάντων τῶν περὶ ἕκαστον γινομένων καὶ τῶν καθόλου

περὶ
d 12. πρὸς] περὶ B.C.F.G. ἐπὶ D. τι] τεὶ B. ult. νάζαρα] ναζαρέτ C.F.G. Orig. νάζορα I. ναζαρᾶ D.F. αἴγυπτον] τὴν αἴγ. B. τὴν εἰς τὴν Αἴγ. C. τὴν εἰς Αἴγ. D.F.G.I. τὴν item Orig. al. om.
p. 286. ἰούδα] ἰουδαίων C.F.G. ἀποστολὴν] ἀποστολικὴν B. 2. σημεῖά ἐστι] ἐστι σημ. B.C.F.G. Tum θεοῦ om. F. 3. καὶ αὐτὸς] καὶ om. I. 5. ὑπὸ στρατ. τὴν Ἱ.] τὴν Ἱ. ὑπὸ στρατ. C.F.G. τὸν Ἱ. I.
γνω
6. γνώσεσθε] ἔσεσθε D. Mox ἐρώτησις I. pro ἐρήμωσις. 8. κατασκαφῆς] κατασκευῆς E. 10. διηγησώμεθα] διηγησόμεθα C.

26 *forte, et factum est grande valde contra meridiem, et occidentem.* Quid hic prophetarum de Christo ipso voces et oracula commemorem? De Bethleemo ubi natus, de Nazaretho ubi educatus est; quemadmodum in Ægyptum secesserit, quæ miracula perfecerit, quomodo Judæ quem apostolorum in numerum aggregarat perfidiam proditionemque subierit? Quibus ex omnibus certe quidem illustria divinæ prænotionis argumenta
27 ducuntur. Accedit ipsa quoque Servatoris auctoritas, dum ita loquitur. *Cum videritis circumdatam ab exercitibus Hierusalem, tunc scietis, quia appropinquavit desolatio ejus:* his enim verbis quid deinceps futurum esset, hoc est supremum Hierosolymitani excidii finem exitumque prædixit. Luc. 21, 20.
28 Jam vero, quoniam hanc in Deo prænoscendi vim certis adhuc argumentis ostendimus, juverit deinceps, quemadmodum astra signorum loco instituta sint, explicare. Statuendum igitur in primis est, ejusmodi sideribus assignatum ac definitum esse motum, ut quæ errantia vulgo dicuntur, viam fixis illis atque constantibus plane contrariam teneant. Id quod eo consilio factum est, ut ex vario astrorum situ, eorum quæ partim

Erudita de astrorum significatione disputatio.

ΩΡΙΓΕΝΟΥΣ

λαμβάνοντες γινώσκωσιν, οὐχὶ οἱ ἄνθρωποι, (πολλῷ γὰρ
μεῖζον ἢ κατὰ ἄνθρωπον τὸ δύνασθαι κατὰ ἀλήθειαν ἐκλαμ-
βάνειν ἀπὸ τῆς κινήσεως τῶν ἀστέρων τὰ περὶ ἑκάστου τῶν
ὅ τί ποτε οὖν ἐνεργούντων ἢ πασχόντων,) ἀλλ' αἱ δυνάμεις,
ἃς ἀναγκαῖον διὰ πολλὰ ταῦτα γινώσκειν, ὡς κατὰ δύναμιν
29 διὰ τῶν ἑξῆς δείξομεν. Συνέντες δὲ οἱ ἄνθρωποι ἔκ τινων c
τηρήσεων, ἢ καὶ ἐκ διδασκαλίας ἀγγέλων τὴν ἰδίαν τάξιν
παραβεβηκότων, καὶ ἐπὶ τῇ τοῦ γένους ἡμῶν ἐπιτριβῇ δι-
δαξάντων περὶ τούτων τινά, ᾠήθησαν τοὺς ἀφ' ὧν τὰ σημεῖα
οἴονται λαμβάνειν αἰτίους ὑπάρχειν τούτων, ἃ σημαίνειν ὁ
[169] λόγος φησί· περὶ ὧν καὶ αὐτῶν, ὡς ἐν ἐπιτομῇ, κατὰ δύναμιν
30 ἐπιμελέστερον εὐθέως διαληψόμεθα. Προκείσεται τοίνυν
ταῦτα τὰ προβλήματα. (α') Πῶς, προγνώστου ὄντος ἐξ
αἰῶνος τοῦ Θεοῦ περὶ τῶν ὑφ' ἑκάστου πράττεσθαι νομιζομέ- d
νων, τὸ ἐφ' ἡμῖν σώζεται· (β') καὶ τίνα τρόπον οἱ ἀστέρες
οὐκ εἰσὶ ποιητικοὶ τῶν ἐν ἀνθρώποις, σημαντικοὶ δὲ μόνον·
(γ') καὶ ὅτι ἄνθρωποι τὴν περὶ τούτων γνῶσιν ἀκριβῶς

b 9. ποτε οὖν] οὖν om. B.C.D.F.G. 10. ἀλλ' αἱ δυνάμεις—ἀδικήματα om. B. Tum αἷς ἀναγκαῖον E.I. 12. διὰ τῶν] ἐν τοῖς E.I. Orig. ubi mox συνθέντες. c 2. τὴν] τῶν τὴν Orig. 3. τοῦ γένους] τὸ γένους F. 5. ἀφ' ὧν] ἀφώνων E. 6. σημαίνει I. 8. εὐθέως] ἀθέως I. 9. προκείσεται] πρόκειται S. 10. προγνώστου] πρὸ ἀγνώστου D. d. ἐφ'] ἀφ' E.

singulis, partim in universum eveniunt, signa quædam hauriant, non jam homines certe quidem, (ex illa enim siderum conversione, quicquid aut facturi singuli sint, aut passuri, vere ac certo intelligere, operæ est humanas vires longe multumque superantis:) sed naturæ illæ superiores, quas pluribus sane de caussis eam in cognitionem venire necesse est, uti
29 deinceps pro captu nostro demonstrabimus. Homines autem, quod nonnulla id genus, vel observationibus quibusdam, vel angelorum, qui cum suos ipsi fines transilierint, tum generis in nostri perniciem ista docuerint, informatione didicerint; eorum simul, quorum significationem iis scriptura tribuit, auctores illos esse putaverunt, a quibus ea se percipere signa credebant. Qua de re summatim quoque paullo post, sed tamen pro
30 nostra facultate diligenter et accurate disputabimus. Atque hæc erunt quæstionis institutæ capita. Qui fieri possit, ut cum ea quæ a quoque fieri censentur omnia, ex omni Deus æternitate prænoverit, sua tamen voluntati nostræ vis potestasque servetur. Quomodo rerum illarum quæ hominum generi eveniunt, signa quidem sidera sint, caussæ vero minime. Quamobrem certam et exquisitam homines earundem rerum cognitionem

ΩΡΙΓΕΝΟΥΣ

ἔχειν οὐ δύνανται, ἀλλὰ δυνάμεσιν ἀνθρώπων κρείττοσι τὰ
σημεῖα ἔκκειται. (δʹ) Τίς γὰρ ἡ αἰτία τοῦ τὰ σημεῖα τὸν
Θεὸν πεποιηκέναι εἰς γνῶσιν τῶν δυνάμεων, τέταρτον ἐξε-
31 τασθήσεται. Καὶ τοίνυν ἴδωμεν τὸ πρῶτον, ὅπερ εὐλαβη-
θέντες πολλοὶ τῶν Ἑλλήνων, οἰόμενοι κατηναγκάσθαι τὰ
πράγματα καὶ τὸ ἐφʼ ἡμῖν μηδαμῶς σώζεσθαι εἰ ὁ Θεὸς
προγινώσκει τὰ μέλλοντα, ἀσεβὲς δόγμα ἐτόλμησαν ἀνα- p. 287
δέξασθαι μᾶλλον, ἢ προσέσθαι τὸ, ὥς φασιν ἐκεῖνοι, ἔνδοξον
μὲν περὶ Θεοῦ, ἀναιροῦν δὲ τὸ ἐφʼ ἡμῖν, καὶ διὰ τοῦτο ἔπαι-
νον καὶ ψόγον, καὶ τὸ τῶν ἀρετῶν ἀποδεκτὸν τῶν τε κακιῶν
32 ψεκτόν. Καί φασιν, εἰ ἐξ αἰῶνος ἔγνω ὁ Θεὸς τόνδε τινὰ
ἀδικήσειν καὶ τάδε ποιῆσαι τὰ ἀδικήματα, ἀψευδὴς δὲ ἡ γνῶσις
τοῦ Θεοῦ, καὶ πάντως ἔσται ἄδικος ποιήσων τάδε τὰ ἀδική-
ματα ὁ τοιοῦτος εἶναι προεωραμένος, καὶ ἀμήχανον μὴ ἀδι-
κήσειν αὐτόν· εἰ δὲ ἀμήχανον μὴ ἀδικήσειν αὐτὸν, κατη-
νάγκασται τὸ ἀδικήσειν αὐτὸν, καὶ ἀδύνατον ἔσται ἄλλο τι b
πρᾶξαι αὐτὸν ἢ ὅπερ ὁ Θεὸς ἔγνω. Εἰ δὲ ἀδύνατον ἄλλο τι

d 10. *πολλοὶ*] *τινὲς* E.I. Orig.

p. 287. *προσέσθαι*] *προέσθαι* Orig. 5. *ἀποδεκτὸν*] *ἀποδεκτικὸν* C. Mox *τὸ μεμπτὸν* Orig. 7. *ἀδικήματα*] *τὰ ἀδ.* C.F.G.I. 8. *ἀψευδὴς δὲ ἡ γνῶσις τοῦ θεοῦ*] *τοῦ δὲ θεοῦ ἡ γνῶσις ἀψευδής* B. *καὶ* om. Orig. 11. Supplevi ex Orig. *εἰ δὲ—αὐτὸν* quæ propter homœoteleuton exciderunt. b. *ἀδικήσειν*] *ἀδικῆσαι* E.I 2. *ὁ θεὸς ἔγνω*] *ἔγνω ὁ θεὸς* B.C.F.G.

habere non possint, sed naturis humana superioribus proposita signa illa
sint. Nam quorsum iisdem ex signis aliquid naturas illas cognitionis
31 haurire voluerit, quarto demum loco quæremus. Ordiamur a primo, in
quo dum cautiores esse Græcorum plerique vellent, quodque si Deo futu-
rorum prænotio tribueretur, vim rebus inferri putarent, ac voluntatis
nostræ jura violari, nefarium impiumque dogma suscipere temere, quam
alterum illud probare maluerunt, quod Deo quidem, (ut ipsi loquuntur)
gloriæ cederet, verum arbitrii nostri vim et facultatem everteret, simulque
proinde omnem cum laude vituperationem, et quicquid aut est complec-
32 tendum in virtute, aut in vitio reprehendendum. Enimvero, si hunc aut
illum Deus injuriosum futurum, si has aut illas injurias illaturum ex æter-
nitate cognovit, nec falli prænotio divina potest: is profecto quem ejus-
modi fore præviderit, et injuriosus omnino futurus est, et tales injurias
illaturus: adeoque fieri nullo modo potest ut ab illis injuriis abstineat,
cum et ad eas inferendas necessitate rapiatur, nec aliud ab eo quicquam
fieri possit, quam quod futurum Deus esse cognoverit. Jam si aliud prorsus

ΩΡΙΓΕΝΟΥΣ

πρᾶξαι αὐτὸν, οὐδεὶς δὲ ἀδύνατον μὴ ποιήσας ψεκτός ἐστι,
33 μάτην αἰτιώμεθα τοὺς ἀδίκους. Ἀπὸ δὲ τοῦ ἀδίκου καὶ τῶν
ἀδικημάτων ἐπέρχονται καὶ ἐπὶ τὰ ἄλλα ἁμαρτήματα, εἶτα
ἐκ τοῦ ἐναντίου καὶ τὰ νομιζόμενα κατορθώματα· καί φασιν
ἀκολουθεῖν τῷ τὸν Θεὸν τὰ μέλλοντα προεγνωκέναι τὸ μὴ
34 δύνασθαι τὸ ἐφ' ἡμῖν σώζεσθαι. Πρὸς οὓς λεκτέον, ὅτι
ἐπιβάλλων ὁ Θεὸς τῇ ἀρχῇ τῆς κοσμοποιίας, οὐδενὸς ἀναι- c
τίως γινομένου, ἐπιπορεύεται τῷ νῷ ἕκαστον τῶν ἐσομένων
ὁρῶν, ὅτι ἐπεὶ τόδε γέγονε τόδε ἕπεται, ἐὰν δὲ γένηται τόδε
τὸ ἑπόμενον τόδε ἀκολουθεῖ· οὗ ὑποστάντος, τόδε ἔσται·
καὶ οὕτω μέχρι τέλους τῶν πραγμάτων ἐπιπορευθεὶς οἶδεν ἃ
ἔσται, οὐ πάντως ἑκάστῳ τῶν γινωσκομένων αἴτιος τοῦ αὐτὸ
35 συμβῆναι τυγχάνων. Ὥσπερ γὰρ εἴ τις ὁρῶν τινὰ διὰ μὲν
ἀμαθίαν προπετῆ, διὰ δὲ τὴν προπέτειαν ἀλογίστως ἐπιβαί-
νοντα ὁδοῦ ὀλισθηρᾶς, καὶ καταλάβοι πεσεῖσθαι ὀλισθή- d
σαντα, οὐχὶ αἴτιος τοῦ ὀλίσθου ἐκείνῳ γίνεται· οὕτω νοητέον

b 4. ἀδύνατον] ἀδύνατος D.E.F. ἀδύνατα Orig. 6. ἐπέρχονται] ἔρχονται Orig. 8. καὶ τὰ] ἴσ. κἀπὶ τὰ Vigeri marg. 9. τὸ τὸν] τῷ τὸν C.E.I. Vigeri marg. 10. τῷ μὴ] τὸ μὴ C.D.E. Vigeri marg. τὰ ἐφ'] τὸ ἐφ' B.C.F.G.I. Orig. c 2. ἀναιτίου] ἀναιτίως B.E.I. Vigeri marg. Orig. 3. ἐπεὶ] ἐπὶ B. 4. ἐὰν δὲ] δὲ om. Orig. 6. τόδε] τὸ I. 8. ἑκάστῳ] ἑκάστου B. 9. τυγχάνων] τυγχάνον C.D. Tum εἴ τις ὁρῶν—οὐ. 11. ἀλογίστως] ἀναλογίστως Orig. d. εἰ καταλάβοι E.I. Orig. γὰρ om. B. 2. οὐχὶ] οὐκ C.D. Supra ὀλισθήσοντα G. ὀλισθάνοντα (ηισαν supra) D. qui mox ἐκείνου τοῦ ὀλίσθου.

agere nihil potest, nec quisquam jure vituperatur, quod id non fecerit, quod fieri ab eo non potuit, homines injuriosos frustra calumniamur.
33 Deinde vero ab injuriosis et injuriis ad cætera peccatorum genera gradum faciunt. Tum a contrario, de iis quoque rebus quæ præclare fieri honesteque videantur, simili ratione statuunt: tandemque concludunt, si Deo semel futurorum prænotio concedatur, arbitrii nostri potestatem continuo
34 funditus esse tollendam. Quibus hoc modo respondendum erit. Deus, quod nulla res caussam non habeat aliquam, dum sub ipsum orbis moliendi principium, futura sigillatim omnia mente percurrit, videt illico, si factum hoc erit, illud proinde sequuturum; quod ubi extiterit, tertium ex eo quiddam aptum fore; hoc item si positum erit, et consequens illud futurum: itaque ad rerum finem omnium cognitione perducta, quicquid futurum est intelligit: nec tamen cujuslibet omnino rei, cur hoc illove
35 modo eveniat, caussa dicendus est. Quemadmodum enim, si quem imperitia temerarium ac præcipitem esse videas, eaque temeritate impulsum lubrico sese itineri committere, ut eum labente fallenteque vestigio ruitu-

Præscientia Dei nullam nobis necessitatem affert.

τὸν Θεὸν προεωρακότα ὁποῖος ἔσται ἕκαστος καὶ τὰς αἰτίας ΩΡΙ-
τοῦ τοιοῦτον αὐτὸν ἔσεσθαι καθορᾶν, καὶ ὅτι ἁμαρτήσεται ΓΕ-
36 τάδε, ἢ κατορθώσει τάδε. Καὶ εἰ χρὴ λέγειν οὐ τὴν πρό- ΝΟΥΣ
γνωσιν αἰτίαν τῶν γινομένων, (οὐ γὰρ ἐφάπτεται τοῦ προ-
εγνωσμένου ἁμαρτησομένου ὁ Θεὸς, ὅταν ἁμαρτάνῃ,) ἀλλὰ
παραδοξότερον μὲν ἀληθὲς δὲ ἐροῦμεν, τὸ ἐσόμενον αἴτιον
37 τοῦ τοιάνδε εἶναι τὴν περὶ αὐτοῦ πρόγνωσιν. Οὐ γὰρ ἐπεὶ
ἔγνωσται γίνεται, ἀλλ' ἐπεὶ γίνεσθαι ἔμελλεν ἔγνωσται. p. 288
Διαστολῆς δὲ δεῖται. Εἰ μὲν γὰρ τὸ πάντως ἔσται οὕτω τις
ἑρμηνεύει, ὡς ἀνάγκην εἶναι γενέσθαι τὸ προεγνωσμένον, οὐ
διδόαμεν αὐτῷ· οὐ γὰρ ἐροῦμεν, ἐπεὶ προέγνωσται Ἰούδαν
προδότην γενέσθαι, ὅτι πᾶσα ἀνάγκη ἦν Ἰούδαν προδότην
38 γενέσθαι. Ἐν γοῦν ταῖς περὶ τοῦ Ἰούδα προφητείαις μέμ-
ψεις καὶ κατηγορίαι τοῦ Ἰούδα ἀναγεγραμμέναι εἰσὶ, παντί
τῳ παριστῶσαι τὸ ψεκτὸν αὐτοῦ. Οὐκ ἂν δὲ ψόγος αὐτῷ
προσήπτετο, εἰ ἐπάναγκες προδότης ἦν, καὶ μὴ ἐνεδέχετο b

d 6. ἢ] γινώσκει εἰ Orig. 9. ὅταν om. D. ὅταν ἁμαρτάνῃ om. Orig.

p. 288. γίνεσθαι ἔμελλεν] ἔμελλε γίνεσθαι B. 2. δὲ δεῖται] δεδεῖκται C. διαστολὴν δέδεικται F.G. 4. διδόαμεν] δίδομεν Orig. qui v. 7. om. γενέσθαι. 9. ἀναγεγραμμέναι εἰσι] ἀναγέγραπται B.C.D.F.G. 10. παριστᾶσαι] παριστῶσαι B.C.D.F.G. Orig. 11. αὐτῷ] αὐτοῦ C. D.F.G. προσήπτετο] παρήπτετο B. b. ἀνεδέχετο] ἐνεδέχετο B. F.G. Orig. Vigeri marg.

rum intelligas, ipsi tamen prolapsionis caussa non es. Ita plane sentiendum est, Deo, quod cujusmodi quisque sit futurus præviderit, caussas etiam quamobrem ejusmodi sit futurus, quæque ab eo vel improbe vel
36 præclare gerenda sint, esse perspecta. Atque, ut libere quod res est eloquamur, non Dei modo prænotionem rerum caussam non esse, (nec enim quem peccaturum Deus esse prævidit, eum dum re ipsa peccat, ad facinus quasi manu deducit:) sed etiam, quod a communi sensu remotius quidem, sed verum tamen est, id ipsum quod futurum sit, ejusmodi præ-
37 notionis caussam esse. Neque enim idcirco fit, quod futurum esse cognoscatur, sed quod futurum sit, idcirco futurum esse cognoscitur. Quo quidem in genere, distinctione opus est. Nam si quod omnino futurum dicitur, id ita quis accipiat, perinde ac si quod prævisum est, evenire necesse sit: hoc vero minime damus. Nec enim, quod prævisa Judæ proditio fuerit, Judam propterea necessario proditorem fuisse conce-
38 dimus. Enimvero, quibus in prophetarum oraculis futurum Judæ scelus exprimitur, iisdem hominis incessitur carpiturque improbitas, atque omnium in oculis indignitas ejus probrumque traducitur. Qui si ad proditionem vi ac necessitate raperetur, nec reliquis apostolis per eam similis

ΩΡΙ-ΓΕ-ΝΟΥΣ

39 αὐτὸν ὅμοιον τοῖς λοιποῖς ἀποστόλοις γενέσθαι. Ὅρα δὲ εἰ
μὴ ταῦτα δηλοῦται δι' ὧν παραθησόμεθα ῥητῶν οὕτως ἐχόν-
των· μηδὲ γενηθήτω οἰκτίρμων τοῖς ὀρφανοῖς αὐτοῦ, ἀνθ' ὧν οὐκ
ἐμνήσθη ποιῆσαι ἔλεος· καὶ κατεδίωξεν ἄνθρωπον πένητα καὶ πτω-
[170] χόν, καὶ κατανενυγμένον τῇ καρδίᾳ τοῦ θανατῶσαι· καὶ ἠγάπησε
κατάραν, καὶ ἥξει αὐτῷ, καὶ οὐκ ἠθέλησεν εὐλογίαν, καὶ μα-
κρυνθήσεται ἀπ' αὐτοῦ.

40 Εἰ δέ τις διηγήσεται τὸ πάντως ἔσται, κατὰ τὸ σημαίνειν c
αὐτὸ λέγων ὅτι ἔσται μὲν τάδε τινά, ἐνεδέχετο δὲ καὶ ἑτέρως
γενέσθαι, τοῦτο ὡς ἀληθὲς συγχωροῦμεν. Τὸν μὲν γὰρ
Θεὸν οὐκ ἐνδέχεται ψεύσασθαι, ἐνδέχεται δὲ περὶ τῶν ἐνδε-
χομένων γενέσθαι καὶ μὴ γενέσθαι φρονῆσαι τὸ γενέσθαι
41 αὐτὰ καὶ μὴ γενέσθαι. Σαφέστερον δὲ τοῦτο ἐροῦμεν οὕ-
τως. Εἰ ἐνδέχεται Ἰούδαν εἶναι ἀπόστολον ὁμοίως Πέτρῳ,
ἐνδέχεται τὸν Θεὸν νοῆσαι περὶ τοῦ Ἰούδα, ὅτι μενεῖ ἀπό-
στολος ὁμοίως Πέτρῳ· εἰ ἐνδέχεται Ἰούδαν προδότην γε-
νέσθαι, ἐνδέχεται τὸν Θεὸν φρονῆσαι περὶ αὐτοῦ, ὅτι προ- d
42 δότης ἔσται. Εἰ δὲ προδότης ἔσται Ἰούδας, ὁ Θεὸς τῇ

b 7. καὶ πτωχὸν om. Orig. c. κατὰ τὸ] καὶ τοῦτο Orig. 2. ἐνεδέχετο] ἐνδέχεται B.C.F.G. ἑτέρως] ἑτέρων B. ἑτέρῳ D. 3. ἀληθὲς] ἀληθῶς B.C.D.F.G. 4. οὐκ ἐνδ.] οὐκ om. B. 6. φρονῆσαι αὐτὰ τὸ E. φρονῆσαι αὐτὰ τὸ γ. καὶ τὸ μὴ I. φρονῆσαι τὸ δὲ Orig. 7. ἐροῦμεν οὕτως] οὕτως ἐροῦμεν B.D.F.G. 9. ἐνδέχεται—πέτρῳ om. I. 10. μενεῖ] μηνεῖ C. 11. εἰ] ἢ εἰ Orig.

39 esse posset, omni profecto crimine ac probro vacaret. Vide ergo, num id
Ps. 108, 1. ipsum disertis hisce propheta conceptisque verbis aperiat: *Nec sit qui
misereatur pupillis ejus, pro eo quod non est recordatus facere misericor-
diam: Et persequutus est hominem inopem, et mendicum, et compunctum
corde mortificare. Et dilexit maledictionem, et veniet ei: et noluit benedic-
tionem, et elongabitur ab eo.*

40 Sin autem illud idem, quod omnino futurum dicitur, ita quis, prout
asseverationis hujus significatio postulat, intelliget; quasi futurum sit
illud quidem, cæterum aliter etiam evenire potuisset: id tanquam verum
ultro fatemur. Nam ut mentiri Deus fallique non potest, ita quæ fieri
æque ac non fieri possunt, eadem ipse futura nosse pariter, aut non
41 futura potest. Verum dilucidius hac de re hunc in modum statuemus.
Si Petro similis apostolus Judas esse potest, potest etiam Deus Judam
apostolum Petro similem futurum cognoscere. Similiter, si proditor Judas
42 esse potest, potest quoque Deus illum nosse proditorem futurum. Jam
si re ipsa proditor Judas erit, Deus sane, qui utrumque illud fieri posse

ΩΡΙΓΕΝΟΥΣ

προγνώσει αὐτοῦ τῶν προειρημένων ἐνδεχομένων δύο, ἐνδε-
χομένου τοῦ εἶναι ἑνὶ αὐτῶν, τὸ ἀληθὲς προγινώσκων, προ-
γνώσεται τὸν Ἰούδαν προδότην γενέσθαι· τὸ δὲ περὶ οὗ ἡ
γνῶσις ἐνδέχεται καὶ ἑτέρως γενέσθαι· καὶ λέγοι ἂν ἡ γνῶσις
τοῦ Θεοῦ, ὅτι ἐνδέχεται μὲν τόνδε τόδε ποιῆσαι, ἀλλὰ καὶ
τὸ ἐναντίον· ἐνδεχομένων δὲ ἀμφοτέρων, οἶδα ὅτι τάδε
43 ποιήσει. Οὐ γὰρ ὥσπερ, ὁ Θεὸς εἴποι ἄν, οὐκ ἐνδέχεται
τόνδε τινὰ τὸν ἄνθρωπον πτῆναι, οὕτω χρησμὸν, φέρε εἰ-
πεῖν, περί τινος διδοὺς ἐρεῖ ὅτι οὐκ ἐνδέχεται τόνδε σωφρο-
νῆσαι· δύναμις μὲν γὰρ πάντῃ οὐκ ἔστι τοῦ πτῆναι οὐδαμῶς p. 289
ἐν τῷ ἀνθρώπῳ, δύναμις δέ ἐστι τοῦ σωφρονῆσαι καὶ τοῦ
44 ἀκολαστῆσαι. Ὧν ἀμφοτέρων δυνάμεων ὑπαρχουσῶν, ὁ μὴ
προσέχων λόγοις ἐπιτρεπτικοῖς καὶ παιδευτικοῖς ἑαυτὸν ἐπι-
δίδωσι τῇ χειρίστῃ· κρείττονι δὲ, ὁ ζητήσας τὸ ἀληθὲς, καὶ
βιῶσαι βεβουλημένος κατ' αὐτό. Οὐ ζητεῖ δὲ ὅδε μὲν
τἀληθῆ, ἐπεὶ ἐπιρρέπει ἐπὶ τὴν ἡδονήν· ὅδε δὲ ἐξετάζει περὶ
αὐτῶν, αἱρεθεὶς ὑπὸ τῶν κοινῶν ἐννοιῶν καὶ λόγου προτρεπτι-

d 4. γεγονότων] ἐνδεχομένου Orig. et mox ἑνὶ αὐτῶν pro ἐν αὐτῷ. 8. ἑτέρως] ἑτέρῳ B.E. ἡ et καὶ om. F. λέγοι] λέγει D. 9. μὲν τόνδε] μὲν om. C. 11. τάδε] ἴσ. τόδε Vigeri marg. et sic Orig. 12. οὐ γὰρ ὥσπερ—τυγχάνον om. B. ult. μὲν γὰρ] μὲν om. F.G.
p. 289. 2. ὧν] τῶν E.I. 4. ἐπιτρεπτικοῖς] ἐπιστρεπτικοῖς I. 5. χειρίστῃ] χείρονι Orig. qui pergit τῇ κρ. 6. τὸ ἀλ.] τἀλ. C.D.F.G. 7. ὅδε μὲν] ὁ μὲν C.F.G. 9. αἱρεθεὶς] ἐπεὶ ᾑρέθη Orig.

prænovit, ut rei cujusque veritatem in se ipso prænoscit, ita Judam re ipsa
proditorem futurum prænoscet, cum interea quod eum in modum cog-
noscit, aliter ex sese evenire posset. Itaque non immerito divinæ præno-
tioni ejusmodi oratio tribuatur, Accidere omnino potest, uti hoc ab isto
fiat; nec minus tamen, uti contrarium: ego vero, cum fieri utrumque
43 possit, alterum hoc futurum novi. Neque enim Deus, quemadmodum
ut certus hic homo volet, fieri non posse pronuntiat, ita perinde ac si
aliqua de re oraculum ederet, hunc aut illum temperantem fieri posse
negat. Nam cum nulla prorsus ad volandum facultate instructus homo
sit, ejusdem tamen potestatis est, vel temperanter, vel intemperanter
44 vivere. Ita cum utramque facultatem habeat, qui cohortationes et doc-
trinæ præcepta negligit, deteriori sese permittit; qui vitæ ad veritatis
normam exigendæ studio, in ejus indagatione versatur, is ad meliorem
sese adjungit. Cæterum, quod alter de vero indagando minus laboret,
voluptatis id cupiditate fit; alter vero, quod ejus studio magnopere tenea-
tur, hoc certo quodam proprioque consilio facit, ad quod partim ipsa

ΩΡΙ-
ΓΕ-
ΝΟΥΣ

45 κοῦ. Πάλιν δ' αὖ ὅδε μὲν αἱρεῖται τὴν ἡδονὴν, οὐχὶ οὐ b
δυνάμενος ἀντιβλέπειν αὐτῇ, ἀλλ' οὐκ ἀγωνιζόμενος· ὅδε δὲ
καταφρονεῖ αὐτῆς, τὸ ἄσχημον ὁρῶν τὸ ἐν αὐτῇ πολλάκις
46 τυγχάνον. Ὅτι μέντοι γε ἡ πρόγνωσις τοῦ Θεοῦ οὐκ ἀνάγ-
κην ἐπιτίθησι τοῖς περὶ ὧν κατείληφε, πρὸς τοῖς εἰρημένοις
καὶ τοῦτο λελέξεται, ὅτι πολλαχοῦ τῶν γραφῶν ὁ Θεὸς κε-
λεύει τοῖς προφήταις κηρύσσειν μετάνοιαν, οὐ προσποιησά-
μενος τὸ ἐγνωκέναι πότερον οἱ ἀκούσαντες ἐπιστρέψουσιν, ἢ
τοῖς ἁμαρτήμασιν ἑαυτῶν ἐμμενοῦσιν· ὥσπερ ἐν τῷ Ἱερεμίᾳ
47 λέγεται, Ἴσως ἀκούσονται καὶ μετανοήσουσιν. Οὐ γὰρ ἀγνοῶν c
ὁ Θεὸς πότερον ἀκούσουσιν, ἢ οὔ, φησὶν, Ἴσως ἀκούσονται καὶ
μετανοήσουσιν, ἀλλ' οἱονεὶ τὸ ἰσοστάσιον τῶν δυνάμεων γε-
νέσθαι δεικνὺς ἐκ τῶν λεγομένων, ἵνα μὴ προκατηγγελμένη
ἡ πρόγνωσις αὐτοῦ καταπεσεῖν ποιήσῃ τοὺς ἀκούοντας, δόξαν
ἀνάγκης παριστᾶσα, ὡς οὐκ ὄντος ἐπ' αὐτοῖς τοῦ ἐπιστρέψαι,

a 11. δ' αὖ] τ' αὖ Orig. et om. *μέν*. b. οὐ] ὁ C. qui mox *αὐτήν*. 3. *αὐτῇ*] *αὐτῆς* C. 4. *τυγχάνειν* F.G. 6. *κατείληφε*] *προκατείληφε* Orig. *προειρημένοις*] *εἰρημ.* B.C.D.G. Orig. 7. *λέξεται*] *λελέξεται* F.G. Orig. 8. *θεὸς*] *ὁ θεὸς* B.C.D.F.G.I. Orig. *τοὺς προφήτας*] *τοῖς προφηταῖς* B.C.D.F.G. 10. *ἀκούσαντες*] *ἀκούσονται* B. 11. *ἑαυτῶν*] *αὐτῶν* B.C.F.G. c. *οὐ γὰρ—μετανοήσουσιν* om. I. 2. *ἀκούσουσιν*] *ἀκούσωσιν* C. *μετανοήσουσιν* Orig. Tum *ἢ οὔ—ἁμαρτημάτων* om. B. 5. *ἐκ τῶν*] *αὐτῶν* C.F.G. 6. *ποιήσῃ*] *ποιήσει* C. *προκαταπεσεῖν* D.F.G.I. Orig. 7. *παριστᾶσα*] *παριστῶσαν* C.F.G. 8. *τοῦ*] *τὸ* Orig.

45 notione sensuque communi, partim cohortatione adductus est. Præterea
voluptatem alter non eo complectitur, quod adversus eam consistere ne-
queat, sed quod pugnare cum ea luctarique nolit: calcat eandem alter,
46 quod adjunctam ei ut plurimum turpitudinem ferre non possit. Ac nullam
prorsus a divina prænotione, rebus iis quas prævidet, necessitatem imponi;
cum superioribus argumentis, tum hoc insuper efficitur, quod in sacris
passim literis prophetæ ad pœnitentiam homines cohortari jubeantur,
idque perinde, ac si utrum ii meliorem ad frugem sese recepturi, an suis
in sceleribus hæsuri porro ac perstituri sint, ignoraret. Sic apud Hiere-
47 miam habetur, *Forsitan audient, et agent pœnitentiam.* Neque enim, quod
audituri sint nec ne, minus intelligat, idcirco hunc in modum ipse loquitur,
Forsitan audient, et agent pœnitentiam, sed ut illam quodammodo parem
in utramque partem, vim facultatum his verbis ostendat: ne qui jam ante
prænotionis ejus certitudinem audierint, ii proinde ac si et ea necessitatem
inferret, nec meliorem vitam instituere arbitrii foret sui, animos deinceps
ac spem omnem abjiciant, adeoque in peccatum ab illa propemodum im-

ΩΡΙΓΕΝΟΥΣ

48 καὶ οἱονεὶ καὶ αὕτη αἰτία γένηται τῶν ἁμαρτημάτων. Ἢ
πάλιν τοῖς ἐκ τοῦ ἀγνοεῖν τὸ προεγνωσμένον καλὸν δυναμέ-
νοις ἐν τῷ ἀγωνίσασθαι καὶ ἀντιτείνειν πρὸς τὴν κακίαν ἐν
ἀρετῇ βιῶσαι, αἰτία γένηται ἡ πρόγνωσις ἐκλύσεως, οὐκ ἔτι d
εὐτόνως ἱσταμένοις κατὰ τῆς ἁμαρτίας, ὡς πάντως ἐσομένου
τοῦ προειρημένου. Καὶ οὕτω γὰρ οἷον ἐμπόδιον γένοιτ' ἂν
49 ἡ πρόγνωσις τοῦ ἐσομένου καλοῦ. Πάντα γοῦν χρησίμως ὁ
Θεὸς τὰ κατὰ τὸν κόσμον οἰκονομῶν εὐλόγως ἡμᾶς καὶ πρὸς
τὰ μέλλοντα ἐτύφλωσεν. Ἡ γὰρ γνῶσις αὐτῶν ἀνῆκε μὲν
ἡμᾶς ἀπὸ τοῦ ἀθλεῖν κατὰ τῆς κακίας, ἐπέτρεψε δ' ἂν δόξασα
κατειλῆφθαι, πρὸς τὸ μὴ ἀντιπαλαίσαντας ἡμᾶς τῇ ἁμαρτίᾳ,
50 τάχιον αὐτῇ ὑποχειρίους γενέσθαι. Ἅμα δὲ καὶ μαχόμενον
[171] ἐγίνετο τῷ καλὸν καὶ ἀγαθὸν γενέσθαι τινὰ τὸ τὴν πρόγνω- p. 290
σιν ἐληλυθέναι εἰς τόνδε τινά, ὅτι πάντως ἔσται ἀγαθός.
Πρὸς οἷς γὰρ ἔχομεν καὶ σφοδρότητος καὶ τάσεως πλείονος
χρεία πρὸς τὸ καλὸν καὶ ἀγαθὸν γενέσθαι· προκαταληφθεῖσα
δὲ ἡ γνῶσις τοῦ πάντως καλὸν καὶ ἀγαθὸν ἔσεσθαι ὑπεκλύει

c 8. καὶ οἱονεὶ καὶ D.E. Steph. cum Orig. Vigeri ed. om. καὶ οἱονεί· d 2. κατὰ τῆς] καὶ τῆς F. 4. γὰρ οἷον] γὰρ om. B.C.F.G. 6. ὁ θεὸς τὰ κατὰ τὸν κόσμον] τοῦ θεοῦ τὸν κόσμον B. 8. ἡ γὰρ γνῶσις— ἐσόμεθα om. B. πρόγνωσις Orig. 9. ἐπέτρεψε] ἐπέτριψε C.F.G.I. 10. τὸ μὴ] τοὺς μὴ E.I. 13. ἐγίνετο] ἐγένετο D.F.G. μαχομένην ἐγίνετο τὸ καλόν E.I. ἐγίνετο om. Orig.

p. 290. πρόγνωσιν] τὸ τὴν προγ. C. qui mox οἷς ἔχομεν γὰρ cum G. πρὸς οἷς ἔχομεν καὶ γὰρ Orig. 3. ἔχομεν γὰρ καὶ F. 7. γενέσθαι] ἔσεσθαι E. Orig.

48 pellantur. Deinde vero, ne qui dum prævisum eos bonum lateret, pugna cum improbitate suscepta, vitam ex virtutis norma instituere potuissent, eos talis contra prænotio remissiores ac solutiores efficiat, quod dum plane bonum illud futurum putarent, minori propterea cum peccato animi contentione pugnarent. Sic enim ipsa prænotio futurum quoque bonum
49 impediret. Quamobrem qui orbem universum præcipuo rerum bono moderatur Deus, idem nos sapienter omnino futuris in rebus cæcos esse voluit. Earum enim cognitio, uti nostrum adversus improbitatem impetum constantiamque frangeret, ita dum certa fixaque videretur, longe nos citius atque facilius, omni contentione abjecta, sceleris in dominatum ac
50 potestatem adduceret. Imo pugnarent ista secum, ut idem et probus evaderet, et certo probum se futurum esse prænosset. Nam cum præter ea quæ nobis indita sunt, magno insuper ad virtutem parandam ac vehementi conatu opus habeamus, tum occupata semel ista virtutis certo

ΩΡΙ-
ΓΕ-
ΝΟΥΣ

τὴν ἄσκησιν. Διόπερ συμφερόντως οὐκ ἴσμεν οὔτε εἰ ἀγα-
θοὶ οὔτε εἰ πονηροὶ ἐσόμεθα.
51 Ἐπεὶ δὲ εἰρήκαμεν ὅτι ἀπετύφλωσεν ἡμᾶς πρὸς τὰ μέλ-
λοντα ὁ Θεὸς, ζητούμενόν τι ῥητὸν ἀπὸ τῆς Ἐξόδου ὅρα εἰ b
δυνάμεθα οὕτω σαφηνίσαι· Τίς ἐποίησε δύσκωφον, καὶ κωφὸν,
καὶ βλέποντα καὶ τυφλόν; Οὐκ ἐγὼ Κύριος ὁ Θεός; Ἵνα τὸν
αὐτὸν καὶ τυφλὸν καὶ βλέποντα πεποιηκὼς ᾖ· βλέποντα μὲν
πρὸς τὰ ἐνεστηκότα, τυφλὸν δὲ πρὸς τὰ μέλλοντα. Τὸ
γὰρ περὶ τοῦ δυσκώφου καὶ κωφοῦ οὐ τοῦ παρόντος καιροῦ
52 διηγήσασθαι. Ὅτι μέντοι γε πολλῶν τῶν ἐφ' ἡμῖν αἴτια
πλεῖστα τῶν οὐκ ἐφ' ἡμῖν ἐστὶ, καὶ ἡμεῖς ὁμολογήσομεν· ὧν
μὴ γενομένων, λέγω δὲ τῶν οὐκ ἐφ' ἡμῖν, οὐκ ἂν τάδε τινὰ c
τῶν ἐφ' ἡμῖν ἐπράττετο. Πράττεται δὲ τάδε τινὰ τῶν ἐφ'
ἡμῖν ἀκόλουθα τοῖσδε τοῖς προγενομένοις οὐκ ἐφ' ἡμῖν, ἐνδε-
χομένου τοῦ ἐπὶ τοῖς αὐτοῖς προγενομένοις καὶ ἕτερα πρᾶξαι
53 παρ' ἃ πράττομεν. Εἰ δέ τις ζητεῖ τὸ ἐφ' ἡμῖν ἀπολε-

a 8. *ἴσμεν οὔτε εἰ* D.F.G. Orig. al. om. *οὔτε*. 9. *ἐπεὶ*] *ἐπειδὴ* B.D.G. b 3. *δύσκωφον*] *δύσκωρον* B. *δυσκώφου* F.G. 5. *αὐτὸν καὶ* om. Orig. *καὶ* om. I. *καὶ τυφ. καὶ βλ.*] *καὶ βλ. καὶ τ.* C.F.G. 6. *πρὸς τὰ*] *πρὸς* om. E.I. 9. *ὅτι*] *ὃ* F. 11. *ὧν μὴ γεν.* om. B. c 2. *τῶν ἐφ'*] *τῶν* om. B.C.F.G.I. *τὰ ἐφ'* Orig. *πράττει*] *ἴσ. πράττεται* Vigeri margo, et sic Orig. 4. *προεγνωσμένοις*] *προγενομένοις* B.C.F.G.I. Orig. et sic infra. 5. *τοῦ ἐπὶ* om. E.I. 7. *εἰ δέ τις—ἔχειν αὐτοὺς* om. B.

futuræ præceptaque cognitio, vim exercitationis omnem debilitat. Ita probine futuri simus an improbi, summo utique nostro bono ignoramus.

51 Sed quoniam divino consilio factum esse diximus, ut rebus in futuris cæcutiamus, vide num inde fortassis huic Exodi quæstioni lucis a nobis aliquid afferri possit. *Quis fecit surdastrum ac surdum, videntem et cæcum? nonne ego Dominus Deus?* Ut cæcum pariter ac bene oculatum hoc sensu fecisse dicatur, in præsentibus oculatum, cæcum in futuris. Nam surdastri quidem surdique rationem ac discrimen exquirere, hujus loci non est.

Exod. 4, 11.

52 Quanquam, plurima sane, quæ juris nostri non sunt, multorum etiam quæ nostra in potestate sint, caussam interdum esse, fatemur ipsi quoque: ac propterea nisi ea, hoc est, in quæ potestatis ac juris habemus nihil, antecederent, ne hæc quidem aut illa sequutura esse, quæ nostra tamen ex libertate pendent. Cæterum ita quidem eorum nonnulla, quæ in nobis sita sunt, alia quæ potestatis nostræ non sunt, antegressa consequuntur; ut iis etiam antegressis, a nobis præter ea quæ fiunt, fieri quoque alia

53 possint. Quod si erit quispiam, qui voluntatis nostræ vim ac potestatem

ΩΡΙΓΕΝΟΥΣ

λυμένον εἶναι τοῦ παντὸς, ὥστε μὴ διὰ τάδε τινὰ συμβεβη-
κότα ἡμῖν ἡμᾶς αἱρεῖσθαι τάδε, ἐπιλέλησται κόσμου μέρος
ὤν, καὶ ἐμπεριεχόμενος ἀνθρώπων κοινωνίᾳ καὶ τοῦ περιέχον-
54 τος. Μετρίως μὲν οὖν ὡς ἐν ἐπιτομῇ οἶμαι ἀποδεδεῖχθαι, d
τὸ τὴν πρόγνωσιν τοῦ Θεοῦ μὴ εἶναι καταναγκαστικὴν τῶν
προεγνωσμένων πάντως.

Φέρε δὲ, ἀγωνισώμεθα καὶ περὶ τοῦ τοὺς ἀστέρας μηδα-
μῶς εἶναι ποιητικοὺς τῶν ἐν ἀνθρώποις, σημαντικοὺς δὲ μό-
55 νον. Σαφὲς δὴ ὅτι εἰ ὅδε τις ὁ σχηματισμὸς τῶν ἀστέρων
ποιητικὸς νομίζοιτο τῶνδέ τινων τῶν γινομένων περὶ τὸν
ἄνθρωπον· (ἔστω γὰρ περὶ τούτου νῦν ζητεῖσθαι τὸν λόγον·)
οὐκ ἂν ὁ σήμερον, φέρε εἰπεῖν, γενόμενος σχηματισμὸς περὶ
τόνδε δύναται νοεῖσθαι πεποιηκέναι τὰ παρεληλυθότα περὶ
ἕτερον ἢ καὶ περὶ ἑτέρους· πᾶν γὰρ τὸ ποιοῦν πρεσβύτερον
56 τοῦ πεποιημένου. Ὅσον δὲ ἐπὶ τοῖς μαθήμασι τῶν τὰ τοι-
αῦτα ἐπαγγελλομένων, πρεσβύτερα τοῦ σχηματισμοῦ προ- p. 291
57 λέγεσθαι νομίζεται περὶ τοὺς ἀνθρώπους. Ἐπαγγέλλονται

d 4. ἀγωνισώμεθα] ἀγωνισόμεθα C.D. 7. δὴ] δὲ C.F.G. Orig. ὅδε] ὅτι δὲ C. 8. νομίζοιτο om. F. 9. τῶν ἀνθρώπων] ἴσ. τὸν ἄνθρωπον. Vig. marg. Sic Orig. 13. δι' ἕτερον] περὶ ἕτερον ἢ καὶ περὶ ἑτέρου (ἑτέρους I.) D.E.I. ἢ περὶ ἑτέρου F.G. περὶ ἑτέρους Vigeri margo. περὶ ἕτερον ἢ καὶ περὶ ἑτέρους Orig. 14. πεποιημένου] ποιουμένου F.G. 16. ἐπαγγελλομένων] ἐπηγγελμένων Orig.
p. 291. 2. περὶ] τὰ περὶ Orig.

adeo nulla cum universo conjunctione teneri volet, ut hoc aut illud, quod
certa quædam antecesserint, eligi a nobis interdum optarique neget: is
profecto se mundi partem esse oblitus erit, ac sese hominum communione,
54 totiusque circumfusi aëris ambitu contineri. Ac mihi quidem pro loci hujus
ratione modice adhuc, quasique compendio demonstrasse videor, nihil
omnino rebus iis quas prænoverit, a divina prænotione necessitatis afferri.

Deinceps id agamus, ut ne stellas quidem ipsas rerum humanarum ullo
55 modo caussas, sed earum tantum signa quædam esse ostendamus. Pri-
mum igitur id plane constat, ut certum quendam stellarum situm, cer-
tarum quoque rerum, quæ ad hominem pertineant, caussam esse demus:
(nam de hoc in præsentiarum instituta quæstio sit:) qui tamen hodierna
die, verbi gratia, certo cuidam homini earum situs extiterit, eundem rerum
earum caussam esse nullo modo potuisse, quæ in alio quopiam, aliisve
pluribus jam ante contigerint. Quicquid enim aliud efficit, eo quod efficitur
56 prius esse debet. Atqui eorum præceptis qui artem istam profitentur, id
quoque fieri posse vulgo putant, ut quæ tali situ priora sunt, de hominibus
57 prædicantur. Quippe sibi enim hoc isti sumunt, ut ubi semel horam unius

Stellæ rerum humanarum caussæ non sunt.

ΩΡΙΓΕΝΟΥΣ

γὰρ τόνδε τινὰ τρόπον, τὴν ὥραν λαβόντες τοῦδε τοῦ ἀνθρώπου, καταλαμβάνειν πῶς ἕκαστος τῶν πλανωμένων κατὰ κάθετον, ἢ τῆσδε τῆς μοίρας τοῦ ζῳδίου, ἢ τῶν ἐν αὐτῷ λεπτῶν, καὶ ποῖος ἀστὴρ τοῦ ζῳδιακοῦ κατὰ τοῦ ἀνατολικοῦ ἐτύγχανεν ὁρίζοντος, ποῖός τε κατὰ τοῦ δυτικοῦ, καὶ τίς κατὰ τοῦ μεσουρανήματος, καὶ τίς κατὰ τοῦ ἀντιμεσουρανή-
58 ματος. Καὶ ἐπὰν θῶσι τοὺς ἀστέρας, οὓς νομίζουσι ἑαυτοῖς ἐσχηματικέναι, κατὰ τὸν καιρὸν τῆς τοῦ δεῖνος γενέσεως b
ἐσχηματισμένους οὑτωσὶ, τῷ χρόνῳ τῆς ἀποτέξεως τοῦ περὶ οὗ σκοποῦσιν, οὐ μόνον τὰ μέλλοντα ἐξετάζουσιν, ἀλλὰ καὶ τὰ παρεληλυθότα, καὶ τὰ πρὸ τῆς γενέσεως καὶ τῆς σπορᾶς τοῦ περὶ οὗ λόγος γεγενημένα, περὶ πατρὸς, ποταπὸς ὢν τυγχάνει, πλούσιος ἢ πένης· ὁλόκληρος τὸ σῶμα, ἢ σεσινωμένος· τὸ ἦθος βελτίων, ἢ χείρων· ἀκτήμων, ἢ πολυκτήμων· τήνδε τὴν πρᾶξιν, ἢ τήνδε ἔχων. Τὰ δ' αὐτὰ καὶ περὶ τῆς c
μητρὸς, καὶ περὶ πρεσβυτέρων ἀδελφῶν, ἐὰν τύχωσιν ὄντες.
59 Ἔστω δὲ ἡμᾶς ἐπὶ τοῦ παρόντος προσίεσθαι αὐτοὺς καταλαμβάνειν τὰ ἐν τόπῳ ἀληθῆ, περὶ οὗ καὶ αὐτοῦ ὕστερον

a 3. τρόπον] τόπον C.F.G.I. Mox κέθετον C.F. τόπον Orig. λαβόντες] λαμβάνοντες F. 6. αὐτῇ] αὐτῷ I. Orig. 7. κατὰ] καὶ F. 9. καὶ τὶς—ἀντιμεσουρανήματος om. C.F. b. δεῖνος] δείνους C. 3. τοῦ] καὶ τοῦ C.G. ἀποτέξεως Vigeri marg. pro ἀποτάξεως. et sic F. Orig. 4. ἐξετάζουσιν] ἐξετάζεσθαι C.F.G. Mox τὰ om. D. 6. λόγος] ὁ λόγος D.F.G. γεγενημένου] γεγενημένα I. Orig. 7. ποταπὸς] πῶς E. c 2. ἔστω] ἴστω E. 4. τῷ τόπῳ] τῷ om. C.D.F.G. Orig.

alicujus hominis singularem certo quodam modo deprehenderint, exploratum ipsi continuo habeant, ecquem ad perpendiculum siderum errantium quodlibet situm in hac illave signi parte, partisque minutiis obtineret; simulque quodnam zodiaci astrum in orientali horizonte, quodnam in occidentali versaretur, quænam item medium utriusque hemisphærii
58 cœlum adversa positione occuparent. Atque ubi stellas eas, quarum sibi animo figuram videntur et collocationem informasse, hoc illove situ sub alicujus ortum fuisse posuerunt; tum ii vero ex illo ipso tempore, quo editus in lucem is est, cujus fatum rimantur, non futura modo, sed etiam præterita, quæque ejusdem et ortum et satum antecesserint, conjiciunt: qualem ipse patrem habeat; divitem an tenuem, integri corporis, an mutili; bonis an malis moribus; amplane an angusta re familiari: hoc an illud complexum vitæ genus: similiaque tam de
59 matre, quam de fratribus, si qui sint, natu majoribus inquirunt. Nos vero, ut demus interim, (quod ipsum tamen falsi postea coarguemus) ex-

ΩΡΙ-ΓΕ-ΝΟΥΣ

δείξομεν ὅτι οὐχ οὕτως ἔχει· πευσώμεθα τοίνυν τῶν ὑπο-
λαμβανόντων κατηναγκάσθαι ὑπὸ τῶν ἄστρων τὰ τῶν ἀν-
θρώπων πράγματα τίνα τρόπον ὁ σήμερον σχηματισμὸς ὁ
[172] 60 τοιόσδε δύναται πεποιηκέναι τὰ πρεσβύτερα. Εἰ γὰρ τοῦτο
ἀμήχανον, καθ' ὃ δὴ ὅ τι εὑρίσκεται τὸ περὶ τῶν πρεσβυτέρων
τοῦ χρόνου ἀληθὲς, σαφὲς τὸ μὴ πεποιηκέναι τοὺς ἀστέρας d
οὑτωσὶ κινουμένους ἐν οὐρανῷ τὰ παρεληλυθότα καὶ γενόμενα
πρὸ τοῦ οὕτως ἔχειν αὐτούς. Εἰ δὲ τοῦτο, τάχα ὁ προσ-
ιέμενος ἀληθεύειν αὐτοὺς, ἐπιστήσας τοῖς περὶ τῶν μελλόν-
των λεγομένοις, ἐρεῖ ἀληθεύειν αὐτοὺς οὐ τῷ ποιεῖν τοὺς ἀστέ-
61 ρας, ἀλλὰ τῷ σημαίνειν μόνον. Ἐὰν δέ τις φάσκῃ τὰ μὲν
παρεληλυθότα μὴ ποιεῖν τοὺς ἀστέρας, ἀλλὰ ἄλλους μὲν
σχηματισμοὺς τοὺς τῆς ἐκείνων γενέσεως αἰτίους γεγονέναι,
τὸν δὲ νῦν σχηματισμὸν σεσημαγκέναι μόνον, τὰ μέντοι
μέλλοντα δηλοῦσθαι ἀπὸ τοῦ ἐνεστηκότος σχηματισμοῦ τῆς
τοῦ δεῖνος γενέσεως· παραστησάτω τὴν διαφορὰν τοῦ ἀπὸ
τῶν ἀστέρων δύνασθαι δεῖξαι, ὅτι τάδε μὲν νενόηται ἀληθῆ,
62 ὡς ἀπὸ ποιούντων, τάδε δὲ ὡς ἀπὸ σημαινόντων μόνον. Μὴ p. 292

c 6. *πευσόμεθα* D. Orig. 9. *μετασχηματισμὸς* D. 10. *εἰ γὰρ*] *εἰ δὲ* Orig. 11. *καθ' ὃ*] *καθ' ὃν* I. d 5. *αὐτοὺς*] *λεγομένοις αὐτοῖς* B. 7. *τῷ*] *τὸ* E.I. 10. *γνώσεως*] *γενέσεως* B.C.F.G. Orig. Supra *τοὺς* om. Orig. 12. *ἐνστηκότος* D. ult. *ὅτι τάδε—ἑκάστῳ οὕτως* om. B. ni fallor.

quisite ab iis totam illam situs astrorum locique rationem teneri posse:
quæramus ex iis tamen, qui rebus humanis vim a sideribus afferri putant,
qui tandem hodiernus iste situs rerum tempore superiorum caussa esse
60 possit. Nam id si fieri nullo modo potest, profecto etiam, dum iis de
rebus veri quidpiam invenitur, plane consequens est, ut præsens hic
astrorum in cœlo motus, quæ jam ante contigerunt, quam ejusmodi situm
obtinerent, efficere non potuerit. Sin aliquis forte erit, qui ad veritatem
iis hoc in genere concedendam, rerum futurarum præsensionibus addu-
catur; fatendum ipsi tamen, verum ab illis eo prænuntiari tantum, quod
61 illud astra futurum significent, non quod efficiant. Quod si alius præterita
non jam a sideribus effici concedet, sed cognitionis eorum caussa in priores
alias positiones figurasque translata, solam hodierno situi significationem
relinquet: sic tamen, ut præsenti siderum sub ortum certi hujus hominis
collocationi, certam futurorum prænotionem deberi velit: afferat ille porro
discriminis rationem, quamobrem alia tanquam effecta vi siderum, alia
62 tanquam ab iis modo significata, vere cognosci posse defendat. Quod illi

ΩΡΙΓΕΝΟΥΣ

ἔχοντες δὲ δοῦναι τὴν διαφορὰν εὐγνωμόνως συγκαταθήσονται, μηδὲν τῶν κατὰ τοὺς ἀνθρώπους ἀπὸ τῶν ἀστέρων γίνεσθαι, ἀλλ' ὡς προειρήκαμεν, εἰ ἄρα, σημαίνεσθαι· ὡς εἰ μὴ καὶ ἀπὸ τῶν ἀστέρων τις ἐλάμβανε τὰ παρεληλυθότα καὶ τὰ μέλλοντα, ἀλλ' ἀπὸ τοῦ νοῦ τοῦ Θεοῦ διά τινος λόγου
63 προφητικοῦ. Ὥσπερ γὰρ προαπεδείξαμεν, ὅτι οὐδὲν λυπεῖ τὸν περὶ τοῦ ἐφ' ἡμῖν λόγον τὸ τὸν Θεὸν εἰδέναι τὰ πραχθησόμενα ἑκάστῳ, οὕτως οὐδὲ τὰ σημεῖα, ἃ ἔταξεν ὁ Θεὸς b εἰς τὸ σημαίνειν, ἐμποδίζει τὸ ἐφ' ἡμῖν· ἀλλὰ παραπλησίως βιβλίῳ περιέχοντι τὰ μέλλοντα προφητικῶς ὁ πᾶς οὐρανὸς δύναται, οἱονεὶ βίβλος ὢν Θεοῦ, περιέχειν τὰ μέλλοντα.
64 Διόπερ ἐν τῇ προσευχῇ τοῦ Ἰωσὴφ δύναται οὕτω νοεῖσθαι τὸ λεγόμενον ὑπὸ τοῦ Ἰακὼβ, Ἀνέγνων γὰρ ἐν ταῖς πλαξὶ τοῦ οὐρανοῦ ὅσα συμβήσεται ὑμῖν καὶ τοῖς υἱοῖς ὑμῶν. Τάχα δὲ καὶ τὸ, εἱλιγήσεται ὁ οὐρανὸς ὡς βιβλίον, τοὺς λόγους τοὺς c περιεχομένους σημαντικοὺς τῶν ἐσομένων δηλοῖ ἀπαρτισθησομένους καὶ, ἵν' οὕτως εἴπω, πληρωθησομένους, ὥσπερ λέ-
65 γονται αἱ προφητεῖαι πεπληρῶσθαι τῷ ἐκβεβηκέναι. Καὶ

p. 292. δὲ om. Orig. qui mox τῷ μηδέν. 3. γίνεσθαι—ἀστέρων om. F. 5. μὴ καὶ] καὶ μὴ Orig. 8. γὰρ om. Orig. b 2. ἐμποδίζειν] ἐμποδίζει B.F.G.I. Orig. Mox τῷ Orig. 3. ἀλλὰ] ἀλλὰ τὰ E. 6. θεοῦ] τοῦ θεοῦ F.G. περιέχει I. 8. ἀνέγνω] ἀνέγνων B.C.F.I. Orig. Mox πραξὶ C. 9. συμβήσεται] συμβήσονται I. c 2. δηλοῖ] δηλοῖ ὡς B. 5. ἐκβεβηκέναι] ἐκβεβληκέναι E.

discrimen cum assignare nullum possint, nobiscum deinceps ingenue, nihil eorum quæ ad homines pertineant, a sideribus effici fateantur; sed tantum, uti jam ante diximus, utcunque significari. Quod perinde omnino fuerit, ac si quis non jam ex iisdem sideribus, sed per aliquam prophetiam,
63 ex ipsamet Dei mente res aut præteritas aut futuras intelligeret. Quemadmodum enim superius ostensum a nobis est, quod Deus, quæ a quoque profectura sint omnia prænoverit, id nihil prorsus voluntatis nostræ potestati officere: ita nec eidem, quæ rerum signa Deus esse voluit, incommodant. Sed voluminis alicujus instar, futurum prophetica dictione complexi, universo quoque cœlo, qui Dei liber quidam est, contineri
64 futura possunt. Itaque hunc in modum intelligi potest, quod in Josephi precatione a Jacobo dicitur, *Legi in tabulis cœli, quæcunque accident vobis, et filiis vestris*. Quin etiam illud, *Complicabitur cœlum quasi liber*, eo fortassis pertinet, ut impressas ipsi rerum futurarum significationes perfectum quasique completum iri demonstret, quemadmodum ipso rerum
65 exitu completa vulgo prophetarum dicuntur oracula. Atque ita signorum

Lib. apocr.

Isa. 34, 4.

οὕτως ἔσται εἰς σημεῖα τὰ ἄστρα γεγονότα, κατὰ τὴν λέγουσαν φωνὴν, Ἔστωσαν εἰς σημεῖα. Ὁ δὲ Ἰερεμίας ἐπιστρέφων ἡμᾶς πρὸς ἑαυτοὺς, καὶ περιαιρῶν φόβον τὸν ἐπὶ τοῖς νομιζομένοις σημαίνεσθαι, τάχα δὲ καὶ ὑπολαμβανομένοις ἐκεῖθεν ἔρχεσθαι, φησὶν, Ἀπὸ τῶν σημείων τοῦ οὐρανοῦ μὴ φοβεῖσθε. d ΩΡΙΓΕΝΟΥΣ

66 Ἴδωμεν καὶ δεύτερον ἐπιχείρημα, πῶς οὐ δύνανται οἱ ἀστέρες εἶναι ποιητικοὶ, ἀλλ', εἰ ἄρα, σημαντικοί. Ἀπὸ πλείστων γὰρ ὅσων γενέσεών ἐστι λαβεῖν τὰ περὶ ἑνὸς ἀνθρώπου· (τοῦτο δὲ καθ' ὑπόθεσιν λέγομεν, συγχωροῦντες τὸ ἐπιστήμην αὐτῶν ἀναλαμβάνεσθαι ὑπ' ἀνθρώπων δύνασθαι·) φέρε γὰρ εἰπεῖν, περὶ τοῦ τόνδε πείσεσθαι τόδε, καὶ τεθνήξεσθαι περιπεσόντα λῃσταῖς καὶ ἀναιρεθέντα, φησὶ δύνασθαι λαμβάνειν ἀπό τε τῆς ἰδίας αὐτοῦ γενέσεως, κἂν τύχῃ ἔχων
67 ἀδελφοὺς πλείονας, ἀπὸ τῆς ἑκάστου αὐτῶν. Περιέχειν γὰρ οἴονται τὴν ἑκάστου γένεσιν, ἀδελφὸν ὑπὸ λῃστῶν τεθνηξόμενον, ὁμοίως καὶ τὴν τοῦ πατρὸς, καὶ τὴν τῆς μητρὸς, καὶ τὴν τῆς γαμετῆς, καὶ τῶν υἱῶν αὐτοῦ, καὶ τῶν οἰκετῶν, καὶ

c 6. καὶ D. 9. σημαίνεσθαι] ἐκμαίνεσθαι C.F.G. d. φοβεῖσθε ἴδωμεν] φοβῆσθε ἴδομεν C.F.G. φ. ἴδωμεν δὲ καὶ Orig. 4. ἀπὸ τῶν] τῶν om. B.C.D.F.G.I. Orig. γενέσεων] καὶ γεν. C.F.G. 5. ἀνθρώπου] οὐρανοῦ E.I. 6. τὸ ἐπιστήμην] τῇ ἐπιστήμῃ Orig. 8. γὰρ om. Orig. 9. τεθνήξεσθαι] τεθνηκέναι B. Supra τὴν pro τόνδε I. 12. κἂν τύχῃ] καὶ εἰ τύχοι Orig. ubi mox καὶ ἀπό. ἀδελφοὺς] ἀδελφοὺς πρεσβυτέρους C.F.G. 14. ἀδελφὸν] ἀδελφῶν E. ult. οἰκετῶν] αὐτοῦ addit Orig. hic et post φιλτάτων.

ut vice fungerentur, constituta divinitus astra fuerint, juxta illud, *Sint in signa.* Quanquam Hieremias, uti et nobis nos ipse reddat, eoque metu liberet, quem ea nobis afferre possent, quæ ab astris vel significari, vel proficisci quandoque videantur, ita monet, *A signis cœli nolite metuere.* Hier. 10, 2.

66 Jam vero, aliud præterea videamus argumentum, quod sideribus efficiendi nullam, sed aliquam tantum, (si vel ipsa tamen dari potest) significandi vim relinquat. Docebunt enimvero infiniti rerum ortus, quæ uni duntaxat homini eventura sint, (id quod tamen ex hypothesi dictum esse velim, perinde ac si eorum in cognitionem homines venire posse concedamus :) quod enim hic aut ille certi quidpiam subiturus sit, puta jugulandus a latronibus in quos inciderit ; hoc isti quidem partim ex singulari ejus ortu, partim ex fratrum, si plures numeret, singulorum natalitiis haberi
67 posse defendunt. Fratris enim cædem latronum manu futuram, singulorum, necnon parentis utriusque, imo conjugis etiam, liberorum, famulorum, ac necessariorum, adeoque interfectorum ipsorum fortassis ortu

ΩΡΙΓΕΝΟΥΣ

68 τῶν φιλτάτων· τάχα δὲ καὶ αὐτῶν τῶν ἀναιρούντων. Πῶς
οὖν δυνατὸν τὸν τοσαύταις γενέσεσιν, ἵνα αὐτοῖς τοῦτο συγ- p. 293
χωρηθῇ, ἐμπεριεχόμενον γίνεσθαι ὑπὸ τοῦ σχηματισμοῦ τῶν
ἀστέρων τῆσδε μᾶλλον τῆς γενέσεως ἢ τῶνδε; Ἀπίθανον
γὰρ καὶ τὸ φάσκειν τὸν σχηματισμὸν τὸν ἐν τῇ ἰδίᾳ τοῦδέ
τινος γενέσει ταῦτα πεποιηκέναι, τὸν δὲ ἐν τῇ τῶνδε γενέσει
69 μὴ πεποιηκέναι, ἀλλὰ σεσημαγκέναι μόνον. Ἠλίθιον γὰρ
τὸ εἰπεῖν, ὅτι ἡ πάντων γένεσις περιεῖχε καθ᾽ ἕκαστον ποιη-
[173] τικὸν τοῦ τόνδε ἀναιρεθῆναι· ὥστε ἐν γενέσεσιν, καθ᾽ ὑπό-
θεσιν λέγω, πεντήκοντα περιέχεσθαι τὸ τόνδε τινὰ ἀναιρε- b
θῆναι. Οὐκ οἶδα δ᾽ ὅπως δυνήσονται σῶσαι, τὸ τῶν μὲν ἐν
Ἰουδαίᾳ σχεδὸν πάντων τοιόνδε εἶναι τὸν σχηματισμὸν ἐπὶ
τῆς γενέσεως, ὡς ὀκταήμερον αὐτοὺς λαμβάνειν περιτομήν,
ἀκρωτηριαζομένους, καὶ ἑλκουμένους, καὶ φλεγμονῇ περιπεσο-
μένους, καὶ τραύμασι, καὶ ἅμα τῇ εἰς τὸν βίον εἰσόδῳ ἰατρῶν
δεομένους· τῶν δὲ ἐν Ἰσμαηλίταις τοῖς κατὰ τὴν Ἀραβίαν,
τοιόνδε, ὡς πάντας περιτέμνεσθαι τρισκαιδεκαετεῖς. Τοῦτο

ult. *ἀναιρούντων*] *ἀναιρεθέντων* B.C.D.F.G.
p. 293. *τὸν* om. Orig. qui infra *γενέσθαι*. 4. *ἀπείθανον* D. 6. *γενέσει*] *γενέσθαι* B.D.F.G. 7. *τόνδε ἐν τῇ—ἀστέρων* om. B. 8. *σεσημακέναι* F.G. 9. *ἡ* om. Orig. *ἁπάντων* F. 10. *ποιητικὸν*] *ἴσ. τὸ ποιητικὸν* Vigeri marg. Deest v. Orig. b. *οἶδα δ᾽*] *οἶδ᾽* C.F.G.I. 2. *τὸ τῶν*] *τῷ τῶν* C.D. 5. *ἀκρωτηριαζομένους τὰ μόρια* Orig. 6. *ἑλκομένους*] *ἑλκουμένους* C.F.G.I. Vigeri marg. Mox *περιπεσουμένους* D.F.G. Orig. Tum *τραύματι* Orig. 8. *δεομένους*] *δεδομένους τὸν* D. *τῶν*] *τῶν δὲ* I. 9. *ἀραβίαν*] *ἀρραβίαν* C.

68 inclusam teneri putant. Quemadmodum ergo fieri potest, ut qui tot aliorum, (demus enim hoc interim,) natalitiis involvitur, idem astrorum huic potius generationi quam cæteris præsidentium positioni addicatur? Incredibile enim est, positionem, quæ singulari unius cujusdam ortui præfuerit, hujusmodi exitus caussam fuisse: quæ cæterorum in natalitiis
69 extiterit, non fuisse, sed ejus modo significationem aliquam dedisse. Nec minus insulsum fuerit, omnibus ac singulis plurium istorum natalitiis hominis unius cædis caussam includere: quasi generationibus ex hypothesi quinquaginta, certi unius hominis occisio comprehensa teneretur. Jam intelligere profecto non possum, qui tandem Judæos omnes ea nasci astrorum positione defendent, ut octavo die circuncidi cunctos oporteat, itaque summa cute truncari, torqueri, ardenti tumore inflammari, lacerari vulneribus, postremo vix natos medicorum arte ac manibus indigere. Ismaelitas contra eos, qui Arabiam tenent, eo situ in lucem edi, ut omnes circa annum decimum tertium circuncidi necesse sit. Id enim hoc de

ΩΡΙΓΕΝΟΥΣ

70 γὰρ ἱστόρηται περὶ αὐτῶν. Καὶ πάλιν τῶνδέ τινων τῶν ἐν c Αἰθίοψι τοῖσδε τὰς κόγχας τῶν γονάτων περιαιρεῖσθαι, καὶ τῶν Ἀμαζόνων τοὺς ἑτέρους τῶν μαστῶν. Πῶς γὰρ ταῦτα ποιοῦσιν οἱ ἀστέρες τοῖσδε τοῖς ἔθνεσιν; Οἶμαι ὅτι εἰ ἐπιστήσαιμεν οὐδὲ μέχρι τοῦ στῆσαι δυνησόμεθά τι ἀληθὲς

71 εἰπεῖν περὶ αὐτῶν. Τοσούτων δὲ φερομένων ὁδῶν προγνωστικῶν, οὐκ οἶδ' ὅπως ἐξώκειλαν οἱ ἄνθρωποι ἐπὶ τὸ τὴν μὲν οἰωνιστικὴν καὶ τὴν θυτικὴν μὴ λέγειν περιέχειν τὸ ποιοῦν d αἴτιον, ἀλλὰ σημαίνειν μόνον, καὶ τὴν ἀστεροσκοπικήν, οὐκ

72 ἔτι δὲ τὴν γενεθλιαλογικήν. Εἰ γὰρ ἐπιγινώσκεται, (ἵνα καὶ χαρισώμεθα τὸ γινώσκεσθαι,) γίνεται δὲ ἐκεῖθεν ὅθεν ἡ γνῶσις λαμβάνεται, τί μᾶλλον ἀπὸ τῶν ἀστέρων ἢ ἀπὸ τῶν οἰωνῶν ἔσται τὰ γινόμενα, καὶ μᾶλλον ἀπὸ τῶν οἰωνῶν ἢ ἀπὸ τῶν σπλάγχνων τῶν θυομένων; (τί δὲ μᾶλλον ἀπὸ τῶν σπλάγχων τῶν θυομένων) ἢ ἀπὸ τῶν διαττόντων ἀστέρων; Ταῦτα μὲν οὖν ἐπὶ τοῦ παρόντος ἀρκέσει εἰς ἀναίρεσιν τοῦ ποιητικοὺς εἶναι τοὺς ἀστέρας τῶν ἀνθρωπίνων.

73 Ὅπερ δὲ συγκεχωρήκαμεν, οὐ γὰρ ἐλύπει τὸν λόγον, ὡς

c 3. μαστῶν] μασθῶν D. μαζῶν Orig. 5. ἐπιστῆσαι μὲν οὐδὲ μέχρι τοῦ στῆσαι] εἰ ἐπιστήσαιμεν οὐδὲ μέχρι τοῦ στῆναι Orig. 10. μὴ λέγειν] λέγειν μὴ Orig. d 4. γίνεται δὲ] γίνεσθαι Orig. 7. γινόμενα] γενόμενα C.D.F.G. Mox ἴσ. τι μᾶλλον Vigeri margo. 9. Verba ( ) inclusa addita sunt ex Origene.

70 hominum genere commemorant. Præterea qui fiat, ut certis quibusdam apud nonnullos Æthiopiæ populos genuum patellæ, Amazonibus mammarum altera resecetur. Quomodo enim similia, certis duntaxat in gentibus, siderum vis efficiat? Equidem sic existimo, veri nihil hoc in genere, in

71 quo vel leviter hærere liceat, excogitari a nobis, asserique posse. Cæterum, cum tam multæ prænoscendi artes circumferantur, non video, quamobrem in id potissimum homines impegerint, ut augurali et haruspicinæ efficiendi vim negarent, significandi tantum concederent, idem tamen de ea quæ in stellarum et natalitiorum consideratione versatur non sentiant.

72 Nam si cognosci futura possunt, (hoc enim in præsentia demus;) idemque cognitionis illorum est effectionisque principium: cur in stellas potius quam in aves, eorum quæ fiunt caussa conferatur? vel cur avibus eadem potius, quam aut victimorum extis, aut discurrentibus ignibus assignetur? Hactenus quidem a nobis, quantum hic locus postulabat, confutata illa sententia est, quæ rerum humanarum effectionem a sideribus pendere statuebat.

73 Quod autem paulo ante, cum nihil susceptæ disputationi officeret, ultro

ΩΡΙΓΕΝΟΥΣ

τῶν ἀνθρώπων δυναμένων καταλαμβάνειν τοὺς οὐρανίους σχη-
ματισμοὺς, καὶ τὰ σημεῖα, καὶ ὧν ἐστὶ σημεῖα, τοῦτο φέρε p. 294
74 νῦν ἐξετάσωμεν εἰ ἀληθές ἐστι. Φασὶ τοίνυν οἱ περὶ ταῦτα
δεινοὶ, τὸν μέλλοντα τὰ κατὰ τὴν γενεθλιαλογίαν ἀληθῶς
καταλαμβάνειν εἰδέναι οὐ μόνον τὸ κατὰ πόστου δωδεκατη-
μορίου ἐστὶν ὁ καλούμενος ἀστὴρ, ἀλλὰ καὶ κατὰ ποίας μοί-
ρας τοῦ δωδεκατημορίου, καὶ κατὰ ποίου ἑξηκοστοῦ· οἱ δὲ
ἀκριβέστεροι, καὶ κατὰ ποίου ἑξηκοστοῦ τοῦ ἑξηκοστοῦ, καὶ
τοῦτό φασι δεῖν ποιεῖν ἐφ' ἑκάστου τῶν πλανωμένων, ἐξετά-
75 ζοντα τὴν σχέσιν τὴν πρὸς τοὺς ἀπλανεῖς. Πάλιν αὖ ἐπὶ
τοῦ ἀνατολικοῦ ὁρίζοντος δεήσει, φασὶν, ἰδεῖν οὐ μόνον τὸ b
δωδεκατημόριον ποῖον ἦν ἐπ' αὐτοῦ, ἀλλὰ καὶ τὴν μοῖραν,
καὶ τὸ ἑξηκοστὸν τῆς μοίρας, τὸ πρῶτον ἢ τὸ δεύτερον
76 ἑξηκοστόν. Πῶς τοίνυν τῆς ὥρας πλατεῖ λόγῳ ἥμισυ δωδε-
κατημορίου περιεχούσης δύναταί τις λαβεῖν τὸ ἑξηκοστὸν, μὴ
ἔχων τὴν ἀναλογίαν τῆς διαιρέσεως τῶν ὡρῶν, ὥστε, φέρε
εἰπεῖν, εἰδέναι, ὅτι γεγέννηται ὁ δεῖνα ὥρᾳ τετάρτῃ, καὶ ἡμί-

d 15. καὶ ὧν] δ' ὧν C.F.G.
p. 294. 3. τὰ κατὰ] τὸν κατὰ C.F. γενεθλιαλογικὴν] γενεθλιαλογίαν B.C.D.F.G.S.V. Orig. Tum ἀληθῶς om. C. 4. καταλαμβάνειν] λαμβάνειν C. 5. πόστου] πότου B. ἴσ. ποίου Vigeri marg. τὸ ante κατὰ om. Orig. δωδεκαμορίου F. 10. ἑκάστου] ἑκάστῳ Orig. qui om. τῶν. 12. αὖ] οὖν C.D.F.G. δεήσει] δεήσοι B.E. b. εἰδεῖν D. 2. ἦν] ᾖ F. ἐστιν Orig. 3. τὸ πρῶτον om. Orig. 10. ἡμίσει] ἡμίσεια C.G.

concessimus, cœlestes illas positiones, signa, quorumque signa illa sint
omnia, facultatis humanæ viribus intelligi posse: id verumne sit, nunc
74 demum exquiramus. Primum igitur artis hujus magistri docent, qui ad
veram ac perfectam rerum genethliacarum cognitionem aspiret, tenendum huic esse non modo quanam in parte duodecima, sed etiam quanam in illius duodecimæ particula, imo ecqua tandem in sexagesima versetur astrum. Addunt vero, qui rem expendunt accuratius, quanam in illius sexagesimæ sexagesima. Quod idem ipsi errantium in siderum quolibet faciendum esse præcipiunt, mutuam singulorum cum iis, quæ fixa vocant, compara-
75 tionem ac respectum vestigando. Deinde in ipso quoque orientali horizonte, non videndum esse modo, quænam duodecima pars in eum subeat, sed etiam quænam illius duodecimæ particula, quæque hujus sexagesima,
76 primane an secunda. Quemadmodum ergo fieri possit, ut cum hora, si latius rem æstimes, duodecimæ partis dimidium complectatur, sexagesimam is teneat, qui horarum divisionis analogiam non teneat? Exempli gratia, nosse qui poterit, certum hunc hominem, hora quarta, parte horæ

ΩΡΙΓΕΝΟΥΣ

σει ὥρας, καὶ τετάρτῳ, ὀγδόῳ, καὶ ἑκκαιδεκάτῳ, καὶ δυοτρια-
77 κόστῳ. Παραπολὺ γάρ φασι παραλλάττειν τὰ σημαινό- c
μενα, παρὰ τὴν ἀγνωσίαν οὐ τῆς ὅλης ὥρας, ἀλλὰ καὶ τοῦ ποστημορίου αὐτῆς. Ἐν γοῦν τοῖς διδύμοις γεννωμένοις πολλάκις τὸ μεταξὺ καὶ ἀκαριαῖον ὥρας ἐστὶ, καὶ πολλαὶ παραλλαγαὶ τῶν συμβαινόντων καὶ τῶν πραττομένων ἐπ' αὐτῶν ἀπαντῶσιν, ὥς φασιν ἐκεῖνοι, παρὰ τὴν αἰτίαν τῆς σχέσεως τῶν ἀστέρων, καὶ τὸ μόριον τοῦ δωδεκατημορίου τὸ παρὰ τὸν ὁρίζοντα, οὐ καταλαμβανόμενον ὑπὸ τῶν νομιζο-
78 μένων τὴν ὥραν τετηρηκέναι. Οὐδεὶς γὰρ δύναται λέγειν, d
ὅτι τὸ μεταξὺ τοῦδε τῆς γενέσεως πρὸς τὴν τοῦδε ἐστὶν ὥρας τριακοστόν. Ἀλλ' ἔστω συγκεχωρημένον αὐτοῖς τόδε, κατὰ τὸ ἐκλαβεῖν τὴν ὥραν. Φέρεται δὴ θεώρημα ἀποδεικνύον τὸν ζῳδιακὸν κύκλον ὁμοίως τοῖς πλανωμένοις φέρεσθαι ἀπὸ δυσμῶν ἐπὶ ἀνατολὰς δι' ἑκατὸν ἐτῶν μοῖραν μίαν,
[174] καὶ τοῦτο τῷ πολλῷ χρόνῳ ἐναλλάττειν τὴν θέσιν τῶν δω-

b 10. ὀγδόῳ] ὀγδόῳ τε Orig. c. φασι] φησι I. 2. οὐ τῆς] αὐτῆς Orig. οὐ μόνον τῆς conj. Viger. in marg. Vid. Davis. ad Ciceron. N. D. II. 61. 3. ἀλλὰ καὶ—γεννωμένοις om. B. ἀλλὰ τὸ πολλοστημόριον C.F.G. τὸ . . ποστημόριον D. τοῦ om. I. Orig. ἐν γοῦν] ὡς γοῦν C.F.G. 4. γεννωμένοις] γενομένοις C. 5. μετ. καὶ] καὶ om. F.G. 8. παρὰ] οἱ παρὰ B.D.E. 10. καταλαμβανόμενον] καταλαμβανομένων B.C.D.I. d 2. τὸ μεταξὺ] τὸ om. I. Orig. qui τῆς τοῦδε. 4. τόδε κατὰ] τὸ κατὰ B.C.D.F.G.I. συγκεχωρημένα—τὰ Orig. ἐκλαμβάνειν] ἐκλαβεῖν Orig. 7. φέρεσθαι] φέρεσθαι δὴ B.C.E.F.G. 9. τοῦτο] τούτῳ C.D.

dimidia, quarta, octava, decima sexta, secunda et trigesima natum esse?
77 Nam propter horæ, non integræ modo, sed etiam definitæ hujus certæque particulæ ignorationem, plurimum sæpe volunt, in ea quæ significantur, varietatis incidere. Et in geminis quidem, ut alterius ortus ab altero momento sæpe uno punctoque temporis dirimatur, multæ tamen occurrunt tam casuum quam rerum negotiorumque varietates, partim, ut ipsi aiunt, quod stellarum diversus in utroque respectus fuerit, partim quod minus certam illam, quæ in horizontem subiret, partis signi duodecimæ particulam ii tenuerint, qui exploratam sese horam habuisse putaverant. Nam hoc quidem, parsne horæ tricesima, ortus utriusque intervallum extiterit,
78 statuere nemo potest. Verum id quoque per nos habeant, ut exquisite horam tenere possint. Extat sane quoddam ejusmodi theorema, quo zodiacum circulum, perinde ut errantia sidera, ab occasu in ortum ita ferri demonstrant, ut centesimo quoque anno motum hunc suum pars ejus quælibet una conficiat. Qui motus longioris progressu temporis, in signa

ΩΡΙΓΕΝΟΥΣ

δεκατημορίων· ἑτέρου μὲν τυγχάνοντος τοῦ νοητοῦ δωδεκα-
τημορίου, ἑτέρου δὲ τοῦ ὡσανεὶ μορφώματος. (Τὰ δὲ ἀπο-
τελέσματα φασὶν εὑρίσκεσθαι οὐκ ἐκ τοῦ μορφώματος,) ἀλλ'
ἐκ τοῦ νοητοῦ ζῳδίου, ὅπερ οὐ πάνυ τι δυνατὸν καταλαμ- p. 295
79 βάνεσθαι. Ἔστω δὲ καὶ τοῦτο συγκεχωρημένον, τὸ κατα-
λαμβάνεσθαι τὸ νοητὸν δωδεκατημόριον, ἢ δύνασθαι ἐκ τοῦ
αἰσθητοῦ δωδεκατημορίου λαμβάνεσθαι τὸ ἀληθές. Ἀλλὰ
τήν γε σύγκρασιν παρ' αὐτοῖς καλουμένην τῶν ἐν τοῖσδε τοῖς
σχηματισμοῖς τυγχανόντων, καὶ αὐτοὶ ὁμολογήσουσιν, οὐχ
οἷοί τε σῶσαι κατὰ πᾶν, ἀμαυρουμένου τοῦ δηλουμένου, φέρε
εἰπεῖν, χείρονος, ἀπὸ τοῦδε διὰ τὸ ἐπιβλέπεσθαι αὐτὸν ὑπὸ b
τοῦδε τοῦ κρείττονος, καὶ ἐπὶ τοσόνδε ἢ τοσόνδε ἀμαυρουμέ-
νου. Πολλάκις πάλιν τῆς ἀμαυρώσεως τῆς τοῦ χείρονος ὑπὸ
τῆς ἐπιβλέψεως τῆς τοῦ κρείττονος ἐμποδιζομένης, ἐκ τοῦ
ἕτερον οὑτωσὶ ἐσχηματίσθαι, χειρόνων ὄντα σημαντικόν.
80 Καὶ οἶμαι ἐπιστήσαντά τινα τοῖς τόποις ἀπογνῶναι τὴν
περὶ τούτων κατάληψιν, οὐδαμῶς ἀνθρώποις ἐκκειμένην, ἀλλ',
εἰ ἄρα, μέχρι τοῦ σημανθῆναι μόνον φθάνουσαν. Εἰ δέ τις

d 12. Verba uncinis inclusa ex Origene addita sunt.

p. 295. ἔστω δὲ—λαμβάνεσθαι om. B. qui infra om. τοῦ δηλουμένου—ἀμαυρουμένου. δὲ] δὴ I. 2. τὸ νο.] τὸν νο. E. 6. τῶν om. D. qui v. 9. ἀμαυρομένου. 8. κατὰ πᾶν] κατ' ἀξίαν Orig. b 2. τοσόνδε] τοσοῦτον δὲ C.D.F. et mox ἀμαυρουμένης C.F. 6. οὑτωσὶ] καὶ οὑτωσὶ D. 10. εἰ] ἢ Orig. qui mox σανθῆναι φθάνουσαν μόνον—γένηται. σημανθῆναι μόνον φθάνουσαν] σωθῆναι φθαν. C.F.G. μόνον om. ni fallor D. 11. εἰ δέ τις—δηλωθεὶς ἀνὴρ om. B.

duodecim varietatis plurimum inferat: cum signum aliud sit, quod mente concipitur, aliud quod quasi sensu informatur: sic tamen ut ex eo tantum, quod mente concipitur, quodque vix ac ne vix quidem teneri certo potest,
79 rei veritas habeatur. Quanquam id etiam a nobis detur, ut aut signum illud quod mente concipitur, certo teneri queat, aut ex eo saltem quod sensu informatur, verum intelligi. Astrorum certe quidem illorum, quæ in situm ejusmodi figuramque concurrunt, quam ipsi contemperationem appellant, exquisite abs sese defendi non posse fatebuntur. Contingit enim sæpissime, ut vel infestioris hujus astri vis, quod emersit, alterius felicioris aspectu magis minusve retundatur: vel ut id ipsum quo minus eveniat, proprius quidam ac singularis alterius, quod deterius aliud signi-
80 ficet, situs impediat. Ac mihi sane ita persuadeo, quisquis in locorum istorum disquisitione versabitur, pronuntiaturum eum utique, perspectam exploratamque mortalium nemini eorum rationem esse, sed ei duntaxat vim significandi aliquam ad summum concedi posse. Qui autem res ipsas

ΩΡΙΓΕΝΟΥΣ

ἐν πείρᾳ γεγένηται τῶν πραγμάτων, μᾶλλον εἴσεται τὸ ἐν c
τῷ στοχάζεσθαι ἀποπτωτικὸν τῶν λεγόντων καὶ αὐτῶν τῶν
81 συγγραψαμένων, ἤπερ νομιζόμενον ἐπιτευκτικόν. Καὶ Ἡσαΐας γοῦν, ὡς οὐ δυναμένων τούτων εὑρίσκεσθαι ὑπὸ ἀνθρώπων, φησὶ πρὸς τὴν θυγατέρα τῶν Χαλδαίων, τῶν ταῦτα μάλιστα παρὰ πάντας ἐπαγγελλομένων, Στήτωσαν δή, καὶ σωσάτωσάν σε οἱ ἀστρολόγοι τοῦ οὐρανοῦ, ἀναγγειλάτωσάν σοι τί μέλλει ἐπί σε ἔρχεσθαι. Διὰ γὰρ τούτων διδασκόμεθα μὴ d
δύνασθαι τοὺς πάνυ περὶ ταῦτα φιλομαθεῖς προδηλοῦν, ἃ βεβούληται Κύριος ἑκάστῳ ἔθνει ἐπαγαγεῖν.

82 Τοσαῦτα καὶ ὁ δηλωθεὶς ἀνήρ. Ἀλλὰ γὰρ ὁ πᾶς ἡμῖν οὗτος εἰς δύο τὰ μέγιστα συναιρεῖται λόγος, εἴς τε τὸ μὴ θεοὺς εἶναι τοὺς κατὰ πόλιν χρᾶν νενομισμένους, καὶ εἰς τὸ μηδὲ ἀγαθοὺς δαίμονας· τοὐναντίον δὲ γόητάς τινας καὶ πλάνους καὶ ἀπατεῶνας τυγχάνειν, ἐπ' ὀλέθρῳ καὶ διαστροφῇ τῆς ἀληθοῦς εὐσεβείας τὴν εἰς ἀνθρώπους πλάνην τήν τε ἄλλην καὶ δὴ καὶ τὴν περὶ

c 3. συγγραψαμένων] συγγραφομένων C.F. τῶν σ. D.G.I. Orig. ἤπερ νομιζόμενον ἐπιτευκτικὸν] ἢ πτερνιζόμενον ἐπιτατικόν Orig. 8. στήτωσαν δὴ om. C. δὴ om. F.G.I. d 2. πάνυ om. Orig. 5. ἀλλὰ γὰρ] γὰρ om. C. 10. ἀπατεῶνας] ἀπαταιῶνας C. Statim τυγχάνειν om. B.C.D.F.G. 11. ἀληθοῦς] ἀληθείας καὶ C.F.G. 12. πλάνην τήν τε ἄλλην] τήν τε ἄλλην om. C.F.G. πλάνην καὶ δόξαν ἀφ' ἧς μόνου ἐξ αἰῶνος B.

experientia ipse sua probaverit, agnoscet ille profecto, id hominum genus in suis illis, quas aut voce aut scripto concipiunt, præsensionibus longe
81 sæpius aberrare, quam quod sibi fingunt verum attingere. Quamobrem Isaias, quod ea certo ab hominibus nullo modo teneri possint, Chaldæorum filiam, qui hanc divinandi artem sibi præ omnibus sumebant, hunc in modum compellat, *Stent vero, ac salvent te astrologi cœli: annuntient tibi* Isa. 47,
quod super te venturum est. Quibus nos sane docuit, ne ab illis quidem 15.
ipsis, qui res istas summo et acerrimo studio persequuntur, quid quoque populo facere Dominus statuerit, prænuntiari posse.

82 Hactenus Origenes. Atque universa hæc nostra disputatio ad summa duo capita revocari potest: alterum, deos nequaquam eos fuisse, qui per urbes passim oracula fundere videbantur: alterum ne bonos quidem genios extitisse: contra vero præstigiatores quosdam, circulatores, atque impostores, qui in exitium pestemque veræ pietatis, cum alios passim omnes, tum hunc in primis de fati necessitate

83 εἱμαρμένης προβεβλημένους. Ἀφ' ἧς μηδενὸς τῶν ἐξ
αἰῶνος πλὴν Ἰησοῦ τοῦ Σωτῆρος ἡμῶν τὸ πᾶν τῶν ἀν-
θρώπων γένος λελυτρωμένου, εἰκότως ἡμῖν ἐν ἀρχαῖς
τῆς Εὐαγγελικῆς Προπαρασκευῆς τὰ παρόντα πάντα διὰ p. 296
σπουδῆς γέγονεν, ὡς ἂν ἔργῳ μάθοιμεν, ἐκ τίνων προ-
γόνων φύντες, καὶ οἵᾳ τῳ πρὶν ἀπάτῃ συνεχομένων, ἐξ
ὁπόσης τε καὶ πηλίκης ἀνανεύσαντες αὐτοί τε ἡμεῖς καὶ
ὁ σύμπας τῶν ἀνθρώπων βίος ἀβλεψίας τε καὶ ἀθεότη-
τος, τὴν ἴασιν τῆς μακρᾶς καὶ πολυχρονίου δαιμονικῆς
ἐνεργείας διὰ μόνης τῆς σωτηρίου Εὐαγγελικῆς εὑρά-
μεθα διδασκαλίας.

ΒΙΒΛΙΟΝ ΕΒΔΟΜΟΝ.

[175] Ἑβραίων πέρι λοιπὸν, καὶ τῆς κατ' αὐτοὺς φιλοσο- p. 298
φίας τε καὶ εὐσεβείας, ἣν τῶν πατρίων ἁπάντων προ-

d 14. ἀφ' ἧς] ἀφ' ἧς μόνον ἐξ αἰῶνος C.D.F.G. qui mox om. πλήν. 15. πᾶν τῶν] πάντων B.C.D.F.G. 16. λελυτρωμένου] λυτρωμένου I.

p. 296. 4. τε καὶ] καὶ om. C.F.G. 5. ὁ σύμπας] σύμπας ὁ C.F.G. 9. τοῦ σωτ.] τοῦ om. B.C.F.G.I. Vigeri marg. τέλος τοῦ ἕκτου βιβλίου C.F. εὐαγγελικῆς εὑράμεθα] καὶ εὐ. εὑράμενος I.

p. 298. 2. κατ' αὐτοὺς] κατὰ τούτων E. κατὰ τούτους I. 4. πατρίων] Ἑλληνικῶν καὶ πατρίων p. 178. (304 a 3.) S.

83 errorem in hominum genus invexerint. Quo, præter Jesum Servatorem nostrum, cum illud ex omni memoria liberarit nemo; jure sane tractanda hæc omnia sub Evangelicæ Præparationis initium suscepimus: ut re ipsa discamus, quibus tandem nati majoribus quamque gravi errore laborantibus: quantæque simul ipsi et quam immanis cum vecordiæ, tum impietatis ex tenebris, cum genere hominum universo, caput attollere; ac tam late patenti, tamque diuturnæ dæmonum fraudi vexationique remedium, salutaris unius Evangelicæ doctrinæ beneficio invenire potuerimus.

LIBER SEPTIMUS.

Sequitur, ut Hebræorum deinceps, quam omnibus patriis ritibus potiorem habuimus philosophiæ religionisque formam, vitæque simul

2 τετιμήκαμεν, τὸν τοῦ βίου τρόπον ὑπογράψαι καιρός. Ἐ-
πειδὴ γὰρ οὐκ ἀλόγῳ κεκριμένῳ δὲ καὶ σώφρονι λογισμῷ
τῆς διεψευσμένης ὁμοῦ πάντων Ἑλλήνων τε καὶ βαρβά-
ρων θεολογίας τὴν ἀπόλειψιν πεποιημένοι συνέστημεν,
ὥρα λοιπὸν τὴν δευτέραν ἐπιλύσασθαι, τὴν αἰτίαν ἀποδι-
3 δόντας τῆς τῶν Ἑβραϊκῶν λόγων μεταποιήσεως. Τὸ μὲν
οὖν μὴ φέρειν τινὰ μέμψιν ἡμῖν τὴν ἀπὸ βαρβάρων τοῦ
συμφέροντος μετάληψιν ἐπὶ τῆς δεούσης σχολῆς παρα-
στήσομεν, πάντα τοῖς Ἕλλησι καὶ αὐτοῖς γε τοῖς βοω- p. 299
μένοις αὐτῶν φιλοσόφοις τὰ φιλόσοφα μαθήματα, καὶ
τὰ ἄλλως κοινὰ καὶ ταῖς πολιτικαῖς λυσιτελοῦντα
χρείαις, παρὰ βαρβάρων ἐσκευωρῆσθαι ἐπιδείξοντες· τὸ
δὲ μηδέν πω μηδ᾽ ὅλως παρά τισιν εὑρῆσθαι τῶν ἐθνῶν,
οἷον τὸ παρ᾽ Ἑβραίων ἀγαθὸν ἡμῖν πεπορισμένον, ὧδε
ἂν γένοιτο πρόδηλον.

a 7. ἐπειδὴ—δὲ καὶ om. B. 8. ἀλόγῳ] ἴσ. ἀλόγως S. 13. ἀπο-διδόντας] ἀποδόντας I. Ἑβραϊκῶν] Ἑβραίων E. 14. μὴ om. D.
p. 299. 4. τὸ δὲ μηδὲν—ἐθνῶν om. B. ὅτι δὲ μηδὲν C.F. ἐσκευωρεῖ-σθαι D. 6. ἀγαθὸν ἡμῖν] ἡμῖν ἀγαθὸν B.C.F.

2 rationes et instituta persequamur. Nam cum id a nobis adhuc
effectum sit, ut non inconsiderate ac temere, sed maturo castigatoque
judicio, vanam illam ac spuriam omnium tam Græcorum, quam bar-
barorum theologiam, relictam a nobis ac repudiatam fuisse con-
staret: solvenda modo nobis altera quæstio est, ratioque reddenda,
quæ nos ad suscipiendam ac probandam Hebraicarum literarum doc-
3 trinam impulerit. Ac nobis quidem crimini probroque dandum non
esse, quod a barbaris utilitatis aliquid mutuemur, opportuniori majori-
que otio demonstrabimus, dum quicquid usquam apud Græcos, imo apud
celeberrimos etiam illorum philosophos non modo haustarum e phi-
losophia disciplinarum, sed etiam quicquid e re communis hominum
societatis, ac rerumpublicarum usu fuerit, id omne barbarorum ex dis-
ciplinis ac legibus corrogatum et consarcinatum esse ostendemus.
Jam vero, nullum prorsus apud ullam gentem ejusmodi unquam
inveniri bonum potuisse, cujusmodi ad nos profectum ab Hebræis
est, quivis opinor ex sequentibus intelliget.

2 Οἱ μὲν δὴ λοιποὶ πάντες ἄνθρωποι, ἄνωθεν ἐκ πρώ- b
[176] της τοῦ βίου συστάσεως καὶ εἰς τὸν μετέπειτα χρόνον
μόνῃ τῇ τῶν σωμάτων προσανασχόντες αἰσθήσει τῷ
μηδὲν περὶ τῆς ἐν αὐτοῖς ψυχῆς διειληφέναι πλέον τε
οὐδὲν τῶν ὁρωμένων ἐν τοῖς οὖσιν ὑπάρχειν ἡγησάμε- c
νοι, τὸ καλὸν καὶ συμφέρον καὶ μόνον ἀγαθὸν τῇ τῶν
σωμάτων ἀνέθηκαν ἡδονῇ· μόνην τε ταύτην, ὡς τὸ
μόνον οὖσαν ἀγαθὸν καὶ προσηνὲς καὶ ἡδὺ πρὸς ἀπό-
λαυσίν τε εὐδαίμονος βίου αὐτάρκη, περισπούδαστον
ὑποθέμενοι, θεῶν μεγίστην ἡγήσαντό τε καὶ τεθειάκασιν,
οὐδὲ τῆς ζωῆς αὐτῆς, εἰ μὴ μετέχοι τῆς τῶν σωμάτων
ἡδονῆς, ἐφιέμενοι, καὶ ζῆν οὐ διὰ τὸ ζῆν διὰ δὲ τὸ ἡδέως
ζῆν ἀσπαζόμενοι, τοῦτο καὶ τοῖς ἰδίοις εὐξάμενοι παισὶν
2 ὡς μόνον ἀγαθὸν παρεῖναι. Ἔνθεν οἱ μὲν τὰ χορηγὰ
τῆς ἐνσάρκου ζωῆς ἥλιον εἶναι καὶ σελήνην καὶ ἀστέρας d
ὑποτοπάσαντες, καί πως καὶ πρὸς τὴν ὄψιν τοῦ φωτὸς

b 4. λοιπὸν] λοιποὶ C.F.G.I. 6. μόνη] μήνη C. 7. σχόντες] σχόντας C.F.G. Mox τὸ μηδὲν D. c 2. ἀνέθηκαν] ἐνέθηκαν C.F.G. 3. ἡδονὴν] ἡδονῇ B.C.F. ἡδονῆ G. τῇ—ἡδονῇ S.I. 7. τεθειάκασιν] τεθείκασιν B.F.G. 12. ἔνθεν οἱ μὲν—ἀνθρώπων γένος om. B. d 2. ὑποτοπήσαντες] ὑποτοπάσαντες C.F.G.S.V.

2 Nam cæteri quidem populi, jam usque a societatis humanæ primordiis, ad consequentia deinceps tempora, dum propterea quod de anima sua constituti haberent nihil, ad solos corporis sensus adhærescerent, ac præter ea quæ cernuntur oculis, aliud omnino nihil esse cogitarent; honesti proinde atque utilis, imo solius boni loco voluptatem corporis habuerunt; adeoque unam illam, perinde ac si præter ipsam aliud nihil, neque boni, neque jucundi ac suavis reperiretur, eademque sola per sese ad beate vivendum satis esset, studio et amore dignam rati, deorum quasi maximam consecrarunt. Ita ne vitam quidem ipsam, nisi adjunctam haberet corporis voluptatem, sibi expetendam putabant, adeoque vitæ munus, non jam ut viverent, sed ut suaviter viverent, complexi, ejusdem illi, perinde ut solius
2 boni, copiam, liberis quoque suis precabantur. Itaque alii solem, lunam, ac reliqua sidera vitæ corporeæ fontes esse suspicati, simulque ad lucis aspectum admiratione perculsi, principes hosce deos ita prædi-

καταπλαγέντες, πρώτους θεοὺς ἀνηγόρευσαν, μόνους αἰτίους τῶν ὅλων εἶναι ἀποφηνάμενοι· οἱ δὲ τοὺς ἀπὸ γῆς καρποὺς τήν τε ὑγρὰν καὶ ξηρὰν καὶ θερμὴν οὐσίαν τά τε λοιπὰ τοῦ κόσμου μέρη, δι' ὧν αὐτοῖς τὰ σώματα τρεφόμενά τε καὶ πιαινόμενα τὴν ἔνσαρκον ὁμοῦ ζωήν τε καὶ ἡδονὴν ἐθηρᾶτο, θεῶν πάλιν προσηγορίᾳ τετιμήκασιν· οἱ δὲ, πολὺ πρότερον τούτων, γυμνῇ καὶ ἀκαλύπτῳ κεφαλῇ τὰ σφέτερα πάθη καὶ τὴν δέσποιναν αὐτῶν ἡδονὴν, ἔρωτα, καὶ πόθον, καὶ ἀφροδίτην, καὶ αὐτῶν τῶν θεῶν κρατεῖν εἰπόντες, ἀπεθέωσαν· οἱ δὲ τοὺς τῶν ἡδέων χορηγούς τε καὶ εὑρετὰς αὐτοῖς γενομένους p. 300
ἄνδρας τυράννους τινὰς καὶ δυνάστας, δι' ἃς ἔτυχον ἐξ αὐτῶν εὐπαθείας, ζῶντάς τε ἔτι καὶ μετὰ τελευτὴν ἐθεοποίησαν· οἱ δὲ, μοχθηρῶν πνευμάτων καὶ δαιμόνων γενόμενοι παραπαίγνια, ἔτι μειζόνως τὸ παθητικὸν αὐτῶν μέρος τῆς ψυχῆς συνηύξησαν, τὰ ἡδέα καὶ παρὰ τούτων διὰ τῆς νενομισμένης αὐτῶν θεραπείας ἐκπορίζοντες·

d 9. τε καὶ] τε om. D.F.G. 10. τετιμήκασιν] τετιμήκεσαν C. τετιμήκασαν G. ult. τῶν θεῶν] τῶν om. F. ἀπεθέωσαν] ἀποθεώθησαν E.I.

p. 300. 3. εὐπαθείας] εὐπειθείας C.F.G. 6. αὐτῶν] αὐτοῖς C.D.F.G. 7. τῆς ψυχῆς μέρος I. καὶ om. D.

carunt, ut eosdem rerum auctores omnium esse statuerent. Alii natis ex terra frugibus, necnon humidæ siccæque pariter, calidæque naturæ, ac cæteris universi partibus, quibus nutrita saginataque ipsorum corpora, corpoream simul vitam et voluptatem venarentur, deorum nomen decusque tribuerunt. Alii multis ante sæculis, nuda perfrictaque fronte, suas ipsi cupiditates, earumque dominam voluptatem, amorem, cupidinem, venerem, quibus ipsos quoque deos cedere jactabant, divinitate donarunt. Alii tyrannos quosdam ac principes, a quibus profectum ac repertum aliquid ad vitæ delicias fuerat, cum vivos adhuc et spirantes, tum etiam morte perfunctos, deorum in numero collocarunt, acceptorum beneficiorum suavitate permoti. Alii, pravorum spirituum ac dæmonum ludus et fabula, eo vehementius partis illius animæ suæ, quæ perturbationum et cupiditatum sedes est, vim ac potestatem auxerunt, quo novam sibi voluptatum

οἱ δὲ, μηδενὸς τούτων ἀνασχόμενοι, τὸ ἄθεον ὡς πολὺ
κρεῖττον τῆς τοιᾶσδε θεολογίας εἰσηγήσαντο· οἱ δὲ, ἔτι b
τούτων ἁπάντων ἀναιδέστεροι, τὸν φιλόσοφον καὶ τρισ-
ευδαίμονα βίον οὐδ' ἄλλον εἶναι ἢ τὸν ἡδὺν ἀπεφή-
3 ναντο, τέλος τῶν ἀγαθῶν τὴν ἡδονὴν ὁρισάμενοι. Ταύτῃ
δ' οὖν τὸ πάντων ἀνθρώπων γένος, ὡς ἂν δεσποίνῃ
πικρᾷ καὶ χαλεπωτάτῃ, ἡδονῇ θεῷ, μᾶλλον δὲ αἰσχρῷ
καὶ ἀκολάστῳ δαίμονι, καταδεδουλώμενον παντοίαις ἐνε-
φύρετο ταλαιπωρίαις. Αἵ τε γὰρ θήλειαι αὐτῶν, (κατὰ
τὸν ἱερὸν ἀπόστολον,) μετήλλαξαν τὴν φυσικὴν χρῆσιν τῆς
θηλείας εἰς τὴν παρὰ φύσιν· ὁμοίως δὲ καὶ οἱ ἄρσενες, c
ἀφέντες τὴν φυσικὴν χρῆσιν τῆς θηλείας, ἐξεκαύθησαν ἐν τῇ
ὀρέξει αὐτῶν εἰς ἀλλήλους, ἄρσενες ἐν ἄρσεσι τὴν ἀσχημο-
σύνην κατεργαζόμενοι, καὶ τὴν ἀντιμισθίαν, ἣν ἔδει, τῆς
4 πλάνης αὐτῶν ἐν ἑαυτοῖς ἀπολαμβάνοντες. Ταύτῃ καὶ
Ἕλληνες καὶ βάρβαροι, σοφοί τε καὶ ἰδιῶται, χαμαί τε

b. ἀναιδέστεροι] ἀναιδέστερον C.F.G. 4. δ' οὖν] γοῦν C.F.G.
τάτη
6. χαλεποτ.] χαλεπωτ. C. χαλεπωτερᾳ D. 7. καταδεδουλωμένους] καταδεδουλώμενον B.C.F.G.I. c 2. ἄρσενες] ἄρρενες F.G.I. Mox τῆς θηλείας om. B.C.D.F.G.I. 5. κατεργαζόμενοι] κατεργασάμενοι B. 8. χαμαί τε καὶ] τε om. C.D.F.G.I.

ab iis copiam, solenni certisque ritibus constituta eorum veneratione
comparabant. Alii, omnibus istis valere jussis, aliquid sese rati
universa hac theologia moliri præstantis, divinitatem omnem funditus
sustulerunt. Alii denique castigatam illam terque beatam vitam, non
aliam esse quam voluptatem defendentes, summum eam bonorum
3 finem, omnium impudentissimi posuerunt. Atque hunc in modum,
genus hominum universum, tanquam acerbissimæ cuidam teterrimæ-
que dominæ, voluptati deæ, vel turpissimo potius ac flagitiosissimo
dæmoni mancipatum, in omnia calamitatum genera demersum est.
Rom. 1, 26. *Nam fœminæ eorum,* (ut divinus olim apostolus querebatur) *immuta-
verunt naturalem usum fœminæ, in eum usum qui est contra naturam.
Similiter autem et masculi, relicto naturali usu fœminæ, exarserunt in
desideriis suis in invicem, masculi in masculos turpitudinem operantes,
4 et mercedem, quam oportuit, erroris sui, in semetipsis recipientes.* Ita,
Græci pariter ac barbari, sapientes et idiotæ, deorsum omnes atque

καὶ ἐπὶ γαστέρα πεσόντες, ὡς θεῷ τῇ ἡδονῇ προσεκύνησαν· πρηνεῖς τε σφᾶς αὐτοὺς ἑρπετῶν δίκην καταβαλόντες, ἄμαχον καὶ ἀπαραίτητον θεὸν ταύτην ἡγήσαντό τε καὶ ἔστερξαν· ἔν τε ᾠδαῖς καὶ ὕμνοις, ἔν τε θεῶν ἑορταῖς, ἔν τε ταῖς πανδήμοις θέαις, μόνης τῆς αἰσχρᾶς d καὶ ἀκολάστου ἡδονῆς τὰ ὄργια καὶ τὰς ἀσέμνους τελετὰς μυούμενοί τε καὶ τελοῦντες· ὡς εἰ καί τι ἄλλο, καὶ τόδε καλῶς παρ' ἡμῖν ἀνῃρῆσθαι. Ἀρχὴ γὰρ πορνείας,
5 ἐπίνοια εἰδώλων. Καὶ τὰ μὲν περὶ τῆς τῶν ἄλλων ἐθνῶν θεολογίας τοσαύτην εἰλήφει, ὡς ἐν βραχεῖ φάναι, τὴν πολυτροπίαν· μιᾶς μὲν ἀρχῆς τῆς ἀκαθάρτου καὶ μιαρᾶς ἡδονῆς ἀνημμένα, ὕδρας καὶ πολυαυχένου καὶ πολυκεφάλου τρόπον, εἰς πολλὰς καὶ ποικίλας διαιρέσεις
6 τε καὶ τομὰς ἐξενηνεγμένα. Ἐπειδὴ τοίνυν τοσαύτην
[177] ἔτυχον προβεβλημένοι τὴν πλάνην, εἰκότα δὴ αὐτοῖς ἡδονῇ θεῷ καὶ κακῷ δαίμονι χρωμένοις ἐπὶ κακοῖς κακὰ

c 12. θεῶν] θεὸν B.C. 13. ἔν τε θεῶν ἑορταῖς ex ed. Vigeri exciderunt. Mox ταῖς om. D. d 3. τόδε] τό γε C.D.F.G. 4. ἡμῖν] ἡμῶν C.F.G. παρ' ἡμῖν om. D. ἀνῃρῆσθαι] ἀνειρῆσθαι B.C.F.G. qui om. γὰρ post ἀρχή. 5. περὶ om. I. 7. πολυτροπίαν] πολύτροπον D.S.V. 9. πολυαυχένου καὶ om. B. Post πολυκεφ. ponunt C.F.G. δὲ D. 10. ποικίλας] ποικίλους B. ult. κακῷ] καὶ κακῷ D.E.F.G.

in suum ipsi ventrem prolapsi, voluptatem quasi deum adorarunt, ac serpentium in morem pronos sese dejicientes, non in ea modo, tanquam in ejusmodi numine cujus vim declinare nemo posset, acquieverunt, sed etiam carminibus passim hymnisque suis, tam in deorum festis, quam in publicis omnibus spectaculis, turpis unius ac flagitiosæ voluptatis orgia, indignaque mysteria, cum initiando, tum sacris operando celebrarunt. Quare jure profecto, si quicquam aliud, totum hoc apud nos obscœnitatis genus sublatum est. *Libidinis enim* Sap. 14,
5 *initium, idolorum excogitatio est.* Cæterorum ergo populorum, ut 12.
paucis absolvam, theologiæ tam varia fuit multiplexque ratio: cum enim uno tantum impuræ tetræque voluptatis principio niteretur, plurima tamen ac varia, hydræ cujusdam cervicibus capitibusque scatentis
6 in morem, sectarum divortia ac discrimina peperit. Ita cum tanto tamque fœdo errore laborarent, mirum profecto non est, si homines voluptatis deæ, ac scelerati dæmonis addicti obsequio, novorum subinde

συνηγείρετο, γυναικομανίαις καὶ ἀρρένων φθοραῖς μητρο- p. 301
γαμίαις τε καὶ θυγατρομιξίαις τὸν πάντα καταφυρομένοις βίον, καὶ τὴν ἄγριον καὶ θηριώδη φύσιν ὑπερβολῇ φαυλότητος νενικηκόσι. Τοιοῦτος μὲν οὖν ὁ τρόπος τῶν παλαιῶν ἐθνῶν, καὶ τῆς διεψευσμένης αὐτῶν θεολογίας, διὰ τῶν συνηγμένων ἡμῖν Ἑλληνικῶν λογογράφων τε καὶ φιλοσόφων ἐν τοῖς ἔμπροσθεν ἀποδέδεικται.

3 Εἰ δὴ οὖν συνῶπταί σοι ὁ τῶν παλαιῶν βίος, ἄθρει b
δὴ λοιπὸν τῇ διανοίᾳ μόνους παῖδας Ἑβραίων ἐν τοσ-
2 ούτοις τὴν ἐναντίαν ἀπιόντας. Οἵδε γὰρ πρῶτοι καὶ
μόνοι πάντων ἀνθρώπων ἄνωθεν ἐκ πρώτης τοῦ βίου c
καταβολῆς λογικῇ θεωρίᾳ τὴν διάνοιαν ἀναθέντες, καὶ τῇ περὶ τοῦ παντὸς φυσιολογίᾳ εὐσεβῶς ἐπιστήσαντες, πρῶτα μὲν τὰ τῶν σωμάτων στοιχεῖα, γῆν, ὕδωρ, ἀέρα, πῦρ, ἐξ ὧν τόδε τὸ πᾶν συνεστὸς κατεμάνθανον, ἥλιόν

p. 301. γυναιμανίαις] γυναικομανίας C. γυναικομανίαις F.G. 3. πάντα καταφυρ.] παντακαταφερ. B. καταφυρομένοις Vigerus pro καταφυρόμενοι, et sic I. 5. νενικηκόσι] νενικηκότες C.F.G. τοιοῦτος] τοιόσδε B. τοιόσδε μοι D. τοιόσδε μὲν F.G. 7. ἡμῖν om. F.G. b 8. πρῶτοι καὶ μόνοι] μόνοι καὶ πρ. B.C.F.G. c. τῇ περὶ] τῇ om. C. 3. ἀέρα πῦρ] πῦρ ἀέρα I. 4. συνεστὸς] συνεστὼς B.I. Viger.

malorum cumulo premerentur, dum et insanis mulierum amoribus, et masculæ veneris obscœnitate, et incestis matrum filiarumque nuptiis vitam permiscerent universam, ac ferinam belluarum naturam sceleris magnitudine superarent. Atque hujusmodi vetustarum gentium mores, et adulterinam earum theologiam fuisse, ipsismet Græcorum non historicorum modo, sed etiam philosophorum, quæ superioribus libris congesta sunt, testimoniis abunde probavimus.

3 Jam vero, quandoquidem priscorum hominum vitam exploratam habes, quemadmodum soli ex omnibus Hebræi contrariam tanta in multitudine viam inierint, animo deinceps et cogitatione intuere.
2 Etenim principes illi, solique universo hominum ex genere, cum a primis retro societatis humanæ cunabulis, mentem in homine digna contemplatione defixissent, atque ad naturales universi rationes pie sancteque rimandas contulissent; prima quidem corporum elementa, terram, aquam, aërem, ignem, ex quibus hunc orbem constare sen-

τε, καὶ σελήνην, καὶ ἀστέρας, οὐ θεοὺς, ἔργα δὲ εἶναι
Θεοῦ διελογίσαντο, τὴν φύσιν τῆς σωματικῆς οὐσίας
οὐ μόνον ἄλογον ἀλλὰ καὶ ἄψυχον εἶναι, καθ' ὅσον
ῥοώδης καὶ φθαρτὴ οὖσα τυγχάνει, συννοήσαντες, κἄ-
πειτα λογισάμενοι, ὡς οὐχ οἷόν τε τὴν τοῦ σύμπαντος d
κόσμου διάταξιν, εὖ καὶ σοφῶς ἡρμοσμένην, ἔμπλεών
τε ζῴων ἐμψύχων λογικῶν τε καὶ ἀλόγων ὑπάρχουσαν,
αὐτόματον ἐπιγράφεσθαι τὴν αἰτίαν, οὐδέ γε τῶν ἐμψύ-
χων τὴν ποιητικὴν ἀρχὴν ἄψυχον ὑπολαμβάνειν, οὐδ'
3 ἄλογον τὴν τῶν λογικῶν δημιουργόν. Ἐπεὶ δὲ μηδὲ
ξύλων καὶ λίθων αὐτόματός ποτ' ἂν οἰκοδομία συσταίη,
οὐδέ γε ἐσθῆς ὑφάντου δίχα συντελεσθείη, οὐδὲ πόλεις
καὶ πολιτεῖαι νόμων ἐκτὸς καὶ ἀρχοντικῆς διατάξεως,
οὐδὲ ἐκτὸς κυβερνήτου ναῦς, οὐδὲ τὸ σμικρότατον τέχνης
ὄργανον ὑποσταίη ἂν μὴ διὰ τεχνίτου, οὐδ' εὐόρμου

c 7. οὐ μόνον ἄλογον] ἄλογον οὐ μ. B. 8. εἶναι] ἦν B. 10. λογισάμενοι] συλλογισάμενοι I. d. καὶ σοφῶς] μάλα σαφῶς B. 2. ἔμπλεών] ἔμπλεόν B. 5. τὴν ποιητ.] τε π. C.F.G. 6. ἄλογον] ἄλλυγον B. 7. ἐπεὶ δὲ] δὲ om. C.D.F.G.I. Mox λίθων καὶ ξύλων I. 10. ἀρχοντικῆς] ἄρχονται καὶ F.

tiebant; solem pariter, lunam, ac sidera, non deos, sed Dei opera esse philosophati sunt. Probe enim ipsi, corporeæ substantiæ propriam hanc esse naturam intelligebant, ut quemadmodum fluxa illa, atque interitui obnoxia est, ita ratione simul et animo careat. Deinde cum fieri non posse cogitarent, ut vel mundi hujus universi tam apte sapienterque conformata species, quæque tanta spirantium animalium, et ratione partim præditorum, partim carentium multitudine abundaret, fortuitæ ac tumultuariæ caussæ assignaretur: vel rerum animatarum inanimus, ratione præditarum rationis expers
3 auctor et opifex statueretur: sed potius intelligerent, cum neque repente ac per sese domus unquam ulla ex lignis et lapidibus coalescat, nec vestis absque textoris industria perficiatur, nec civitates aut respublicæ absque legum et principum, neque naves absque gubernatorum moderatione consistant, nec minimum quidem artis instrumentum sine artificis existat manu, neque navis unquam ulla felicem ad portum appellat, sapientis magistri gubernatione spoliata: multo

ποτὲ ναῦς λιμένος τύχοι μὴ οὐχὶ σὺν ἀγαθῷ κυβερνήτῃ· p. 302 οὐδ' ἡ τῶν καθόλου στοιχείων ἄρα φύσις, ἄψυχος οὖσα καὶ ἄλογος, τῷ καθ' ἑαυτὴν λόγῳ δίχα τῆς ἀνωτάτω τοῦ Θεοῦ σοφίας λόγου ποτὲ καὶ ζωῆς ἀνθέξεται. Ταῦτα δὴ καὶ τὰ τοιαῦτα διανοηθέντες οἱ τῆς Ἑβραίων εὐσεβείας πατέρες, ἐκ μεγέθους καὶ καλλονῆς κτισμάτων νῷ κεκαθαρμένῳ καὶ ψυχῆς διαυγέσιν ὄμμασι τὸν πάντων δημιουργὸν Θεὸν ἐσεβάσθησαν.

4 Κἄπειτα μέρος οὐ μικρὸν τοῦ παντὸς σφᾶς αὐτοὺς b εἶναι συναισθόμενοι, τὸ μέν τι αὐτῶν τίμιον εἶναι ἡγήσαντο, (τοῦτο δὲ καὶ τὸν ἀληθῆ ἄνθρωπον, τὸν κατὰ ψυχὴν νενοημένον,) τὸ δὲ τούτου χώραν περιβολῆς ἐπέχειν· τοῦτο δὲ εἶναι τὸ σῶμα. Καὶ δὴ τοῦτον διελόμενοι τὸν τρόπον, τὴν πᾶσαν περὶ τῆς τοῦ ἔνδον ἀνθρώπου ζωῆς φροντίδα καὶ σπουδὴν εἰσηνέγκαντο. c

ult. τύχοι] τύχῃ B.C.F.G. σὺν ἀγαθῷ] σὺν om. B.
p. 302. οὐδ' ἡ] οὐδ' ὁ F. 3. τοῦ θεοῦ om. B.C.F.G. 5. δὴ] δὲ C.D.F.G. 7. ἐκτισμένων] κτισμάτων B.C.D.E.F.G.I.S. τῶν ante ἐκτισμένων Vigeri margo. Mox B. addit νῷ post ψυχῆς. 9. δημιουργὸν] γενεσιουργὸν I. b 5. τοῦ παντὸς σφὰς αὐτοὺς] σφὰς αὐτοὺς τοῦ π. B.C.F.G. 6. μέντοι] μέν τι B.C.D.F.G. et sic Vigeri margo. εἶναι om. B. 9. ἐπέχον] ἐπέχειν B.C.F. c. ἀνθρώπου ζωῆς] ζωῆς ἀνθρώπου B.F.G.

sane minus hanc elementorum, ex quibus orbis iste conflatus est, expertem animi rationisque naturam, si summa illa Numinis divini sapientia secludatur, suapte vi nativaque facultate vitam simul et rationem obtinere. Hæc, inquam, aliaque similia, cum Hebrææ pietatis ac religionis parentes cogitarent, Deum illum universi molitorem, quem purgata mente, atque illuminatis animi oculis, in tanta rerum creatarum magnitudine ac specie agnoscebant, justa sunt veneratione prosequuti.

4 Deinde vero, cum iidem sese quoque partem esse universi non exiguam sentirent, e duabus sui partibus alteram, (quem verum ipsi, quique non nisi animo cognosci possit, hominem appellabant,) in pretio habendam putaverunt: alteram, nempe corpus, quoddam quasi septum esse, quo inclusus ille teneatur. Atque hoc discrimine constituto, in componenda hominis interioris vita, curam illi deinceps

2 Τοῦτο δὲ παρὰ τῷ πάντων δημιουργῷ Θεῷ προσφιλὲς εἶναι λογισάμενοι, ὅς που τὴν ἀνθρώπων φύσιν τῶν ἐπὶ γῆς ἁπάντων κρατεῖν οὐ ῥώμῃ σώματος ὡς ἀρετῇ ψυχῆς ἐδωρήσατο· (τὰ μὲν γὰρ τῶν ὄντων εἶναι ἄψυχα, οἷα λίθους καὶ ξύλα· τὰ δὲ ζωτικῆς δυνάμεως μέτοχα, οἷα τὰ ἀπὸ γῆς βλαστήματα· τὰ δὲ αἰσθήσεως ὁρμῆς d [178] τε φανταστικῆς μεμοιραμένα, οἷα ζῴων τὰ ἄλογα· πάντα δὲ ταῦτα ἑνὶ τῷ τῶν ἀνθρώπων γένει πρὸς ὑπηρεσίαν δουλοῦσθαι, οὐ ῥώμῃ σώματος καὶ ἰσχύϊ κατηναγκασμένα, λογισμῷ δὲ καὶ ψυχῆς ἀρετῇ, ᾗ τὸ κατὰ πάντων τῶν ἐπὶ γῆς ἀρχικόν τε καὶ βασιλικὸν γέρας ἄνωθεν παρὰ τοῦ τῶν ὅλων αἰτίου συγκεχωρῆσθαι κατειλήφασιν·)
3 ἔνθεν ὁρμώμενοι, σῶμα μὲν καὶ τὰ σωμάτων ἡδέα οὐδέν τι μᾶλλον τῶν ἄλλων ἐπὶ γῆς θρεμμάτων προτιμᾶν διενοήθησαν, τὸ δ' ἐν αὐτοῖς ἄρχον, ὡς ἂν τοῦ

c 4. δὲ παρὰ] καὶ παρὰ B.C.F.G.I. Mox θεῷ om. B. τούτῳ καὶ D. 5. ὃς] ὧς D. 6. ἀνθρώπων] ἀνθρώπου C.F. 8. ψυχῆς] κρατεῖν B.C.F.G. ψυχῆς κρατεῖν D. 9. οἷα] οἷον C.F.G. d 4. καὶ ἰσχύϊ om. B.C.D.F. 5. κατηναγκασμένα] κατηναγκασμένη B. 7. τε καὶ βασιλικὸν om. B.C.D.F.G. 8. κατειλήφασιν] κατειλήφεσαν I. 9. ἔνθεν] ἔνθα C.G. ἔνθα ὁρώμενοι F. 11. ἄλλων] ἀλόγων B. qui om. ἐπὶ γῆς θρεμμάτων. διενοήθησαν—ἀξιώσαντες om. B.

2 omnem studiumque posuere. Quod ipsi cum Deo rerum omnium architecto vehementer probari cognoscerent, a quo id muneris homo acceperat, ut iis quæ terrarum ambitu continentur omnibus, non robore corporis, sed animi facultate imperaret: (nam e rebus, inanimas alias esse, ut lapides atque ligna; vim aliis inesse vitalem, ut omnibus terræ germinibus: alias sentiendi facultate præditas, oblata extrinsecus impulsione commoveri, ut animantes ratione privatas: atque hæc omnia generis hominum unius obsequio, necessitate quadam mancipari, quam non robur viresque corporis, sed ratio atque animi virtus afferat: cui proinde regium quoddam in terrena omnia ditionis et imperii jus, ab rerum universarum auctore cœlitus conces-
3 sum esse perviderunt.) Hac illi cogitatione adducti, corpus corporumque delicias, loco non alio, quam cæterarum terræ pecudum genus, habendas esse censuerunt: quam vero sui partem imperio donatam agnoscebant, utpote cognatione aliqua summo rerum om-

πάντων ἄρχοντος οἰκεῖον, καὶ τῆς ψυχῆς τὸ λογικόν τε καὶ νοερὸν, θεῖόν τε καὶ ἐπιστημονικὸν, ὡς ἂν τοῦ ἐπὶ πάντων Θεοῦ τὴν ὁμοίωσιν φέρον, μόνον διὰ σπουδῆς ἔσχον. p. 303

4 Εἶτα μηδὲν ἄλλο τι ἐνθυμηθέντες ἀγαθὸν εἶναι τοῦ πάντων ἀγαθῶν χορηγοῦ Θεοῦ, τέλος ἁπάσης εὐδαιμονίας τὴν αὐτοῦ γνῶσίν τε καὶ φιλίαν εἶναι ἀπεφήναντο, ὅτι καὶ αὐτῆς ζωῆς, καὶ ψυχῆς, καὶ σώματος, καὶ τῶν τού-
5 τοις ἀναγκαίων μόνος αὐτὸς ἀνῆπται τὴν αἰτίαν. Τούτῳ δὴ οὖν σφᾶς ὅλους αὐτῷ σώματι καὶ ψυχῇ φέροντες ἀνατεθείκασι, τὸν πάντα αὐτῶν βίον ἐπ' αὐτὸν ἀναρτησάμενοι, καὶ μόνῳ προσέχειν ἄλλῳ δὲ μηδενὶ τῶν ὁρω- b
6 μένων ἀξιώσαντες. Οὕτω δὴ φιλόθεοι ὁμοῦ καὶ θεοφιλεῖς ἀναφανέντες, θεραπευταί τινες ὄντως καὶ ἱερεῖς τοῦ ὑψίστου Θεοῦ ἀπεφάνθησαν, ἢ καὶ γένος ἐκλεκτὸν καὶ βασιλικὸν ἱεράτευμά τε Θεοῦ καὶ ἔθνος ἅγιον προσαγο-

d 14. τε καὶ] τε om. C. λογισμὸν καὶ F. 15. τοῦ ἐπὶ π. θ. τὴν ὁμ.] τὴν ὁμ. τοῦ ἐπὶ π. θ. C.F.G.

p. 303. μηδ'] μηδὲν C.F.G. 4. τὴν αὐτοῦ] τὴν τοῦ θεοῦ C.F.G. 6. τούτοις] τοιούτων F.G. 7. τοῦτο D. qui mox σώματος et ψυχῆς et ἀνατεθήκασι. αὐτὸς om. E. b 3. ὄντες] ὄντως ms. apud Vigerum, et sic I. De E. silet collator meus. Mox θεοῦ om. I. 4. ἱερὸν] ἐκλεκτὸν E.I. 5. τε θεοῦ] τε om. C. 6. προσαγορευθῆναι] προσαγορευθέντες C.F.G.

nium imperatore conjunctam, ipsamque animi ratione intelligentiaque præditam, imo divinam quandam, ac doctrinæ sedem simul parentemque facultatem, quod summi Numinis expressam ferret imaginem,
4 omni unam diligentia studioque coluerunt. Deinde, quod præter bonorum omnium fontem auctoremque Deum, aliud prorsus intelligerent boni esse nihil, quodque unus ipse aptas ex sese vitæ, animi, corporis, quæque illis necessaria sunt, caussas omnium et rationes haberet, felicitatis universæ finem, ejus in unius partim cognitione,
5 partim amore posuerunt. Ita cum vitam instituerent, ex una ejus voluntate nutuque suspensam, eique soli, rerum præterea quæ videntur nulli, adjungendos sese addicendosque statuerent, eidem sese
6 totos corpore simul atque animo consecrarunt. Atque ita cum et Deum maxime diligerent, et vicissim ab eo diligerentur, summi Numinis cultores vere ac sacerdotes effecti sunt, imo, *genus electum ac*

1 Pet. 2, 9.

ρευθῆναι ἠξιώθησαν, σπέρμα τῆς ἀληθοῦς ταύτης εὐσε-
7 βείας καὶ τοῖς ὀψιγόνοις αὐτῶν ἀπολελοιπότες. [7] Ἆρ'
οὖν λογισμῷ σοι δοκοῦμεν τούσδε τῶν Ἑλληνικῶν προ-
τετιμηκέναι, καὶ μᾶλλον τῶν Φοινίκων τε καὶ Αἰγυπτίων
θεῶν τῶν τε περὶ τοὺς θεοὺς δυσφήμων ἀτοπημάτων c
τὰς παρ' Ἑβραίοις περὶ εὐσεβῶν ἀνδρῶν διηγήσεις ἀπο-
δέξασθαι;

5 Θέα δ' οὖν ἔτι εἰς ὅσον θεοφιλοῦς ἀρετῆς προελθεῖν d
φασὶ τοὺς δηλουμένους. Ἀποδεξάμενον τὸ θεῖον τῆς
τε ἄλλης τοῦ βίου εὐσεβείας καὶ φιλοσοφίας τῆς τε
περὶ αὐτὸ θεραπείας τοὺς ἄνδρας, ἤδη καὶ θειοτέρων
χρησμῶν θεοφανειῶν τε αὐτοὺς καὶ ἀγγελικῶν ὀπτασιῶν
ἠξίου, τὰ ἐνδέοντα τῇ θνητῇ φύσει ταῖς τῶν πρακτέων
ὑποθήκαις ἐπιδιορθούμενον, δογμάτων τε καὶ μαθημάτων
αὐτοῖς θεοπρεπῶν τὴν γνῶσιν ἀποκαλύπτον· ὡς μηκέτι
συλλογισμοῖς, μηδὲ εἰκασίαις, ἐκλάμψει δὲ αὐτῆς ἀλη-

b 8. ἀπολελοιπότες] ἀποληλακότες B. d. δ' οὖν] γοῦν C.F.G. Mox C. om. εἰς ante ὅσον. ἔτι om. F.G. ἔτι] ὅπως B.D. θεοφιλοῦς ἀρετῆς] ἀρετῆς θεοφ. B. 2. προελθεῖν] προσελθ. C. 6. θεοφανειῶν] θεοφανιῶν I. 10. ἀποκαλύπτων D.

regale, Deique sacerdotium et gens sancta, merito suo nuncupati, veræ hujus pietatis semine suos etiam in posteros nepotesque transfuso.
7 Num ergo tibi jam id a nobis consilii cum ratione susceptum videtur, uti et Græcis Hebræos anteferremus, quæque ab illis de sanctorum virorum pietate prodita sunt, Phœniciis Ægyptiisque numinibus, quæque de illis jactantur ignominiosis indignisque fabulis potiora duceremus?

5 Sed vide tu porro, quo tandem eos carissimæ Deo virtutis aspirasse commemorent. Nempe divinum illud numen, cum genus hoc hominum tam propter cæteram vitæ pietatem atque disciplinam, quam ob singularem erga se religionem complecteretur, diviniorum eis deinceps oraculorum, suique pariter et angelorum præsentiæ aspectusque copiam facere statuit, dum partim naturæ mortalis inopiam, res agendas insinuando sublevaret, partim dogmatum iis ac præceptorum, quæ Deum plane decerent, cognitionem aperiret. Ita non jam argumentis aut conjecturis quibusdam, sed ipsiusmet veritatis luce

θείας φωτίζεσθαι τὰς διανοίας αὐτῶν, ὥστε ἤδη θεοφο-
ρουμένους τὴν τῶν μελλόντων ἔσεσθαι, ὡς παρόντων,
ἐπιθεωρεῖν κατάληψιν, καὶ τὰ καθόλου συμβησόμενα
2 τῷ τῶν ἀνθρώπων γένει θεσπίζειν. Τοιαῦτα τῆς Ἑ- p. 304
βραίων ἀρετῆς τὰ πολυύμνητα καὶ ὡς ἀληθῶς θεοφιλῆ
περιέχει λόγια, ἃ τῶν Ἑλληνικῶν καὶ πατρίων μύθων
τε καὶ λήρων προτετιμήκαμεν· οἱ μέν γε περὶ θεῶν τὰ
αἰσχρότατα περιεῖχον, οἱ δὲ περὶ θεοφιλῶν ἀνδρῶν τὰς
εὐσεβεῖς διδασκαλίας.

6 Ταῦτα δὲ πάλαι πρότερον πρὶν ἢ καὶ Μωσέα καὶ τὸ b
Ἰουδαίων γένος ὑποστῆναι ἐξ ἔτι μακροῦ αἰῶνος παρὰ
τοῖς Ἰουδαίων προπάτορσιν ἐγνωρίζετο. Καὶ γὰρ οὖν
καὶ τοῦτο διαρθρῶσαι καλὸν, ὡς ὁ Ἰουδαϊσμὸς οὐκ ἦν
[179] πω τότε, ἀλλ' Ἑβραῖοι μὲν οἱ δηλούμενοι ὁμοῦ τῇ προσ-
ηγορίᾳ καὶ τὸν τρόπον ὑπῆρχον, Ἰουδαῖοι δὲ οὔτ' ἦσάν
2 πω, οὔτ' ἐχρηματίζον. Ἑβραίων δὲ καὶ Ἰουδαίων τὸ c

d 16. συμβησόμενα] συμβησόμεν C.
p. 304. 2. ὡς ἀληθῶς om. B.C.D.F.G. 3. μύθων τε καὶ om. B.C. D.F.G. 4. μέν γε om. C. γε om. F.G. b 3. πρὶν om. D. 4. ἰουδαίων γένος] τῶν ἰουδ. ἔθνος C.F.G. 5. ἐξ ἔτι] ἐξέτι C. Ἰουδαίων] Ἑβραίων I. 9. καὶ τὸν τρόπον—ἀποπεσὼν λήξεως om. B. τῷ τρόπῳ Vigeri marg.

collustratam mentem habebant, divinoque afflati numine, cum res futuras, perinde ac præsentes, intuebantur ipsi, tum quicquid univer-
2 sim eventurum esset, humano generi divinitus prædicebant. Hæc illa sunt, quæ celeberrimis, Deoque plane dignissimis oraculis, de singulari Hebræorum virtute continentur, quæque Græcis fabulis, patriisque nugis ipsi prætulimus: cum istis, flagitia de diis turpissima jactarentur, illi vero hominum Deo carissimorum historias ac monimenta proponerent summa cum pietate conjuncta.

6 Ac longe quidem antequam aut natus Moses esset, aut natio Judæorum existeret, jam usque a longissimi temporis memoria, Judæorum ipsorum majores, rerum istarum cognitione floruerunt. Nam hoc etiam enucleasse ac statuisse juverit, cum nullum extaret adhuc Judaismi vestigium, Hebræos quidem illos, qui a nobis laudantur, jam tum nomine simul ac moribus fuisse, qui tamen Judæi
2 nec essent, nec vocarentur. Itaque vel hinc utrorumque discrimen

διάφορον γνοίης ἂν ὧδε· τὴν μὲν προσηγορίαν οἱ μὲν ἀπὸ τοῦ Ἰούδα, ἐξ οὗ τῆς φυλῆς τὸ Ἰουδαίων μακροῖς ὕστερον χρόνοις βασίλειον συνέστη, οἱ δὲ ἀπὸ τοῦ Ἔβερ, προπάτωρ δὲ τοῦ Ἀβραὰμ οὗτος ἦν, ἐπεγράφοντο.
3 Προτερεῖν τε Ἰουδαίων Ἑβραίους διδάσκουσιν οἱ ἱεροὶ λόγοι. Τὸν δὲ τῆς εὐσεβείας τρόπον, Ἰουδαίοις μὲν πρῶτον ἀπάρξασθαι τῆς νομοθεσίας Μωσέα, σαββάτου τινὸς παραδόντα ἡμέραν, καὶ ταύτης πλείστην ὅσην φυλακὴν εἰς ὑπόμνησιν σχολῆς τῶν ἱερῶν λόγων, βρωτέων d τε καὶ οὐ βρωτέων ζῴων διαστολήν, ἑορτάς τε ἐτησίους, καί τινας σωμάτων καθαρμούς, ἄλλης τε μακρᾶς περιό-
4 δου κατά τινα σύμβολα θειότερον ἐπιτελουμένης. Ἑβραῖοι δὲ πρεσβύτεροι Μωσέως γενόμενοι τοῖς χρόνοις, πάσης τῆς διὰ Μωσέως νομοθεσίας ἀνεπήκοοι ὄντες, ἐλεύθερον καὶ ἀνειμένον εὐσεβείας κατώρθουν τρόπον, βίῳ μὲν τῷ κατὰ φύσιν κεκοσμημένοι, ὡς μηδὲν

c. γνοίης] γνοίοις I. τὴν μὲν] μὲν om. C.D.F.G. ἂν om. D. 5. οὗτος om. C. προπάτωρ δ' οὗτος Ἀβραὰμ ἦν F.G. 9. σαββάτους] σαββάτου (ους) C.I. d. βρωτέων] βρωτέον C. 2. ἐτησίας D. 4. ἐπιτελουμένος I. 9. τὴν φύσιν] τὴν om. D.F.G.I.

intelligas, quod Judæi quidem a Juda, cujus ex tribu regnum Judæorum multis post annis constitutum est, nomen acceperint; Hebræi
3 autem ab Hebero, cujus nepos Abraamus fuit. Ac Judæis antiquiores Hebræos fuisse divinis quoque literis edocemur. Nam quod ad ipsum religionis cultum attinet, Mosem primum Judæorum legislatorem extitisse, a quo partim sabbati diem acceperint singulari quadam observantia, ad usurpandam ejus diei, quo verborum divinorum quies ac cessatio fuerat, memoriam, partim animantium, quibus aut vescerentur aut abstinerent, distinctionem, partim solennia quædam annuaque festa, certosque corporis lustrandi purgandique ritus, et ingentem reliquarum ceremoniarum multitudinem, quæ divinioribus quibusdam symbolis ac figuris inclusæ, atque in orbem celebrandæ
4 recurrerent: cum Hebræi, qui longo ante Mosem tempore claruerunt, ferendæ per eum legis ignari, expeditam quandam ac liberam pietatis viam tenerent, moribus quidem ita naturæ ductum sequentibus præditi, nihil ut legum moderatione propter summam animi ab

νόμων δεῖσθαι τῶν ἀρξόντων αὐτῶν δι' ἄκραν ψυχῆς ἀπάθειαν, γνῶσιν δὲ ἀληθῆ τῶν περὶ Θεοῦ δογμάτων ἀνειληφέναι. Ἀλλὰ γὰρ τῶνδε τοῦτον εἰρημένων τὸν p. 305 τρόπον, ὥρα καὶ διὰ τῶν ἐγγράφων ἐλθεῖν.

7 Ὁ τοίνυν μέγας θεολόγος Μωσῆς Ἑβραῖος ὢν ἐξ Ἑβραίων, εἰ καί τις ἄλλος, εὖ τε τὰ πάτρια ἐξεπιστάμενος, ὡς ἐν προοιμίοις τῶν ἱερῶν νόμων τοὺς τῶν προ- b πατόρων Ἑβραίων βίους μνήμαις ἀνεξαλείπτοις παραδέδωκεν, ὧν τε ἀγαθῶν οὗτοι παρὰ Θεοῦ ἠξιοῦντο, καὶ αὖ πάλιν ἄλλων ἀθέων τε καὶ ἀσεβῶν τρόπους τε καὶ τιμωρίας, ἀναγκαῖον ἡγησάμενος ὑπάρξειν τοῦτο τοῖς μέλλουσιν τοὺς αὐτοῦ νόμους παιδεύεσθαι μάθημα εἴς τε ἀποφυγὴν τῆς τῶν φαύλων ὁμοιοτροπίας καὶ εἰς προ-
2 τροπὴν τοῦ τῶν εὐσεβῶν βίου. Χρῆν δὲ καὶ ἄλλως μὴ ἀγνοεῖν, ὅτι δὴ φθάσαντες, καὶ πρὸ τῶν ἐγγράφων αὐτοῦ c

10. ἀρξάντων] ἀρξόντων C.F.G.I. Supra μηδὲ D.F. μὴ δὲ G. ult. εἰρημένων τὸν τρόπον] οὕτως εἰρημένων C.F.G. τῶν δε τούτων οὕτως εἰρημένων D.

p. 305. b 3. παρὰ θεοῦ om. E. 4. ἠξιοῦντο] ἠξίωνται C.F.G. ἠξιώθησαν (ωντο) I. ἠξίονται D. Mox ἄλλων om. C.F.G. 4. τε καὶ] τε om. C.F.G.I. 5. δυσσεβῶν E.I. pro ἀσεβῶν.

omni perturbatione vacui æquitatem indigerent; eorum vero notitiam, quæ de Deo sentire oporteret, veram consequuti. Sed istis hunc in modum præmissis, operæ pretium fuerit ad scripturarum ipsarum fontes accedere.

7 Moses igitur, eximius ille theologus, atque ex Hebræis Hebræus ipse procreatus, cum patriæ gentis historiam, accurate, si quisquam alius, teneret, priscorum Hebræorum vitas, quæ sacris legibus cujusdam quasi procemii loco viam munirent, posterorum memoriæ commendare voluit, nulla unquam oblivione delendas. Iis porro, non ea tantum quæ divinitus acceperant beneficia, verum et nonnullorum præterea, qui omnem cum divinitate pietatis sensum abjecerant, mores simul ac pœnas intexuit; ratus iis, qui legibus suis instituendi essent, genus id cognitionis apprime necessarium futurum, ut eos et ab improborum imitatione deterreret, et ad consectanda
2 proborum exempla stimularet. Tanti etiam erat, uti eos non lateret, majorum quidem suorum quamplurimos, antequam abs sese leges

νόμων, πλείους ἤδη τῶν προπατόρων ὀρθοῖς λογι-
σμοῖς θεοσεβείας ἀρετῇ κατεκοσμήθησαν· οἳ καὶ φίλοι
Θεοῦ καὶ προφῆται χρηματίσαντες αἰωνίας ἔτυχον παρ'
αὐτῷ μνήμης, ὧν μηδὲ ἀλλοτρίους τὸ γένος εἶναι τού-
3 τους, οἷς τοὺς νόμους διετάττετο. Διὸ καὶ μᾶλλον
χρῆναι αὐτοὺς, ἀπογόνους θεοφιλῶν καὶ δικαίων ἀνδρῶν
φύντας, τῆς τῶν προπατόρων εὐσεβείας ζηλωτὰς ἀνα-
δειχθῆναι, σπεῦσαί τε τῶν ἴσων τοῖς γεννήσασι παρὰ
Θεοῦ τυχεῖν, ἀλλὰ μὴ ἀποναρκῆσαι, μηδ' ἀποκνῆσαι ὡς d
ἐπ' ἀδυνάτοις τῆς τῶν ἀγαθῶν ἐλπίδος ἑαυτοὺς ἀπογνόν-
4 τας· δυνατὰ γὰρ εἶναι, καὶ τοῖς οἰκείοις αὐτῶν προ-
πάτορσιν ἐντελῶς κατωρθωμένα· ὧν καὶ τὰς εἰκόνας
τοῖς τὰ θεῖα παιδευομένοις παρεδίδου, τοὺς βίους κατα-
λέγων τῶν παλαιῶν, καὶ τὴν ἰδιάζουσαν ἑνὸς ἑκάστου
ἀρετὴν ὥσπερ ἐν εἰκόσι γραφῆς διατυπούμενος.

c 5. *μηδὲ ἀλλοτρίους τὸ γένος*] *μηδ' ἀλλογενεῖς* C.F.G. *τὸ γένος ἀλλογενεῖς* S.V. 6. *διετάττετο*] *διετάττοντο* E. 10. *σπεῦσαι*] *σπουδάσαι* I. d 2. *ἀποκυνῆσαι* F. 3. *ἀπογνῶντας*] *ἀπογνόντας* C. ed. Viger. *ἀπογνῶντας* D. Supra *τῆς* om. D. 9. *εἰκόσι*] *εἰκόνι* C.F.G.

scripto latæ essent, rectæ unius rationis manum sequutos, ad sum-
mam religionis ac divini cultus laudem pervenisse, qui quod et divini
Numinis amicitia et prophetiæ munere præstitissent, immortali apud
3 se memoria viverent. Quibus autem leges ipse præscriberet, eos
cum antiquioribus illis esse generis ac sanguinis communione con-
junctos: eoque verum esse, ut qui hominum Deo carissimorum ac
virtutis amantissimorum nepotes essent, iidem majorum quoque
suorum pietatis æmulos se atque imitatores exhiberent, atque in
beneficiorum ac præmiorum, patribus a Deo concessorum, partem
ac societatem venire omni ope studioque contenderent; non autem
similium bonorum, perinde ac si obtineri ab iis nulla ratione possent,
4 desperatione fracti ac debilitati torpescerent: quippe quæ nec supra
vim eorum et facultatem omnem essent, et ipsismet illorum patribus
feliciter evenissent. Quorum imagines iis propterea, qui divinis
institutis imbuendi atque initiandi essent, objiciendas putavit; eoque
consilio priscorum vitas conscribendas selegit, et quasi picta in tabula
singularem ac propriam cujusque virtutem suis coloribus adum-
bravit.

8 Καὶ τούτων δὲ οὐδὲν ἐμποδὼν μὴ οὐχὶ διὰ βραχέων p. 306
ἐπιδραμεῖν τὴν ἱστορίαν. Πρὸ μὲν οὖν τοῦ κατα- b
κλυσμοῦ, ὥσπερ ἡ αὐτοῦ Μωσέως περιέχει γραφή· (δεῖ
[180] δέ που, ὡς οἶμαι, μὴ ἄλλοθεν ἢ πάλιν οἴκοθεν τὰ Ἑ-
βραίων πάτρια διασκοπῆσαι, ἐπεὶ καὶ τὰ Αἰγύπτια παρ'
Αἰγυπτίων, καὶ τὰ Φοινίκων παρὰ τῶν οἰκείων ἐμαν-
θάνομεν, ὡς αὖ πάλιν τὰ Ἑλλήνων παρὰ τῶν ἐν τού- c
τοις διαφανῶν, τά τε φιλοσόφων παρὰ τῶν φιλοσόφων,
ἀλλ' οὐ παρὰ τῶν ἀπείρων φιλοσοφίας· πόθεν δὲ
ἄλλοθεν προσήκοι ἂν καὶ τὰ ἰατρικῆς ἢ παρὰ τῶν ἐπι-
στημόνων πυνθάνεσθαι; οὕτω δὴ κατὰ τὸ ἀκόλουθον
ἡγοῦμαι δεῖν καὶ τὰ Ἑβραίων ἐκ τῶν παρ' Ἑβραίοις
2 λογίων, ἀλλὰ μὴ ἄλλοθέν ποθεν ἀποδέχεσθαι.) Ὥσπερ
οὖν ὁ παρὰ τούτοις κατέχει λόγος, ἄνωθεν πρὸ τοῦ
κατακλυσμοῦ ἐκ πρώτης ἀνθρώπων γενέσεως καὶ εἰς τὰς
ἑξῆς διαδοχὰς θεοφιλεῖς τινὲς ἄνδρες γεγόνασι καὶ δί- d

p. 306. b 3. οὐχὶ om. F. 5. τοῦ κατ.] τοῦ om. F. ὥσπερ] ὥσπερ οὖν I. 8. διασκοπῆσαι] διασκοπῆσθαι I. c 2. παρὰ τῶν φιλοσόφων] παρ' ὁμοίων C.D.F.G. 4. προσήκει D. qui mox ἐπιστημόνως D. 6. οὕτω] καὶ οὕτω C.D.F.G. 8. ἄλλοθέν ποθεν] ἀλλαχόθεν C.F.G. 10. κατακλυσμοῦ] κατακλυσκλοῦ C.

8 Neque vero abs re fuerit, eorum historiam breviter hoc loco percurrere. Primum igitur ante diluvium, quemadmodum ex Mosis ejusdem monimentis intelligimus: (nec enim aliunde, opinor, quam ex propriis eorum quoque fontibus res Hebræorum hauriendæ sunt, cum Ægyptiacas ab Ægyptiis, et a Phœnicibus Phœnicias petierimus, Græcasque similiter ab iis qui nominis apud Græcos celebritate floruerunt, adeoque a philosophis, non autem ab iis qui in philosophia hospites ac peregrini essent, quæ ad philosophiæ rationes ac decreta pertinebant. Quos tu vero justius de medicinæ præceptis, quam artis illius peritos consulas? Eodem plane jure statuo, res Hebræo-
2 rum non aliis quam Hebræorum ex literis esse repetendas.) Multis ergo, quemadmodum illorum docet historia, longo ante diluvium tempore, jam usque a prima hominum origine, perque longam deinceps consequentium ætatum seriem, cum præcipuo Deus amore com-

καιοι πλείους· ὧν ὁ μὲν, Ἤλπισεν ἐπικαλεῖσθαι τὸ
3 ὄνομα Κυρίου τοῦ Θεοῦ. Τοῦτο δὲ δηλοῖ, τὸ μηδένα πλὴν
τῶν ἁπάντων τὸν δημιουργὸν δεσπότην ὁμοῦ καὶ Θεὸν
τῶν ὅλων ἐπιγράψασθαι. Πεπεῖσθαι γὰρ αὐτὸν οὐ
μόνον ποιητικῇ δυνάμει εὖ καὶ ἐν κόσμῳ τὸ πᾶν διατε-
θεικέναι, ἀλλὰ καὶ δεσπότου δίκην, ὡς ἂν μεγάλης πό-
λεως, τοῦ σύμπαντος κυριεύειν, οἰκονομεῖν τε καὶ οἰκο-
δεσποτεῖν ὁμοῦ καὶ κύριον ὄντα καὶ βασιλέα καὶ Θεόν.
4 Οὗ τὴν ὡς Κυρίου καὶ Θεοῦ ἔννοιάν τε καὶ προσηγορίαν
πρῶτος ὁ δηλούμενος θεοφιλὴς ἐν νῷ βαλλόμενος, ἀντὶ
πάσης ὑπάρξεως καὶ προσηγορίας καὶ περιουσίας, μᾶλ-
λον δὲ ἀντὶ παντὸς ἀγαθοῦ, Ἤλπισεν ἐπικαλεῖσθαι τὸ p. 307
ὄνομα Κυρίου τοῦ Θεοῦ, τοῦτον ἑαυτῷ θησαυρὸν ἀγαθῶν
5 ψυχῆς τε ὁμοῦ καὶ σώματος πεπορισμένος. Παρ' ὃ καὶ
πρῶτος ἀληθὴς ἄνθρωπος χρηματίσαι παρ' Ἑβραίοις

d 6. *καὶ ἐν κόσμῳ* om. C.D.F.G. 7. *δεσπότου δίκην*] *δεσπό´* I. 8. *ὡς*] *εἰς* C. 12. *θεοφιλὴς* om. C.F.G. 13. *καὶ προσηγορίας* om. C.D.F.G. qui mox om. *μᾶλλον δὲ ἀντί*.

p. 307. 4. *παρ' ὃ*] *δι' ὃ* D.F.G. *ἀληθὴς*] *ἀληθῶς* I. 5. *χρηματίσαι— ἄνθρωπος* om. C.F.G.

plexus est, tum laus integritatis summa commendavit. Atque illum Enos.
3 in primis, qui *speravit invocare nomen Domini Dei*. Quo loquendi Genes. 4, ult.
genere scriptura declarat, alium ab eo neminem præter ipsummet
rerum molitorem omnium, et universi Dominum simul atque Deum,
sibi rebusque suis tutelarem, quasi patronum esse delectum : quippe,
qui omnino persuasum id haberet, non universum modo vi effectricis
illius potestatis bene ac sapienter esse constitutum, sed etiam perinde
ut ingentem aliquam rempublicam ejusdem imperio ac ditione conti-
neri, ac partes illius omnes ipsius tanquam summi patris familias, imo
tanquam veri legitimique Domini, regis, ac Dei voluntate arbitrioque
4 gubernari. Quas ille de Deo princeps eique carissimus Domini Deique
notiones et appellationes animo cum informasset, idem simul facul-
tatis omnis, ac nominis, opumque omnium loco, vel potius præ cu-
jusvis boni copia, *Speravit invocare nomen Domini Dei,* cum eum sibi
cunctorum animi simul et corporis bonorum thesaurum comparasset.
5 Quam ob caussam primum eum quoque verum hominem audiisse

ἀναγέγραπται. Κέκληται δ᾽ οὖν Ἐνὼς, ὅπερ ἐστὶν
ἀληθὴς ἄνθρωπος, εὐθυβόλῳ προσωνυμίᾳ. Οὐδὲ γὰρ
ἄλλον φασὶν ἀληθῆ προσήκειν ἡγεῖσθαι καὶ ὀνομάζειν
ἄνθρωπον ἢ τὸν Θεοῦ γνώσεως καὶ εὐσεβείας ἐπήβολον,
6 τὸν ἀληθῶς γνωστικὸν ὁμοῦ καὶ εὐσεβῆ. Ὅτι δὴ τοὺς
μὴ τοιούτους, θρεμμάτων κατ᾽ οὐδὲν ἀλόγων διαφέρον- b
τας, οἷα ἐπὶ γαστέρα καὶ ἡδονὴν πρηνεῖς καταβεβλημέ-
νους, θῆρας μᾶλλον ἢ ἀνθρώπους ἡ Ἑβραίων ἀποκαλεῖν
διδάσκει γραφὴ, κυριολεκτεῖν εἰθισμένη τὰς προσηγο-
7 ρίας. Παρ᾽ ὃ τοὺς τοιούσδε τοτὲ μὲν λύκους καὶ κύνας,
τοτὲ δὲ σύας φορυτῷ χρωμένους καὶ χαίροντας, καὶ
πάλιν ἑρπετὰ καὶ ὄφεις, τοῖς τῆς κακίας πολυτρόποις
8 ἐμφερῶς εἴδεσι, προσαγορεύειν εἴωθεν. Εἰ δὲ καί ποτε
τὸν κοινὸν καὶ πολὺν ἄνθρωπον καὶ τὸ γένος αὐτὸ χρεὼν c
διασημῆναι, πάλιν οἰκείᾳ καὶ προσφυεῖ χρωμένη προσ-

a 7. εὐθυβόλῳ προσωνυμίᾳ] εὐθυβόλως προσωνόμασται C.F.G. προσωνυμίᾳ εὐθυβόλως προσωνόμασται D. 9. γνώσεως] γενέσεως F. b. ἀλόγων om. C.D.F.G. Supra θρεμμάτων δὲ I. 3. θῆρας μᾶλλον] Unde Κρῆτες ἀεὶ ψεῦσται, κακὰ θηρία, γαστέρες ἀργαὶ, ex Hes. init. Theog. ποιμένες ἄγραυλοι κακ᾽ ἐλέγχεα, γαστέρες οἶον S. 4. ἀποκαλεῖν om. D.F.G. 5. τὰς προσηγορίας] ταῖς προσηγορίαις F.G.S.V. 6. τοιούσδε τοτὲ] τοιούτους ποτὲ C.D.F.G. Mox ποτὲ D.F.G. 7. χρωμένους καὶ om. E.I. 9. ἐμφερῶς εἴδεσι] εἴδεσιν ἐμφαιρῶς C. εἴδεσιν ἐμφερῶς D.F.G. c 3. χρωμένη προσηγορίᾳ] προσηγ. χρ. C.F.G.

Enos cur verus homo.

Hebræi prodiderunt. Enos sane quidem, hoc est verus homo, appellatus fuit, congruente admodum aptaque nominis ratione. In eum enim solum veri hominis appellationem convenire statuebant, qui Dei notitiam sensumque pietatis consequutus esset, adeoque vera tum cognoscendi facultate, tum etiam religione præditus, alium præterea
6 neminem. Nam qui ejusmodi non sunt, quique in ventrem ac voluptatem proni et abjecti, nihil a brutis animantibus differunt: eos vero belluas potius quam homines appellandos Hebræorum docent literæ,
7 quæ suo quamque rem ac proprio nomine appellare solent. Itaque genus hoc hominum, modo lupos et canes, modo sues quisquiliis inhiantes, modo serpentes etiam et angues, pro varia et multiplici geminorum affiniumque vitiorum ratione, vocare consueverant.
8 Quemadmodum, si quando vel hominem in universum, vel genus ipsum hominum designare opus est, proprio similiter et innato, hoc est Adami, nomine omnes ex æquo significant. Quippe id enim

ηγορίᾳ τὸν πάντα ἄνθρωπον τῇ τοῦ Ἀδὰμ ἐπωνυμίᾳ
σημαίνει, ὅτι δὴ τοῦτο τῷ προγόνῳ καὶ πάντων ἀνθρώ-
πων προπάτορι κύριον εἶναι καὶ προσφυὲς ὄνομα, τὸν
γηγενῆ δηλοῦν κατὰ τὴν εἰς Ἑλλάδα φωνὴν μετάληψιν,
9 ὑποφαίνει. Ὅ γέ τοι Ἐνὼς πρῶτος θεοφιλῶν παρ'
Ἑβραίοις ἱστόρηται, ἐπεὶ πρῶτος ἤλπισεν ἐπικαλεῖσθαι
τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ, τὸ κατὰ ψυχὴν παριστὰς d
λογικὸν ὄντως καὶ γνωστικὸν καὶ τῆς περὶ τὸ θεῖον εὐ-
σεβείας ἐπιστημονικόν· ὧν τὸ μὲν πρῶτον θεογνωσίας
ἀληθοῦς, τὸ δὲ δεύτερον τῆς εἰς τὸν ἐπιγνωσθέντα Θεὸν
10 ἐλπίδος γένοιτ' ἂν ἀποδεικτικόν. Τὸ γὰρ μὴ παρα-
μελεῖν μὴ δ' ἐν δευτέρῳ τίθεσθαι τὰ τῆς θείας ἐπιγνώ-
σεως, ἀεὶ δὲ καὶ διαπαντὸς ἐλπίζειν ἐπικαλεῖσθαι τὸ
ὄνομα Κυρίου τοῦ Θεοῦ, τὸ μὲν ὡς οἰκετῶν δεσπότου,
τὸ δ' ὡς ἵλεω καὶ ἀγαθοῦ πατρὸς, τοῦτ' ἂν εἴη τὸ πάν-
11 των τρισμακάριον τέλος. Τοιόσδε μὲν οὖν ὁ παρ' Ἑ-

c 4. σημαίνειν] σημαίνει D.F.G. et sic ed. Steph. 6. καὶ προσφυὲς] καὶ προς C. 8. τὴν] τὸν C.D.V. μετάληψιν ὑποφαίνει] μεταβιβασμόν C.D.F.G.S.V. 11. κυρίου τοῦ θεοῦ] τοῦ θεοῦ καὶ κυρίου C.F.G. d. λογικὸν ὄντως] ὄντως λογικὸν καὶ C.F.G. καὶ γν. D.E.F.I. καὶ om. edd. 6. παραμένειν] παραμελεῖν I. Vid. Emend. ad Suid. T. II. p. 33. Toup. μὴ δ' ἐν δευτ. τίθ. τὰ om. C.D.F.G. 7. ἐπιγνώσεως] γνώσεως C. D.G. γενέσεως F. 12. μὲν οὖν] οὖν om. I.

nominis, quod si græce reddatur, natum ex terra sonat, primo illi
cunctorum hominum parenti proprium atque a natura ipsa inditum
9 fuisse docent. Enos igitur omnium principem Hebræorum historia
divino ab amore commendat, quod quum primus *Sperarit invocare
nomen Domini Dei*, in parte animi ratione prædita non modo vere
cognoscendi, sed etiam quæ Deum unum intuetur religionis hau-
riendæ ac percipiendæ vim exeruerit. Quorum alterum veræ Dei
notitiæ, alterum spei quæ in Deo rite cognito acquiescat, certum ac
10 perspicuum argumentum est. Nunquam enim quæ divinam ad cog-
nitionem pertinent, aut negligere penitus, aut ulla re posteriora du-
cere, sed potius in Domini Dei, modo tanquam servorum domini,
modo tanquam optimi suavissimique parentis implorando nomine,
spem omnem habere perpetuoque defixam, id vero ter beatus morta-
11 lium omnium finis jure ac merito habeatur. Ejusmodi ergo primum

βραίοις εἴσηκται πρῶτος καὶ ἀληθὴς ἄνθρωπος, οὐχ ὁ
γηγενὴς ἐπίκλην Ἀδὰμ δι' ἐντολῆς Θεοῦ παράβασιν τῆς
τῶν κρειττόνων ἐκπεσὼν λήξεως, ἀλλ' ὁ θεοφιλῶν πρώ-
τιστος, ὃς ἤλπισεν ἐπικαλεῖσθαι τὸ ὄνομα Κυρίου τοῦ p. 308
12 Θεοῦ. Κρίναντες δὴ καὶ αὐτοὶ λογισμῷ σώφρονι τὸ
[181] τοιόνδε ζηλοῦν ἠγαπήσαμεν, καὶ ἀπεδεξάμεθα ὡς λυσι-
τελῆ καὶ ὠφελιμωτάτην ἡμῖν τὴν τοῦ λόγου διήγησιν,
εὐχὴν θέμενοι κατ' ἴσα τῇ τοῦ δηλωθέντος εἰκόνι τὸ
ὄνομα τοῦ τῶν ἁπάντων δημιουργοῦ τε καὶ δεσπότου
13 μετὰ βεβαίας καὶ ἀγαθῆς ἐλπίδος ἐπικαλεῖσθαι. Ἀλλὰ
γὰρ μετὰ τὸν εἰρημένον ἄλλος εὐηρέστησε τῷ Κυρίῳ, καὶ
οὐχ εὑρίσκετο, ὥς φησι Μωσῆς, διότι μετέθηκεν αὐτὸν ὁ
Θεὸς δι' ἄκραν ἀρετῆς τελείωσιν. Δυσεύρετος γὰρ ὅ b
14 γε σοφὸς ἀληθῶς. Οὗτος δ' ἂν εἴη ὁ ἐν τῷ Θεῷ τέ-
λειος, ὁ τῆς τῶν πολλῶν διατριβῆς μετατεθειμένος. Ὁ

d 12. εἴσηκται om. C.F.G. 15. ἀποπεσὼν] ἐκπεσὼν C.D.F.G. Vid. infra p. 317 b. 329 b 11. Demonst. IV. p. 158 c.

p. 308. 1. δὴ καὶ] οὖν καὶ B.C D.F.G.S.V. 4. ὠφελιμωτάτην] ὠφελιμώτατον C. ὠφ. D. 5. εὐχὴν θέμενοι] εὐξάμενοι B.C.D.F.G.S. τῇ τοῦ δηλωθέντος εἰκόνι] τῷ δηλωθέντι B.C.D.F.G.S.V. 6. δημιουργοῦ τε καὶ om. B.C D.F.G. qui mox om. καὶ ἀγαθῆς. 8. γὰρ μετὰ τὸν εἰρημένον] μετὰ τοῦτον καὶ B.C.D.F.G. μετὰ τοῦτον ἄλλος S.V. 10. εὑρίσκετο] ηὑρίσκ. B.C.D. b 2. τῷ Θεῷ] τῷ om. C.D.F.G.I.

esse verumque hominem Hebræi statuerunt, non alterum illum e terra natum, quem Adamum vocant, qui divina lege violata, eximiorum ac cœlestium bonorum possessione exciderat; sed eum potius, qui divino ante alios omnes amore succensus, *Domini Dei nomen in-*
12 *vocare speraverat.* Eundem itaque nobis imitandum sano integroque judicio statuentes ipsi quoque; rei hujus historiam, ut apprime nobis utilem, omni studio complexi, hoc simul in votis habuimus, ut tanti viri exemplo, summi rerum omnium opificis Dominique nomen, con-
13 stanti quadam egregiaque spe implorare possimus. Jam vero secun-
Gen. 5, 24. dum Enos, alius quidam *placuit Domino et non inventus est*, ut idem Moses commemorat, *quia transtulit eum Deus* ob summam virtutis ejus perfectionem. Plane enim, qui vere sapiat, ægre admodum
14 aliquem reperias. Ejusmodi autem is demum est, qui sua cum Deo perfectione conjunctus, ex hominum sese usu consortioque sub-

γὰρ μὴ τοιοῦτος ἀγορὰς καὶ δικαστήρια καπηλείας τε
καὶ ἐμπορίας καὶ τὸν πολὺν ὄχλον μεταδιώκων, ὠθού-
μενός τε καὶ ὠθῶν, μέσος ἐν αὐτῷ κακίας βυθῷ κατα-
πίνεται· ὁ δ᾽ ὑπὸ Θεοῦ ληφθεὶς, καὶ τῶν τῆδε ἐκεῖσε
μετατεθειμένος, ἀφανὴς μὲν καὶ ἀνεύρετος ἀνθρώποις,
15 Θεῷ δὲ φίλος γεγονὼς, ὑπὸ Θεοῦ εὕρηται. Τοῦτον
Ἐνὼχ Ἑβραίοις ὀνομάζειν φίλον· χάριν δὲ Θεοῦ ση- c
μαίνοι ἂν τοὔνομα. Καὶ ταύτης τοιγαροῦν ὡς ἀγαθῆς
εἰκόνος τὸν βίον ζηλοῦν μακάριον εἶναι ἡγησάμεθα.
16 Τρίτος μετὰ τούτους πάλιν ἄλλος ἄνθρωπος δίκαιος
πεφηνὼς ὁ Νῶε ἐν τῇ γενεᾷ αὐτοῦ μεμαρτύρηται. Τε-
κμήρια δὲ καὶ τῆς τούτου δικαιοσύνης εἴη ἂν τάδε. Πο-
λὺς αὐχμὸς καὶ γνόφος ἀλέκτου κακίας τὸ πάντων
ἀνθρώπων κατειλήφει γένος, οἵ τε πάντων ἀνὰ στόμα
θρυλούμενοι γίγαντες τὰς εἰς δεῦρο βοωμένας θεομαχίας
ἀθέοις καὶ δυσσεβέσιν ἐγχειρήμασιν ἀπειργάζοντο· ἤδη d

b 4. δικαστήρια] δικαστηρίου C.F.G. 8. ἐκεῖσε] ἐκεῖ C.D.F.G. 11. ἑβραίοις ὀνομάζειν φίλον] ἑβραῖοι ὀνομάζουσι C.D.F.G.S.V. c 3. μακάριος F. 4. τρίτος] τρίτος γὰρ B. Tum τούτοις D. 6. τούτων] τούτου B.C I. ed. Vig. τούτων D. cum Steph. 8. ἀλέκτου] ἐκ τοῦ B. 9. κατειλήφει] κατείληφε B.C.D.F.G. d. ἀπειργάζοντο] εἰργ. B.D.F.G. Mox ἡ τῆς C.

duxerit. Quisquis enim aliud consilium sequutus, in fora, tribunalia,
cauponas, nundinas, atque in hominum vulgus sese dat, is dum in
turba huc illucque jactatur, alto improbitatis gurgite totus hauritur.
At qui divina quasi manu subductus, et a fluxis caducisque rebus ad
cœlestium amorem traductus est; ut ab hominibus videri ac reperiri
non possit, a Deo tamen cujus in amicitiam transcriptus est, inve-
15 nitur. Eum porro virum Enoch appellare Hebræi solent, quæ vox Enoch, id est divina gratia.
divinam sonat gratiam. Nos autem hujus quoque vitam, ut excel-
lentem virtutis imaginem consectandam nobis æmulandamque puta-
16 vimus. Extitit deinde tertius, quem *in sua generatione* æquitatem
coluisse scriptura testatur. Fuit is Noemus, cujus integritati sequens Noemus.
argumentum egregie suffragatur. Altus quidam sceleris infandi
squalor et caligo hominum genus occuparat universum: gigantes
omnium ore jactati, impio sacrilegoque ausu, ea quæ huc usque
nemo non loquitur, cum Deo bella susceperant: jam illorum etiam

δὲ καὶ οἱ τῆς τούτων γενέσεως αἴτιοι, εἴτε τινὸς κρείττο-
νος μοίρας ἢ κατὰ θνητῶν φύσιν ὑπάρξαντες, εἴθ' ὁπω-
σοῦν κατεσκευασμένοι, τῆς ἐν ἀνθρώποις περιέργου
διδασκαλίας ἀπάρξαντες, γοητείας καὶ τῆς ἄλλης κακο-
τρόπου μαγγανείας ἐπιτεχνήματα λέγονται παραδοῦναι
τῷ βίῳ, ὥστε πᾶν τὸ ἀνθρώπειον γένος μιᾶς ὑπὸ ψῆφον
17 γενέσθαι παρὰ Θεῷ δίκης. Καὶ δὴ πάντων ἑνὶ νεύματι
διαφθείρεσθαι μελλόντων, μόνος εἷς οὗτος ὁ νῦν ἡμῖν
δηλούμενος δίκαιος ἐν τῇ γενεᾷ αὐτοῦ σὺν καὶ τοῖς οἰ-
κείοις εὕρηται. Πάντων δῆτα τῶν ἐπὶ γῆς κατακλυσμῷ
διολλυμένων, καὶ τῆς γῆς αὐτῆς ὑδάτων ἀθρόᾳ πλημ-
μύρᾳ τῶν προτέρων κακῶν ἀποκαθαιρομένης, ὁ θεοφιλὴς
σὺν παισὶν ἅμα καὶ γυναιξὶ τῷ μετὰ ταῦτα βίῳ ζώπυ- p. 309
ρον σπέρμα παραδοξότατον πρὸς τοῦ Θεοῦ τετήρηται.
18 Γένοιτο δ' ἂν καὶ οὗτος ἀρχέτυπος εἰκών, ζῶσα καὶ ἐμ-

d 4. τοῖς] τῆς F.G. 6. κακοτρόπου] κακοτροπίας D. 7. λέγονται] λέγεται B. 8. ἀνθρώπειον] ἀνθρωπίνον C.F.G. 9. γενέσθαι] ἀνάγεσθαι B. 11. ἡμῖν om. B.C.D. 12. ἐν τῇ γενεᾷ αὐτοῦ σὺν καὶ τοῖς οἰκείοις] σὺν τοῖς αὐτοῦ τότε εὕρ. B.C.F.G.V.S. τοτε item D. suprasc. 13. δῆτα] δὲ B.C.D.F.G. 14. διολλυμένων] ὀλλυμένων B.C.D.F.G.

p. 309. 2. παραδοξότατον] παραδοξότατα I. 3. τετήρηται] τετήρητο B.I. Tum γένοιτο—γεγενημένοις om. B C.F.G. sed τοῖς ἐξ αὐτοῦ γεγεννημένοις add. post παρεσχημένος. ὑποδειγ.—παρεσχ. om. D.

parentes, seu conditionis cujusdam mortalium natura superioris erant,
seu quacunque tandem ratione sati, curiosæ artis semina inter homines
jecerant, atque omne præstigiarum maleficiorumque genus in eorum
17 societatem invexerant. Ita quicquid ubique hominum erat, cum eadem
a Deo sententia damnandum esset, jamque idem pariter omnibus uno-
que momento exitium immineret: unus ille cum suis, quo de loqui-
mur, *justus in generatione sua repertus est*. Cunctis ergo, quæ terra-
rum ambitu continebantur diluvio haustis, ipsaque adeo terra immani
aquarum eluvione purgata, vir ille Deo carissimus cum liberis simul
et uxoribus, novum plane novo hominum generi excitando animan-
18 doque semen, ejusdem munere beneficioque servatus est. Dignus et

Diluvium Noemiticum.

ψυχος, τοῖς ἐξ αὐτοῦ γεγενημένοις ὑπόδειγμα τρόπου θεοφιλοῦς παρεσχημένος.

19 Καὶ οἱ μὲν πρὸ τοῦ κατακλυσμοῦ, τοιοίδε· οἱ δὲ μετὰ
τοῦτον ἐπ' εὐσεβείᾳ διαπρεπεῖς ἄλλοι πάλιν, ὧν τὴν
μνήμην τὰ ἱερὰ διασώζει λόγια. Τούτων τις ἱερεὺς
ἀνείρηται τοῦ ὑψίστου Θεοῦ, βασιλεὺς δίκαιος τῇ Ἑ-
20 βραίων προσηγορίᾳ χρηματίσας. Τούτοις δὴ πᾶσιν
οὐδὲ εἷς σώματος περιτομῆς λόγος ἦν, ἀλλ' οὐδὲ τῶν b
Μωσέως Ἰουδαϊκῶν παραγγελμάτων· διόπερ αὐτοὺς
οὐδὲ Ἰουδαίους φάναι δίκαιον, οὐδέ γε Ἕλληνας, ὅτι
μηδὲ πλείους θεοὺς ὁμοίως Ἕλλησιν ἢ τοῖς λοιποῖς
ἔθνεσιν ἡγοῦντο. Ἑβραῖοι δ' ἂν κυριώτερον ἐπικληθεῖεν,
ἤτοι παρὰ τὸν Ἕβερ, ἢ καὶ μᾶλλον παρὰ τὴν ἑρμη-
21 νείαν τῆς προσηγορίας. Περατικοὶ γάρ τινες ἑρμηνεύ-
ονται, τὴν ἀπὸ τῶν τῆδε ἐπὶ τὴν τοῦ τῶν ὅλων Θεοῦ
διάβασίν τε καὶ θεωρίαν στειλάμενοι. Φυσικοῖς γάρ τοι c
λογισμοῖς καὶ νόμοις ἀγράφοις τὴν ὀρθὴν τῆς ἀρετῆς

a 8. ὧν τὴν μνήμην] ὧν τὰ ἱερὰ μέμνηται λόγια B.C.F.G. 11. προσηγορίᾳ χρηματίσας] χρημ. προσ. B.C.D.F.G. b. ἀλλ' om. E. 5. ἔθνεσιν] Ἕλλησιν B.I. 6. ἐπικληθεῖεν] κριθεῖεν B.C.F.G. κληθεῖεν D.

ipse profecto, quem ut vivum ac spirans virtutis et religionis exemplar, posteri omnes æmulentur.

19 Atque hi ante diluvii tempora floruerunt. Extitere alii postea, pietate nobiles ipsi quoque, quorum memoria sacris etiam paginis conservata manet. Quos inter sacerdos quidam summi Numinis
20 creatus est, quem justum regem Hebræo nomine appellarunt. Cæterum apud illos omnes, de corporea circuncisione verbum omnino nullum, nullum earum, quibus Judæos Moses instituit, legum vestigium. Quare Judæos illos nuncupare, verum utique non fuerit; Græcos autem multo minus, qui non Græcorum aut cæterorum populorum more, deorum multitudinem invexerint. Hebræos vero justius appellaveris, sive ab Hebero nomen ducas, sive potius a
21 vocis illius significatione. Hebræos enim, quasi transeuntes, interpretari possis: qui a terrarum commercio, ad præpotentis Dei contemplationem transierint. Ejusmodi enim eos fuisse testatur historia, qui unius a natura inditæ rationis, legumque scripto nullo

Melchisedec, 1. Rex justus.

Hebræi unde dicti.

διευθύναντες πορείαν, καὶ πέραν τῶν σαρκὸς ἡδονῶν ἐπὶ τὸν πάνσοφον καὶ θεοσεβῆ βίον διαβεβηκότες ἀναγρά-
22 φονται. Ἐν δὴ τούτοις ἡμῖν ἅπασι καὶ ὁ βοώμενος τοῦ παντὸς ἔθνους γενάρχης Ἀβραὰμ καταριθμείσθω, ᾧ μαρτυρεῖ τὰ λόγια δικαιοσύνην, οὐ τὴν ἐκ νόμου πάλιν Μωσέως, ὅτι μηδὲ ἦν πω τότε, (μετὰ γοῦν τὸν
[182] Ἀβραὰμ ἑβδόμῃ γενεᾷ Μωσῆς ἀναπέφηνε,) πλὴν ἀλλὰ καὶ οὗτος δίκαιος καὶ εὐσεβής, εἰ καί τις ἄλλος, d ἀνείρηται, τοῖς ἄνωθεν δεδηλωμένοις παραπλησίως.
23 Λέγει δ' οὖν ἡ γραφή, Καὶ ἐπίστευσεν Ἀβραὰμ τῷ Θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην. Πατέρα δὴ πολλῶν ἐθνῶν ὁ θεῖος χρησμὸς τοῦτον ἔσεσθαι προαγορεύει, διαρρήδην τε εὐλογηθήσεσθαι ἐν αὐτῷ φησὶ πάντα τὰ ἔθνη τῆς γῆς καὶ πάσας τὰς φυλάς, ἄντικρυς
24 τὰ νῦν καθ' ἡμᾶς συντελούμενα θεσπίζων. Ἀλλ' ὅ γε

c 3. σαρκὸς] σαρκὸν C. 4. διαβεβηκότες] διαβεβηκότα B.D. διαβεβηκότας E. 6. ἀβραὰμ om. C.F.G. Tum κατηριθμείσθω I. d. ἀνείρηται om. B.C.D.F.G. εἶναί τις ἀνείρ. om. I. post εὐσεβής. Supra ἀνήρηται D.E. 2. δ' οὖν] γοῦν F. 5. τοῦτον ἔσεσθαι προσαγορεύει] αὐτόν φησι B. C.F.G. προαγ. I. ed. Viger. sed προσαγ. D. 6. εὐλογη.] ἐνευλογη. B.F.G. Mox φησι om. B.C.F.G. τέ φησιν εὐλ. D. omisso mox φησι 7. καὶ πάσας τὰς φυλὰς om. C.F.G. usque ad πολυπραγμονεῖν om. B. 9. ὅ γε ἀβραὰμ om. C.F.G.

comprehensarum ductu, et rectam virtutis viam feliciter tenuerunt, et omnes prætergressi corporis voluptates, ad vitam singulari cum sapientia, tum religione cultuque divino præstantem transvolarunt.
Abraamus. 22 Atque hoc in numero, Abraamus etiam ille, quem generis principem universi prædicant, jure a nobis meritoque censeatur. Hujus enim justitia divinorum quoque oraculorum testimonio commendatur: non quam a Mosis lege acceperit, certe quidem, cum adhuc nulla tum esset: nam ætate post Abraamum septima natus est Moses. Et tanta ejus profecto, si cujusquam alterius, integritas atque religio,
23 eadem qua superiorum illorum prædicatione celebratur. De illo
Gen. 15, 6. enim hunc in modum scriptura loquitur. *Et credidit Abraham Deo, et reputatum est illi ad justitiam.* Eundem porro gentium plurimarum parentem futurum, ac nominatim *gentes omnes terræ, omnesque tribus in eo benedicendas esse,* divina oracula prædixerunt: quæ sane prædictio, quæ temporibus nostris evenire cernimus, palam et aperte
24 denotabat. Abraamus igitur ille, post eam justitiæ maturitatem

Ἀβραὰμ ἐκεῖνος μετὰ τὴν ἐν δικαιοσύνῃ τελείωσιν, οὐ διὰ τοῦ Μωσέως νόμου, διὰ δὲ πίστεως κατωρθωμένης αὐτῷ, μετά γε τὰς ἀναγράπτους θεοφανείας, ἐπ' αὐτῷ γήρᾳ μέλλων γνησίου παιδὸς χρηματίζειν πατὴρ, πρῶτος ἁπάντων κατὰ χρησμὸν τὸ σῶμα περιτέμνεται, τοῦτο καὶ τοῖς ἐξ p. 310 αὐτοῦ γεννωμένοις ἐπιτελεῖν παραδοὺς, εἴτε εἰς ἐμφανῆ σημείωσιν τῆς τῶν ἐξ αὐτοῦ παίδων πολυπληθίας, εἴτε καὶ ὡς ἔχοιεν οἱ παῖδες πάτριον γνώρισμα, ἤτοι βιοῦντες κατὰ τὸν τῶν προγόνων ζῆλον, ἢ τῆς ἐκείνων ἀρετῆς ἀπολειπόμενοι, εἴτε καθ' ἑτέρας οἱασδηποτοῦν αἰτίας, ἃς οὐ νῦν σχολὴ πολυπραγμονεῖν. Τοιόσδε μὲν οὖν καὶ οὗτος εἰς μίμησιν ἐκκείμενος. Μετὰ δ' αὐτὸν Ἰσαάκ b τῆς πατρῴας ὁμοῦ θεογνωσίας τε καὶ θεοφιλίας διάδοχος ἀναδείκνυται, κλήρων ἁπάντων τοῦτον κάλλιστόν τε καὶ τρισμακάριον τοῦ πατρὸς διαδεδεγμένος. Μιᾷ τοῦτον

d 11. κατωρθωμένης] ἴσ. κατωρθωμένην Vigeri margo. 12. μετά γε] μετά τε I. 13. παῖδα γν.] γν. παῖδα C.F.G. Supra θεοφανείας E.I. Vigeri margo, pro θυσίας. Tum μέλλων γνησίου παιδὸς χρηματίζειν πατήρ E.I. ubi vulg. παῖδα γνήσιον τεκεῖν.

p. 310. 2. γεννωμένοις] γενομ. C.D.F.G.I. 4. πολυπληθείας] πολυπληθίας C.F.G. 5. τὸν τῶν] τῶν om. F.G. 9. τοιόσδε μὲν οὖν καὶ οὗτος· ἡμεῖς τε καὶ τοῦτον μετὰ τῶν ἄλλων ἀπομιμεῖσθαι καὶ ζηλοῦν εὐχόμεθα. Μετὰ δὲ τὸν Ἀβραὰμ Ἰσαὰκ E.I. b 2. θεοφιλείας F. 3. κλῆρον] κλήρων E. 5. τοῦτον γαμετῇ] γαμετῇ τοῦτον B.

atque perfectionem, ad quam ipsum non lex Mosis, sed illustris fides constansque perduxerat; post eos, quibus sacræ literæ suffragantur, Numinis divini conspectus, legitimum sub extremam senectutem filium suscepturus, cum omnium sese primus, uti jussus divina voce fuerat, circumcidit, tum idem posteris ipse suis faciendum præcepit; sive ut hoc velut illustriore signo, propagandorum ex eo nepotum multitudo constaret, sive ut paternum characterem liberi retinerent; idque adeo, seu majorum illi suorum vestigiis insisterent, seu ab eorundem virtute deflecterent: sive denique aliæ quædam hujus instituti caussæ rationesque subessent, in quas diligentius et curiosius inquirere, modo non vacat. Cæterum ejusmodi etiam ille fuit, quem nos æmulari summopere deceat. Secundum illum Isaacus laudatur, ejus quæ parentem ornaverat divinæ cum notitiæ, tum etiam caritatis hæres, quam ipse unam omnium longe pulcherrimam ac felicissimam ejus hæreditatem sortitus est. Eundem et uxorem duntaxat unam

Isaacus quam amans temperantiæ.

γαμετῇ τὰ θεῖά φασι συνελθόντα λόγια μιᾷ χρήσασθαι
παιδοποιίᾳ· καθ' ἣν διδύμου γονῆς ἀποδειχθεὶς πατὴρ,
εἰς τοῦτο περιγράψασθαι τὴν πρὸς τὴν γαμετὴν ὁμιλίαν
26 ὑπερβολῇ σωφροσύνης λέγεται. Ἐνταῦθά σοι καὶ Ἰα-
κὼβ, ὁ καὶ Ἰσραὴλ, εἰσήχθω, διώνυμός τις γεγονὼς
ἀνὴρ παρὰ τὴν τῶν οἰκείων ἀρετῶν διαλλάττουσαν προ-
κοπήν. Ὅτε μὲν οὖν ἐγγυμναζόμενος τοῖς πρακτικοῖς c
ἤθεσί τε καὶ βίοις τῶν ὑπὲρ εὐσεβείας πόνων ἀπεπει-
ρᾶτο, Ἰακὼβ αὐτῷ ὄνομα ἦν, ἀσκητὴν δὲ καὶ ἀθλητὴν ἡ
προσηγορία δηλοῖ ἐπὶ τὴν Ἑλλάδα μεταληφθεῖσα φω-
27 νήν· ὅτε δὲ λοιπὸν τὰ νικητήρια κατὰ τῶν ἀντιπάλων ἀπο-
λαβὼν στέφεται, ἤδη τε τῶν κατὰ θεωρίαν ἀγαθῶν ἀπο-
λαύει, τηνικαῦτα αὐτῷ καὶ τοὔνομα μεταβάλλει ὁ χρη-
ματίζων Θεὸς, ὁμοῦ καὶ θεοπτίας αὐτὸν ἀξιῶν, καὶ τῶν
θειοτέρων γερῶν τε καὶ τιμῶν τὰς ἀμοιβὰς διὰ τῆς
28 προσηγορίας δωρούμενος. Λέγει δ' οὖν πρὸς αὐτὸν ὁ

ελθόντα
b 6. συνελθόντα] συνελθεῖν C.F. om. B. συντελοῦντα D. λόγια συνελ-θόντα I. 8. περιγράψασθαι] περίγραψαι I. 10. ὁ Ἰακὼβ I. 12. διαλάμπουσαν] διαλάττουσαν I. c 2. εὐσεβείας] εὐσεβίας B. 4. καλεῖ] δηλοῖ E.I. 5. δὲ om. D. 6. νικητήρια] κινήματα C. νικήματα F.G. λαβὼν] ἀπολαβὼν E.I. 7. ἀπολαύει] ἀπολάβει B. Supra ἤδη δὲ C.F.G. 9. θεοπτίας] θεοποιίας E.I. 10. τε καὶ τιμῶν om. B.C.F.G. τε καὶ om. D.

duxisse, et semel tantum liberis operam dedisse monimenta divina testantur: qua unica vice, gemina prole suscepta, mutuam cum uxore consuetudinem circumscripsisse fertur, exemplo continentiæ singulari.
Jacobus, qui et Israel.
26 Consequatur Jacobus, quem et Israëlem vocarunt: quod utrumque nomen ab insigni quadam est eximiaque virtutum accessione consequutus. Is enim, dum adhuc in civili quodam et actuoso vitæ genere, assiduos pietatis caussa labores subiret, Jacobus dicebatur; quæ vox,
27 si Græce reddatur, asceten athletamque sonat. Idem relatis semel de hostibus victoriæ trophæis, coronatus, ubi contemplationis opibus frui cœpit, tum vero aliud ei nomen auctor ipse Deus imposuit, eumque partim conspectu suo frui voluit, partim divinioribus quibusdam
28 præmiis et honoribus, eodem nomine repræsentatis cumulavit. Ejus-

χρησμὸς, Οὐκ ἔτι κληθήσεται τὸ ὄνομά σου Ἰακὼβ, ἀλλ' d
Ἰσραὴλ ἔσται τὸ ὄνομά σου, ὅτι ἐνίσχυσας μετὰ τοῦ Θεοῦ, καὶ μετὰ ἀνθρώπων δυνατὸς, τὸν ὁρατικὸν ἄνδρα καὶ θεωρητικὸν τοῦ Ἰσραὴλ ὑποφαίνοντος· ἐπεὶ καὶ τοὔνομα
29 μεταβληθὲν σημαίνει ἄνθρωπον ὁρῶντα Θεόν. Τοιόσδε μὲν οὖν καὶ οὗτος ἐξ οὗ τὸ δωδεκάφυλον τοῦ Ἰουδαίων ἔθνους ὑπέστη γένος. Μυρία δ' ἂν λεχθείη περὶ τοῦ βίου τῶν ἀνδρῶν καὶ τῆς φιλοσόφου καρτερίας τε αὐτῶν καὶ ἀσκήσεως, τὰ μὲν πρὸς λέξιν θεωρούμενα, τὰ δὲ καὶ δι' ὑπονοιῶν ἀλληγορούμενα· περὶ ὧν εἴρηται μὲν καὶ ἄλλοις, ἀτὰρ καὶ ἡμῖν ἐν οἷς ἐπραγματευσάμεθα περὶ τῆς τῶν παλαιῶν ἀνδρῶν πολυπαιδίας. Τοιοίδε μὲν p. 311
οὖν καὶ οὗτοι.

30 Ἔχω σοι παρ' αὐτοὺς καὶ ἄλλον εἰπεῖν, Ἰὼβ ὄνομα τῷ ἀνδρὶ, ὃν τὰ ἱερὰ μαρτυρεῖ λόγια γεγονέναι ἄνθρω-

d 2. Ἰσραὴλ] εἰς Ἰσραὴλ I. 3. τοῦ θεοῦ] τοῦ om. B.C.F.G. 4. ὁρατικὸν] ὁριστικὸν B.C.F.G. 7. ἐξ οὗ] καὶ οὗ C.F.G. 11. τε αὐτῶν] τε om. B.C.F.G. τὰ μὲν—οὗτοι om. B. ult. ἐν οἷς ἐπραγμ.] αι σῃ τὴν πραγματείαν S. πολυπαιδίας] πολυπαιδείας I.

p. 311. 2. αὐτοῖς] ἴσ. αὐτοὺς Vigeri margo. Sic I. τῷ ἀνδρὶ] αὐτῷ I. 3. λόγια γεγονέναι] γεγ. λόγ. B.C.F.G. γεγονέναι μαρτυρεῖ λόγια I.

modi enim ad illum extat oraculum, *Non amplius vocabitur nomen tuum Jacob, sed Israel erit nomen tuum, quoniam invaluisti cum Deo, et cum hominibus potens.* Quo Israelis nomine vir contemplationi deditus indicatur; utpote quod si Græce verteris, hominem a quo Gen. 35, 10.
29 Deus videatur significet. Talis igitur ille etiam fuit, a quo Judæorum genus duodecim comprehensum tribubus propagatum est. Quorum de vitæ rationibus, vereque philosophis digna tolerantia et exercitatione, infinita commemorari possent, quæ partim nude ac simpliciter intelligi, partim ex occultioribus allegoriarum sensis erui debeant. De quibus cum ab aliis, tum a nobis quoque disputatum in iis est, quæ de numerosa priscorum hominum sobole conscripsimus. At de illis hactenus.

30 Præter quos tamen, alium etiam laudare merito liceat, Jobum Jobus.
nomine, quem et omni reprehensione caruisse, et veritatis, justitiæ,

που ἄμεμπτον, ἀληθινὸν, δίκαιον, θεοσεβῆ, ἀπεχόμενον
ἀπὸ παντὸς πονηροῦ πράγματος· οὗτός γε τοι οὐδὲν
προσήκων τῷ Ἰουδαίων γένει ἐπὶ πᾶσι τοῖς τῆς εὐσε-
31 *βείας κατορθώμασι μεμαρτύρηται. Οἵ γε μὴν τοῦ Ἰα-*
κὼβ παῖδες, τὴν πάτριον θεογνωσίαν τε καὶ θεοσέβειαν
ἠγαπηκότες, τὴν τῶν ἀνέκαθεν Ἑβραίων φήμην ἐπὶ
μέγα δόξης προῆγον, ὥστε ἤδη καὶ πάσης Αἰγύπτου τὴν b
32 *ἀρχὴν ἀνάψασθαι. Ὁ γάρ τοι Ἰωσὴφ τοῖς σωφρο-*
[183] *σύνης προαναστεφθεὶς βραβείοις, κἄπειτα τὴν Αἰγυπτίων*
ὑποδεξάμενος ἡγεμονίαν, τὸν θεοφιλῆ τῶν Ἑβραίων
διέδειξε τρόπον, ὃν καὶ αὐτὸν ζηλοῦν δι' εὐχῆς πεποιή-
μεθα, δοῦλον αὐτὸν ἐξ οἰκείων ἐπιβουλῆς γεγενημένον,
33 *καὶ δοῦλον Αἰγυπτίου ἀνδρός. Τὰ μὲν γὰρ ἄλλα ὅσα*
εἰς ὡραιότητα καὶ ῥώμην σώματος αὐτῷ καὶ εὐμορφίαν

a 6. *προσήκων*] *προσῆκον* B. 7. *γένει*] *ἔθνει* I. qui mox om. *τῆς*. 8. *τοῦ ἰακὼβ*] *τῷ ἰακὼβ* C.G. 10. *ἠγαπηκότες*] *ἠγαπηκότων* B. *εὐσέβειαν διὰ σπουδῆς πεποιημένοι* E.I. b. *ὥστε ἤδη*] *ὡς* B.C.D.F.G. 2. *τοῖς τῆς σωφροσύνης προυναστεφθεὶς* F. *τοῖς τῆς σωφ.* G. 4. *ὑποδεξάμενος*] *ἀναδησάμενος* B.C.D.F.G. *ἀναδησάμενον* S.V. 5. *ὃν καὶ*— *πεποιήμεθα* om. B.C. vid. lect. mss. E.I. ad p. 310 a 9. 6. *δοῦλον*] *δοῦλον γὰρ* B.C.D.E.F.G.I. Mox *καὶ δοῦλον* om. B.C.D.F.G. 8. *γὰρ* om. D.E.F.G.I. 9. *σώματος*] *σώματος αὐτῷ* E.I. 10. *παρίημι*] *παρήσειν μοι* E. *παρήσειν μοι δοκῶ* I.

pietatis amantem ac studiosum fuisse, et ab omni contagione sceleris
procul abfuisse, divina testantur oracula, cum in illis omnibus reli-
gionis officiis ac laudibus, nulla cum Judæis sanguinis ac generis
31 communione teneretur. Jam vero Jacobi liberi paternam divini
Numinis cognitionem, ejusdemque cultum summa voluntate studio-
que complexi, priscorum Hebræorum famam et gloriam admodum
illustrarunt; ut ex illorum auctoritate paulo post imperium Ægypti
Josephus. 32 penderet universum. Josephus enim jam continentiæ præmiis insig-
nitus, suscepto postmodum Ægypti principatu, summam Hebræorum
suorum eximiamque virtutem in omnium oculis ac luce collocavit.
Quare ad ejus quoque imitationem omni studio nobis aspirandum
esse duximus, tametsi prius in servitutem, et hominis Ægyptii servi-
33 tutem, fratrum insidiis et artibus abductus fuisset. Nam adolescentis
quidem quam eximia species, quanta vis corporis et pulcritudo fuerit,

ηὐτύχητο παρίημι, εἰ καὶ τὰ λόγια κάλλους αὐτὸν ὥρᾳ c
πάντων διενεγκεῖν ἀναγράφει· τὰ δὲ περὶ ψυχῆς πῶς ἂν
τις ἀναγράψειε, κατ' ἀξίαν τῆς τοῦ ἀνδρὸς ἀρετῆς τὸν
34 ἔπαινον διελθεῖν προῃρημένος; Φύσει μὲν αὐτῷ παρεῖναι
λόγος τὸ ἐλευθέριον γνώρισμα, τοῦ τε τρόπου τὸ εὐγενὲς ἐπανθοῦν τῷ προσώπῳ· τοῖς δὲ εὐσεβείας διαπρέπουσι κόσμοις διαφερόντως ἐξήσκητο, ὡς ἐν σωφροσύνῃ καὶ δικαιοσύνῃ φρονήσει τε καὶ ἀνδρείᾳ τὴν ψυχὴν ἐκλάμπειν, καὶ πολὺ πρότερον ἐν ἐπιγνώσει καὶ εὐσεβείᾳ τοῦ τῶν ἁπάντων Θεοῦ, ἣν οἱ γεννήσαντες ἐκ σπαργάνων
35 λέγονται αὐτοῦ τῇ ψυχῇ καταβεβληκέναι. Ἐπιμανείσῃ
δ' οὖν αὐτῷ τῇ τοῦ δεσπότου γαμετῇ, εἰς ἀκολάστους d
τε καὶ ἐρωτικὰς ὁμιλίας ἅτε νέον τὸ σῶμα κατασύρειν πειρωμένῃ, καὶ πρῶτα μὲν λόγοις ἀπατᾶν αὐτὸν ἐπιχει-

c. κάλλους αὐτὸν ὥρᾳ] κάλλεται ὥρα B.C. κάλλους ὥρα D.F.G. πάντων διενεγκεῖν ἀναγράφει] πάντας ἀναγράψασθαι αὐτὸν B. διενεγκεῖν πάντας ἀναγράφει αὐτὸν D.F.G. πάντων] σώματι E. 2. πῇ ἂν] πῶς ἂν B.C.F.G.I. διαγράψειε] ἀναγράψειε B.C.D.F.G. 3. τοῦ ἀνδ.] τἀνδ. B.C.F.G. 4. τὸν ἐπ. δι. προ. om. B.C.D.F.G. Mox τοῦ τε τρόπου—καταβεβληκέναι om. B. 5. ἐλευθέριον] ἐλεύθερον F.G. 6. τὸ εὐγενὲς om. C.F.G. τοτε τοῦ τρόπου D.F.G. 7. εὐσεβείας] εὐσεβεία I. 9. ἀνδρίᾳ] ἀνδρείᾳ C.F.G. 10. πολὺ] καὶ πολὺ D.E.F.G. 12. γεννήσαντες] γεννήτορες C.D.F.G.S.V. Mox τῇ ψυχῇ αὐτοῦ C.F.G. d. τῇ τοῦ δεσπότου γαμετῇ] τῇ δεσποίνῃ B.C.D.F.G. 3. κατασύρειν] κατασύσειν C. Tum πειρομένη et πρῶτον D. πειρωμένους F. 4. ἐπιχειρούσῃ] ἐπιχειροῦσιν B.

facile prætermitto, licet oris eum ac formæ totius elegantia cæteris omnibus præstitisse historia divina testetur. Animi vero dotes atque ornamenta quis tandem pro dignitate commemoret, si cum tantæ
34 virtutis excellentia æquare conetur magnitudinem laudationis? Et quidem constans fama est, ipsum a natura liberalem quandam speciem habuisse, ac nescio quid nobilitatis in moribus, quod ex ipso quoque vultu effloresceret. At vero ejusmodi pietatis insignibus effulgebat, ut summa continentiæ, æquitatis, prudentiæ, fortitudinis laude clarissimus cum esset, idem tamen præcipua quadam præpotentis Dei notitia cultuque præstaret, cujus utriusque semina, jam ab
35 ipsis inde cunabulis, infantis in animo parentes jecisse ferunt. Ergo Josephi castitas.
adolescentis amore domini uxor exardescens, cum eum primo juventutis flore conspicuum, in lascivam flagitiosamque consuetudinem pellicere conaretur, verborumque primo blanditiis attentatum, mox

ρούσῃ, εἶτα δὲ ἱκεσίαις ἀντιβολούσῃ, καὶ τέλος βιαιότερον χεῖρας ἐπάγειν τολμώσῃ, ἀναιδέσι τε ἤδη καὶ ἀναισχύντοις περιπλοκαῖς χρωμένῃ, τῆς τῶν πατέρων εὐσεβοῦς διδασκαλίας ὁ ἥρως τὴν μνήμην ἀναπεμπασάμενος, καὶ τὸν θεοσεβῆ καὶ ἀληθῶς Ἑβραῖον ἔργοις ὁμοῦ καὶ λόγοις ἀποδείξας, τὸ μὲν αἰσχρὸν καὶ ἀκόλαστον γύναιον διασείεται, κραταιοτέρᾳ τῇ χειρὶ παραλλάξας· ὥσπερ δέ τινος δεινοῦ καὶ λελυττηκότος θηρὸς ἀποδρὰς p. 312
36 φυγῇ τὴν σωτηρίαν πορίζεται. Κἄπειτα αὐτὸς πρὸς ἑαυτὸν σώφρονι λογισμῷ τοιάδε ἐπιλογίζεται, καί φησιν, *Εἰ ὁ κύριός μου δι' ἐμὲ οὐδὲν γινώσκει τῶν ἐν τῷ οἴκῳ αὐτοῦ, καὶ πάντα ὅσα ἐστὶν ἐν αὐτῷ δέδωκεν εἰς τὰς χεῖράς μου, καὶ πῶς ποιήσω τὸ πονηρὸν ῥῆμα τὸ μέγα τοῦτο, καὶ ἁμαρτήσομαι ἐναντίον τοῦ Θεοῦ;* Ἐφ' οἷς οἷα νικηφόρον τοῖς ἀρετῆς βραβείοις ἀναστέψας αὐτὸν ὁ τῶν ὅλων b
Θεὸς τὴν κατὰ τῶν δεσποτῶν αὐτοῦ καὶ αὐτῆς Αἰγύπτου

d 5. βιαιότερον χεῖρας] χεῖρας βιαίας B.C.D.F.G. Tum ἐπιβαλοῦσιν ἀναιδέσι B. ἐπιβαλούσῃ ἀναιδέσι C.F.G. τέλος χεῖρας ἐπιβαλούσῃ, ἀναιδέσι V. γρ. χεῖρας ἐπιβαλλούσῃ S. 10. καὶ ἀληθῶς] καὶ om. B.C.F.G.

p. 312. λελυττηκότος] λελυτ. B. 5. οὐδὲν] οὐθὲν D. τῶν ἐν] τῶν om. B.C.D.F.G. qui mox om. ἐν ante αὐτῷ. 7. δέδωκεν] ἔδωκεν B. b. ὁ τῶν om. B. 2. αὐτοῦ] αὐτῷ I.

precibus etiam et obsecrationibus urgeret, ad extremum ne violentas quidem manus eidem injicere, et obscœnis eum impudicisque complexibus premere vereretur: clarissimus heros doctrinæ parentum sanctissimæ recordatus, ac sese divini cultorem Numinis, verumque Hebræum, non re ipsa minus quam oratione professus, turpem ac libidinosam mulierculam robustiore dextera victor excussit, ac perinde ut si ex horrendæ furentisque bestiæ dentibus sese proriperet, saluti
36 suæ fuga consuluit. Tum idem secum ipse rem matura cogitatione
Gen. 39, 8. reputans, *Si dominus meus propter me nihil novit eorum, quæ sunt in domo ejus, et omnia quæ ibi sunt, tradidit in manus meas, quomodo malum hoc grande faciam, et peccabo in conspectu Dei?* Quamobrem Deus eum præpotens tanquam illustri victoria nobilem, dignis virtute præmiis honestavit, dominorumque suorum, imo totius etiam Ægypti

βασιλείαν τε καὶ ἡγεμονίαν παραδίδωσι· πλὴν ἀλλὰ καὶ οὗτος Ἑβραῖος ἐξ Ἑβραίων, οὐχὶ δὲ Ἰουδαῖος, ὅτι μηδὲ ἦν πω τὰ Ἰουδαίων, ἐν τοῖς μάλιστα θεοφιλέσι καὶ τρισμακαρίοις ἀνείληπται.

37 Μετὰ δὲ τοὺς εἰρημένους Ἑβραίους, ἐπειδὴ εἰς πολυανθρωπίαν ἐπεδίδου τὸ τῶν ἀπογόνων γένος, ἤδη τε καὶ τὸ Ἰουδαίων ἐξ αὐτῶν ἔθνος συνεστὼς ἐπλεόναζέν τε ὁσημέραι καὶ ἐπλήθυνεν, τὰ μὲν τῆς εὐσεβοῦς ἀγωγῆς c
τῶν πρόπαλαι θεοφιλῶν προπατόρων κατὰ σμικρὸν αὐτοῖς ἐξησθένει καὶ ἀπημβλύνετο, τὰ δὲ τῆς παρ' Αἰγυπτίοις διατριβῆς τοσοῦτον τῆς τῶν δηλουμένων κατίσχυε πληθύος ὡς τῆς μὲν πατρίου ἀρετῆς εἰς λήθην ἐλθεῖν, τῇ δὲ παρ' Αἰγυπτίοις ὁμοιοτροπίᾳ τοὺς βίους

b 2. *βασιλείαν*] *βασιλείας* C.F.G. Tum *τε καὶ ἡγεμονίαν* om. B.C. 3. *πλὴν ἀλλὰ—ὑποθέμενος* om. B. 4. *ἐξ Ἑβρ.*] *καὶ ἐξ Ἑβρ.* D. *οὐχὶ δὲ*] *οὐκ* C.D.F.G. qui om. *ὅτι μηδὲ ἦν πω τῶν Ἰουδ.* 6. *καὶ τρισμακαρίοις* om. C.F. 7. *ἀνείληπται*] Addit C. *οὐκ ἦν δὲ ἔτι ἔβερ γεννηθεὶς*, et sic D.F.G. 8. *ἐπειδὴ* om. C.D.F.G. *ἐπεδίδου*] *ἐπεδιδοῦν* C. *ἐπιδιδοῦν* F.G. 9. *ἀπογόνων*] *ἀνθρώπων* C.D. F.G. qui mox om. *ἤδη τε.* 10. *γένος* D. *συνεστὼς*] *συνειστήκει* E.I. Mox *ἐπλεόναζον* et *ἐπλήθυνον* I. *τε ὁσημέραι καὶ ἐπλήθυνεν*] *τε* et *καὶ ἐπλήθυνεν* om. C.F.G. c. *ἀγωγῆς*] *ἀναγωγῆς* C.D.F.G. 2. *κατὰ σμικρὸν*] *καταμικρὸν* C.D.F.G. 3. *τῆς παρ'*] *τοῖς παρ'* C.F. *παρ' αὐτοῖς* D. 4. *τοσοῦτον τῆς τῶν δηλουμένων κατίσχυε πληθύος*] *τοσοῦτον παρ' αὐτοῖς κατίσχυε* C.F.G. *πληθύος* om. D.F.G. 6. *εἰς λήθην ἐλθεῖν*] *ἐπιλαθέσθαι* C.D.F.G.S.V. *αἰγυπτίοις ὁμοιοτροπία*] *αἰγυπτίους ὁμοτροπία* C.F.

principem moderatoremque constituit: atque is Hebræus similiter atque ex Hebræis satus erat, non Judæus; nec enim Judæorum adhuc gens ulla coaluerat: idem tamen in virorum uti Deo carissimorum, ita longe felicissimorum classe numeroque censetur.

37 Deinde vero, longa per eosdem Hebræos posterorum serie propagata, cum jam ex iis conflata Judæorum natio, multa in dies sobole glisceret, factum est nescio quo pacto, ut cum prima illa, quam a Deo carissimis majoribus acceperant, pietatis ac religionis institutio debilitata paulatim obtusaque hebesceret: tum vero tantum apud eos Ægyptiorum societas communioque posset, ut patriæ virtutis evanescente memoria, sic Ægyptiorum mores ac ritus induerent, nihil ut

περιενεχθῆναι, ὡς κατὰ μηδὲν Αἰγυπτίων τὸν τρόπον
38 διαφέρειν δοκεῖν. Ἐνταῦθα δῆτα αὐτοῖς τοιοῖσδε ἀπο-
τελεσθεῖσιν ὁ τῶν προπατόρων Θεὸς ἡγεμόνα καὶ νομο-
θέτην ἐκπέμπει Μωσέα, τὰς διὰ χρησμῶν τῶν πρὸς d
τοὺς προγόνους αὐτῶν πιστούμενος ἐπαγγελίας· κἄπειτα
δι' αὐτοῦ τὰ ἀνάγραπτα θαύματα καὶ τὰς παραδόξους
θεοσημείας ἐπιτελέσας τὸν ἁρμόδιον τοῖς τῶν ἀκροωμέ-
39 νων ἤθεσι προβάλλεται νόμον. Οἱ μὴ ζηλώσαντες
τὴν πάτριον ἀρετὴν δι' ἀβελτηρίαν, οἷα δὴ τὰς ψυχὰς
ἐμπαθεῖς καὶ νενοσηλευμένοι, τὴν κατάλληλον παρελάμ-
βανον πολιτείαν, τὰ μὲν προφανῶς ἐκ τοῦ προδήλου
διαταττομένου Μωσέως, τὰ δὲ δι' ὑπονοιῶν αἰνιττομένου,
[184] σύμβολά τε καὶ σκιὰς ἀλλ' οὐ γυμνὴν ἀλήθειαν φυλάτ-
40 τειν αὐτοῖς καὶ περιέπειν ὑποθεμένου. Καὶ δὴ τὸ Ἰου-

c 9. τοιοῖσδε] τοιῶσδε C.G. 11. διὰ χρησμῶν τῶν om. C.D.F.G.V. et nescio an S. d. προγόνους αὐτῶν πιστούμενος ἐπαγγ. κἄπειτα] προπάτορας ἐπαγ. πιστούμ. καὶ δι' C.F.G.S.V. προσπάτορας item D. διὰ μωσέως E.I.S.V. pro δι' αὐτοῦ. 4. θεοσημείας] θεοσημίας C.D.F. 6. οὐχ οἵοις τε γοῦν οὖσι δι' ἀβελτηρίαν τρόπου τὴν πάτριον ζηλοῦν ἀρετὴν] οἱ μὴ ζηλώσαντες τὴν πάτριον ἀρετὴν τὴν δι' ἀβελτηρίαν· οἷα δὲ C.F.G.S.V. In F.G.V. tamen om. τὴν post ἀρετήν. 8. δὴ] δὲ D.F. Mox ἐμπαθέσι καὶ νενοσηλευμένοις I. 9. κατάλληλον] κατάληπτον C. κατάλλητον F. παρελάμβανον] παρεδίδου E.I. 10. διαταττομένου Μωσέως] διαταττόμενος I. et infra αἰνιττόμενος et ὑποθέμενος. 13. φυλάττειν—ὑποθέμενος] ὑποθεμένου C.F.G.

38 inter utriusque populi vitæ genus discriminis esse videretur. Quo in rerum articulo, patrum ille suorum Deus Mosen ad eos legislatorem mittit, iisque promissionibus fidem re ipsa conciliat, quibus eorum sese majoribus, divinis etiam oraculis obstrinxerat. Tum, iis quæ scripta leguntur miraculis, atque inusitatis ante prodigiis ipsius manu perpetratis, congruentem audientium moribus legem promulgat.
39 Cum enim ob insignem morum asperitatem, patrum suorum virtutem æmulari non posset, iis utpote morbis animorum laborantibus consentaneam instituti vitæque rationem ita præscripsit, ut de nonnullis clare perspicueque statueret, alia ænigmaticis quibusdam sensis involvens, notas duntaxat umbrasque rerum, non apertam nudamque
40 veritatem, consectandas iis observandasque proponeret. Atque hanc

δαίων πολίτευμα ἐντεῦθέν ποθεν ἀπὸ Μωσέως ἀρξάμενον μέχρι καὶ τῆς τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ παρουσίας ταῖς τῶν οἰκείων προφητῶν ἀκολούθως φωναῖς διαρκεῖ. Ὅτι δὴ καὶ τοῦτο Μωσέως ἦν αὐτοῦ καὶ τῶν μετέπειτα προφητῶν θέσπισμα, μὴ πρότερον ἐκλι- p. 313
πεῖν τὰ Μωσέως νόμιμά τε καὶ διατάγματα ἢ τὰ τοῦ Χριστοῦ φανῆναι, τὰ τῆς καινῆς δηλαδὴ διαθήκης, τῆς διὰ τοῦ Σωτῆρος ἡμῶν πᾶσι τοῖς ἔθνεσι κατηγγελμένης· ἃ καὶ ὧδε τέλους ἔτυχεν, ᾗ καὶ ἀναπεφώνηται.

41 Ἀλλ' ἐπειδὴ τὸν τῶν πρὸ Μωσέως Ἑβραίων βίον ἐν ὀλίγῳ διεληλύθαμεν, καὶ τόν γε τῆς κατ' αὐτοὺς εὐσεβείας χαρακτῆρα παρεστήσαμεν, ὥρα καὶ τὸν δογματικὸν αὐτῶν τρόπον ἀπό τε τῆς Μωσέως γραφῆς καὶ τῶν μετ' αὐτὸν προφητῶν ἐπισκέψασθαι. b

9 Πρῶτος δ' οὖν ἁπάντων αὐτὸς ἐκεῖνος ὁ θαυμάσιος θεολόγος τε καὶ νομοθέτης, πολιτείαν εὐσεβείᾳ προσή-

p. 313. θέσπισμα] θεσπίσματα C.F.G. 2. τε καὶ διατάγματα om. B.C.F.G. 3. δηλάδη om. B.C.F.G. 4. διὰ τοῦ σωτῆρος ἡμῶν] δι. αὐτοῦ B.C.F.G. 6. ἔτυχεν] ἔτυχον B.C.F.G. 7. τὸν τῶν] τῶν om. C.F.G. βίον] βίων C. 8. διεληλύθαμεν] διεληλύθειμεν B.D. 11. γραφῆς om. C.F.G. b 6. τε καὶ] τε om. F.

Judaicæ reipublicæ formam, quæ a Mose delineata primum et informata fuerat, ad Servatoris usque nostri Jesu Christi adventum florere ac vigere oportebat, uti futurum suis ipsimet Judæorum prophetæ oraculis cecinerant. Nam partim ab ipso Mose, partim a sequentibus prophetis jam olim prædictum fuit, non ante sancitas a Mose leges antiquatum iri, quam eas Christus Novi Testamenti tabulas conderet, quas nunc demum ejusdem Servatoris nostri munere, gentibus passim omnibus resignatas atque explicatas, adeoque prædictorum illorum veritatem ipso rerum exitu comprobatam videmus.

41 Sed quoniam de Hebræorum illorum, qui ante Mosem claruerunt, vitæ ratione pauca libavimus, suoque religionem ipsorum charactere expressam consignatamque produximus; consequens est, uti jam eorum doctrinæ capita, tum Mosis ejusdem, tum posteriorum ex prophetarum scriptis deprompta contemplemur.

9 Omnium ergo princeps admirabilis ille theologus atque legislator, reipublicæ formam cum religione conjunctam stylo ipse suo

κουσαν διὰ τῆς οἰκείας γραφῆς τῷ Ἰουδαίων ἔθνει προ- c
καταβαλλόμενος, οὐ τοῖς κοινοῖς καὶ πεπατημένοις ᾠήθη
δεῖν χρήσασθαι προοιμίοις τῶν λόγων, προλαβὼν δὲ
πάντα νόμον προστακτικὸν τῶν ποιητέων καὶ τῶν οὐ
ποιητέων ἀπαγορευτικὸν, τάς τε δημοτελεῖς καὶ πολιτικὰς
περὶ τῶν πρὸς ἀλλήλους συμβολαίων διατάξεις, ἀπὸ τῆς
πατρίου θεολογίας δεῖν ᾤετο τὴν καταρχὴν ποιήσασθαι τῆς
διδασκαλίας, οὐδὲ ἑτέραν μάθησιν οἰκείαν νόμοις εὐσεβείᾳ
προσήκουσιν ἡγησάμενος, ἢ τὴν ἄνωθεν ἐκ προπατόρων
2 εἰς αὐτὸν ἥκουσαν θεολογίαν. Ἄρχεται τοιγαροῦν ἀπὸ d
Θεοῦ κατὰ τὰ πάτρια τῆς τῶν προγόνων Ἑβραίων θεο-
λογίας, οὐχ ᾗ φίλον Αἰγυπτίοις καὶ Φοίνιξιν ἦν ἢ τοῖς
λοιποῖς ἔθνεσιν εἰς πλῆθος καταβάλλουσι τὴν σεβάσμιον
προσηγορίαν, θεούς τε ὁρωμένους μὲν τοὺς κατ᾽ οὐρανὸν

c 2. ὠήθη δεῖν] ὠήθειν δὴ C. ὠήθει δεῖν B. 4. πρακτικὸν] προσ-τακτικὸν B.C.G.I. προτακτικὸν F. 6. ἀλλήλους] ἀλλήλων C.F. Tum συμβόλων I. 8. ᾤετο τῆς θεολογίας ἄρξασθαι καὶ] τῆς θεολ. ἄρ. καὶ om. I. et ms. apud Vigerum. ἄρξασθαι καὶ non habet E. teste collatore meo. 10. οὐδὲ ἑτέραν] οὐδετέραν B.C.F. 11. προσήκουσαν] προσ-ήκουσιν B.C.D.F.G.I. d. πάτρια] τρία C.F.G. τοιγαροῦν E.I. pro τοίνυν. 2. οὐχὶ] οὐχ ᾗ C.F.G. Vigeri margo. οὐχ ἧπερ Αἰγυπτίοις φίλος (φίλον I.) ἦν, ἀλλ᾽ οὐδὲ φοίνιξιν ἢ τοῖς λοιποῖς ἔθνεσι παραπλησίως εἰς πλῆθος καταβάλλοντα (καταβάλλουσι I.) E.I. Hinc usque ad ἀπεληλεγμένα om. B. 4. καταβάλλουσα D. παραπλησίως post ἔθνεσιν addunt S.V.

Judaicæ genti delineans, non jam vulgaribus illis atque contritis utendum sibi exordiis putavit: sed cum ante jam animo legem universam, qua partim agenda juberentur, partim vetarentur non agenda; publicasque simul ac civiles mutuo inter sese contrahendi rationes ac regulas descripsisset; ex propria majorum suorum theologia doctrinæ suæ ducendum initium intellexit: quod aliud nullum disciplinæ genus legum suarum pietati consentaneum agnosceret, præter eam theologiæ rationem, quæ jam inde a primis illis gentis
2 suæ parentibus ad sua usque tempora permanasset. Itaque a Deo ipso patriam priscorum Hebræorum theologiam sequutus, auspicatur: non jam Ægyptiorum, aut Phœnicum, aut reliquarum nationum more, quæ promiscuam in multitudinem venerandum illud Dei nomen abjicerent; et alios quidem aspectabiles, hoc est infixa cœlo sidera;

φωστῆρας νομίζουσιν, ἀφανεῖς δὲ καὶ ἀοράτους, ἤτοι τοὺς ἐξ ἀνθρώπων κατοιχομένους, ἢ καὶ τοὺς χθονίους καὶ ἀερίους δαίμονας, κατὰ τὰ πρόσθεν ἡμῖν ἀπεληλεγ-
3 μένα. Ἀλλὰ γὰρ ἀπὸ τοῦ πάντων αἰτίου ἀοράτων τε καὶ ὁράτων δημιουργοῦ τὴν καταρχὴν τοῦ παντὸς λόγου πεποιημένος, νομοθέτην τοῦτον εἶναι διδάσκει τῆς τοῦ παντὸς συστάσεως, ὥσπερ μιᾶς τινὸς μεγαλοπόλεως p. 314
4 τοῦ κόσμου βασιλέα καταστήσας. Παιδεύει τοιγαροῦν ἀρχόμενος τοῦτον ἡγεῖσθαι μὴ μόνον τῶν πρὸς αὐτοῦ σμικρὸν ὕστερον διαταχθησομένων ἀνθρώποις νόμων αὐθέντην εἶναι καὶ κύριον, ἀλλὰ καὶ τῶν ἐν τῇ φύσει τῶν ὅλων. Βασιλέα γὰρ αὐτὸν καὶ νομοθέτην τοῦ σύμπαντος κόσμου παριστᾷ· νεύματι μὲν γὰρ αὐτοῦ καὶ b δυνάμει τὴν τῶν ἁπάντων οὐσίωσιν γεγονέναι, νόμοις δὲ καὶ ὅροις πάλιν αὐτοῦ ὁδῷ καὶ τάξει τὸν σύμπαντα διακυβερνᾶσθαι αἰῶνα. Λόγῳ μὲν γὰρ καὶ νόμῳ Θεοῦ

d 7. τοὺς] ἤτοι τοὺς E.I. 9. δαίμονας ἀερίους I. κατὰ τὰ] τὰ om. I. 11. ὁρατῶν τε καὶ ἀορατῶν I. 13. νομοθέτην] νομοθετεῖν B. τοῦτον εἶναι] εἶναι om. B.C.D.F.G.

p. 314. 4. τῶν πρὸς] τῶν om. C. Tum vulgo αὐτοὺς μικρόν. 5. νόμον D. 7. βασιλέα] βασιλέα γὰρ μόνον αὐτὸν καὶ νομ. τῆς τοῦ σύμπαντος κόσμου διαζεύξεως (διατάξεως I.) ἐφεστάναι E.I.

alios aspectum fugientes deos inveherent, partim ex hominibus illis qui jam ante vixissent, partim etiam eos dæmones qui terras aut aërem oberrarent, uti superius in earum opinionum confutatione
3 ostendimus. At vero ab ipsomet rerum omnium auctore, ac tam earum quæ videri non possunt, quam earum quæ sensibus usurpantur molitore Deo totius orationis initium faciens, verum illum hujus universitatis legislatorem ac moderatorem esse docet, summumque totius orbis, perinde atque unius cujusdam magnæ civitatis regem
4 constituit. Enimvero ita homines ipso statim principio instituit, ut ipsum non earum modo legum, quibus eosdem paulo post informaturus erat, sed illarum etiam quibus natura universa pateret, auctorem esse ac dominum intelligerent. Regem enim ipsum mundi totius ac legislatorem esse confirmat. Videlicet, nutu ejus atque potestate suam rebus omnibus essentiam naturamque constare: ejusdemque legibus ac terminis, apte atque ordine, temporum cursus vicesque describi. Ac primum quidem ex omnibus cœlum, voce

Moses ab uno Deo orsus.

Orbis creatio per Mosem patefacta.

πρῶτον ἁπάντων οὐρανὸν ἐστερεῶσθαι, καὶ γῆς τὸ βαρὺ
καὶ στερέμνιον παρὰ τὴν οἰκείαν φύσιν τοῖς λεπτομερε-
στέροις τῶν στοιχείων θαυμασίως ἐπαιωρεῖσθαι· λόγῳ δὲ c
καὶ νόμῳ θείῳ νυκτὸς καὶ ἡμέρας τὸν ἀμοιβαῖον ἀνακυ-
κλεῖσθαι δρόμον, λόγῳ δὲ Θεοῦ καὶ νόμῳ καὶ αὐτὸν ἥλιον
[185] καὶ σελήνην καὶ τὴν τῶν λοιπῶν ἀστέρων χορείαν ἐν
πρέποντι κόσμῳ τὴν προσήκουσαν ἐξανύειν πορείαν,
νόμῳ δὲ τοῦ παμβασιλέως τροπῶν ἀλλαγὰς καὶ μετα-
βολὰς καιρῶν ἐνιαυτοῦ τε κύκλους καὶ τὰς ἐτησίους ὥρας
τῇ παναρμονίῳ τοῦ παντὸς ἀποπληροῦσθαι συμφωνίᾳ,
νόμῳ Θεοῦ χειμῶνα μὲν ὑποχωρεῖν ἔαρι, τοῦτο δὲ ταῖς
ἄγχιστα τῶν ὡρῶν τροπαῖς, καὶ θαλάττης δὲ βυθοὺς
ταῖς χειμαδίοις πλημμυρίσιν ἐπικυματίζοντας νόμῳ θείῳ d
τοῖς οἰκείοις ἐναποκεκλεῖσθαι πελάγεσι, ὡς μηδὲ τοὺς
ὅρους τῶν ἱερῶν νόμων ὑπερβαίνειν τολμᾶν, καὶ τὴν

b 9. *φύσιν τὴν οἰκείαν* D. *λεπτομερεστέρους*] *τοῖς λ.* E.F.G.I. c. *παρὰ φύσιν*] *θαυμασίως* E.I. Vigeri margo. 3. *λόγῳ*] *λόγῳ δὲ* E.I. 4. *καὶ γῆν* F. 5. *ἀστέρων*] *ἄστρων* E. Mox *πρέποντες* F. 6. *νόμῳ δὲ*] *δὲ* om. C.F.G. 7. *ἀλλαγὰς*] *ἀπαλλαγὰς* E. 10. *θεοῦ, χειμῶνα*] *καὶ χειμῶνα* C.D.F.G. *νόμῳ θεοῦ* om. D. d 2. *ὡς μηδὲ*] *ὡς* om. I. *τῶν ἱερῶν νόμων*] *αὐτῶν* C.D.F.G. 3. *τολμᾶν* om. C. *καὶ τὴν ξ.*—*νιφετοῖς* in I. mox post *ἀναδιδόναι.*

legeque divina firmitatem suam obtinuisse, gravemque terrarum molem, præter naturæ suæ conditionem, leviorum elementorum in medio mirum in modum suspensam ac libratam constitisse. Voce legeque divina, mutuam alternamque noctis ac diei conversionem fieri. Voce legeque divina solem ipsum, lunam, reliquorumque siderum chorum eleganti concinnoque motu orbem suum conficere. Lege summi regis conversionum mutationes, temporum discrimina, annorum circulos, annuasque tempestates, cum admirabili totius universi consensu harmoniaque compleri. Divina lege, hyemem veri, atque hoc consequentium tempestatum vicibus cedere : eadem, altos ac profundos oceani vortices hybernis æstibus atque eluvionibus exundantes, suorum sese marium finibus, quos transilire non audent, includere : eadem, terrarum siccam aridamque naturam, defluentibus imbribus, ac nivibus modice allabentibus irrigatam, infinita plantarum

ξηρὰν οὐσίαν ὀμβρίοις νάμασι καὶ νιφετοῖς νόμῳ θείῳ πάλιν συμμέτρως ἐπιχορηγουμένοις ἀρδομένην τὴν γῆν μυρία γένη φυτῶν τε καὶ ζῴων ἀναδιδόναι· ἑνί τε λόγῳ, τὴν παμμήτορα τῶν ὅλων φύσιν, προστάγματι Θεοῦ δεδουλωμένην, νόμοις θείοις ὑπείκειν καὶ τῇ τοῦ
6 πανηγεμόνος Θεοῦ βουλῇ· μὴ γὰρ εἰκῇ, μὴ δ' ὡς ἔτυχε, μὴ δ' αὐτομάτῳ καὶ ἀλόγῳ φορᾷ συνεστάναι τὸν τηλικοῦτον διάκοσμον, μὴ δ' ἀναιτίου φύσεως ἔργον τυγχάνειν τὸ μέγα τοῦτο καὶ περικαλλὲς τεχνούργημα, ἀλλ' εἶναι μὲν ποίημα τοῦ πανσόφου τῶν ὅλων ἀρχιτέκτονος, τοῦ δὲ αὐτοῦ λόγοις καὶ νόμοις ἱεροῖς διακυ- p. 315
7 βερνᾶσθαι. Ἔνθεν ἀρξάμενος ὁ προφήτης, καὶ πρὸ τῆς ἀνθρώπων νομοθεσίας τοὺς περὶ τῆς τῶν ὅλων φύσεως προστάξας νόμους, πρώτιστα πάντων προσέχειν τῷ παμβασιλεῖ Θεῷ, καὶ μὴ ἀπορραθυμεῖν αὐτοῦ τῶν νόμων παρεκελεύσατο· ὅτι δὴ καὶ αὐτὸς ἥλιος οὐρανός τε καὶ κόσμος γῆ τε καὶ τὰ ἐπὶ γῆς ἅπαντα, ὅσα τε ἔργα φύ-

d 4. ὀμβρίοις] ὀμβρίμοις C.G. πάλιν om. C.D.F.G. mox om. τὴν γῆν C.F.G. 9. ὑπείκειν] ὑπήκειν C. ult. τῶν ὅλων ἀρχιτέκτονος] δημιουργοῦ C.F.G.V.

p. 315. ἱεροῖς om. C.F.G. νόμοις καὶ λόγοις D. 4. προστάξας] προτάξας C.D.F.G. 6. καὶ ἀπορ.] καὶ μὴ ἀπορ. D.I. Vigeri marg. 7. παρεκελεύσατο] ἐκέλευσεν C.D.F.G. ὅτι δὴ] ὅτι δὲ I. 8. τὰ ἐπὶ] τὰ om. F.G.

6 et animantium genera producere: uno verbo, naturam illam, communem rerum parentem omnium, Dei præpotentis numini servientem, divinis ejus legibus consiliisque parere. Nec enim profecto casu ac temere, nec fortuito ac rationis experte motu, tantum hunc et tam singularem ornatum extitisse, nec cæcæ ulli inconsultæque naturæ hanc tam ingentis tamque perfecti operis speciem esse tribuendam, illud ut ex summi rerum omnium architecti manibus prodiisse, ita sacris
7 ejusdem consiliis ac legibus gubernari. Ergo inde auspicatus propheta, ac priusquam hominibus legem ferret, sancitis de universi natura legibus, mentes ipse nostras ad summi regis voluntatem adhærescere, ac penitus in ejusdem præceptis acquiescere voluit: eoque verius, quo sol ipse quoque, cœlum, mundus, terra, quæque terræ sinu continentur omnia, et quotquot naturæ opera censeri solent,

σεως εἶναι νενόμισται, ἐντολαῖς αὐτοῦ καὶ διατάξεσιν
8 ἱεροῖς τε νόμοις καὶ λόγοις δουλεύει. Διὸ καὶ μᾶλλον
χρῆναι τὸ ἀνθρώπειον γένος, οὐ σμικρὸν μέρος τυγχάνον b
τοῦ παντὸς, κατὰ τὸ ἀκόλουθον τοῖς θείοις προσανέχειν
διατάγμασι, μὴ δ' ἐλαττοῦσθαι τῶν κατὰ μέρος στοιχείων.
Γῇ μὲν γὰρ ἐν ἀρχῇ νομοθετῆσαι τὸν φήσαντα, Βλα-
στησάτω ἡ γῆ βοτάνην χόρτου, σπεῖρον σπέρμα κατὰ γένος,
καὶ ξύλον κάρπιμον ποιοῦν καρπόν· τὴν δὲ, ἅμα λόγῳ
τὸ εὐπειθὲς ἐπιδεικνυμένην τῷ νόμῳ, οὔπω καὶ εἰς δεῦρο
9 τῆς θείας παραμελῆσαι διατάξεως. Οὕτω δὲ καὶ τὴν c
ὑγρὰν οὐσίαν, φήσαντος τοῦ Θεοῦ, Ἐξαγαγέτω τὰ ὕδα-
τα ἑρπετὰ ψυχῶν ζωσῶν, καὶ πετεινὰ πετόμενα κατὰ τὸ
στερέωμα τοῦ οὐρανοῦ, ἅμα λόγῳ τοὖργον ἀποδοῦναι,
ὁρᾶσθαί τε εἰσέτι δεῦρο τῷ νόμῳ παρέχουσαν τὸ πει-
10 θήνιον. Εἰ δὲ δὴ καὶ ἥλιος καὶ σελήνη καὶ ἀστέρες, τοῦ
θείου νόμου καὶ αὐτοῖς διωρισμένου τοὺς οἰκείους ἀποδι-

a 10. νόμοις καὶ λόγοις] λό. καὶ νό. C.F.G. b. ἀνθρώπειον] ἀνθρώπινον C.F.G. Mox μέρος om. I. 2. τυγχάνον] τυγχάνειν C.F.G. 5. φήσαντα] φύσαντα C.F.G. 8. ἐπιδεικνυμένην] ἐπιδεδειγμένην E.I. 9. τῷ νόμῳ om. C.D.F.G. Tum οὔτω F.G. 10. παραμελῆσαι] μὴ παραμ. C.F.G. Tum παρατάξεως D. c. φύσαντος D. 2. ψυχῶν ζωσῶν] ζ. ψ. C.F.G. 3. πετόμενα] πετώμενα C.D. 4. τὸ ἔργων ἀποδοῦναι E. 5. ὁρᾶσθαι] καὶ εἰς δεῦρο παρέχουσαν C.D.F.G. 6. εἰ δὲ] οὐ δὲ E.

ejusdem mandatis sacrisque legibus atque decretis obtemperant.
8 Æquius enim esse profecto, uti humanum proinde genus, pars universi non exigua, divinis etiam edictis obsequatur, nec sese hoc in genere a singulis elementis vinci patiatur. Quippe legem initio
Gen. 1, 11. terræ impositam ab eo fuisse, qui dixerit, *Germinet terra herbam virentem, et facientem semen secundum genus suum, et lignum pomiferum faciens fructum.* Eam vero, simulatque vox illa exiisset, impositæ legi obsequutam, nunquam deinceps a divino præcepto ad hæc usque
9 tempora discessisse. Humidum similiter elementum, hanc ad Dei
Ib. 20. vocem, *Producant aquæ reptilia animæ viventis, et volatilia volantia circa firmamentum cœli,* re ipsa continuo paruisse, atque in eadem
10 obedientia hucusque persistere. Præterea si sol, atque luna, cætera-
Ib. 14. raque sidera, ei quoque legi, qua suos ipsa cursus conficere, *signa*

δόναι δρόμους, εἶναί τε καὶ εἰς σημεῖα καὶ εἰς καιροὺς καὶ εἰς ἡμέρας καὶ εἰς ἐνιαυτοὺς, οὐ παραμελοῦσι τῆς νομο- d
θεσίας, τίς ἂν ἔτι σοι λείποιτο συγγνώμης ἀποφυγὴ, τῶν θείων κατολιγωροῦντι νόμων;

11 Ταῦτα προπαιδεύσας ὁ θαυμάσιος ἡμᾶς τε εἷλε, καὶ τῆς οἰκείας θεογνωσίας τε καὶ εὐσεβείας εἰκότως ζηλωτὰς κατεστήσατο, ὅτι μηδὲν τούτοις ὅμοιον παρὰ τοῖς τῶν προδηλωθέντων ἐθνῶν θεολόγοις εὑρεῖν δεδυνήμεθα.

12 Μετὰ δὲ τὴν πρώτην θεολογίαν μέτεισιν ἐπὶ τὸ δεύτερον δόγμα φυσικὸν ὁμοῦ καὶ φιλόσοφον. Μετὰ γοῦν τὴν περὶ Θεοῦ γνῶσιν, τήν τε περὶ τῶν ὅλων διακόσμησιν, τάξει πρόεισιν ἐπὶ τὸ καὶ τῇ φύσει δεύτερον· τοῦτο δ' ἦν τὸ περὶ φύσεως ἀνθρώπου, ὅτι δὴ μετὰ Θεοῦ γνῶσιν ἀναγκαῖον γνῶναί τινα ἑαυτὸν, διόπερ ἑξῆς παιδεύει τί ἄνθρωπος, καὶ τί τὸ προάγον αὐτὸν εἰς γνῶσιν καὶ εὐσέβειαν Θεοῦ, τίς τε ἡ κατὰ τὸ προηγούμενον ἀνθρώ-

c 9. καὶ εἰς καιροὺς om. C. καὶ post εἶναί τε om. E.I. d. οὐ παραμενοῦσι F.G. 4. ὁ θαυμάσιος] θαυμασίως C.D.F. ὁ om. G. τῆς οἰκείας] τῆς τοῦ θεοῦ C.D.F.G. 5. τε καὶ] τε om. C.F.G. εἰκότως] ἡμᾶς C.D.F.G. 6. παρὰ om. F. 9. δεύτερον] ἕτερον C.F.G. τὸ om. I. Mox C.F.G. om. μετὰ γοῦν—δεύτερον. 11. ὅλων] τῶν ὅλων D.I. 13. τὸ περὶ] τὸ om. I. 16. τε καὶ κατὰ F.

rerum futurarum exhibere, tempora, dies, annosque distinguere jubentur, constanter obtemperant: quinam tibi porro divinas leges violanti receptus ad veniam superesse possit?

11 Hæc nos profecto viri singularis in docendo rudimenta ceperunt, ac suæ nos cum Dei notitiæ, tum etiam pietatis et religionis æmulatores effecerunt: quod apud cæterorum, de quibus ante diximus,

12 populorum theologos simile nihil usquam occurreret. Idem porro jactis ejusmodi theologiæ fundamentis, ad alterum deinceps doctrinæ caput, illudque cum natura simul philosophiaque conjunctum progreditur. Nam Dei semel cognitione, atque universi fabrica et moderatione constituta, ad id quod natura secundum est, ordine sane delabitur. Ea vero natura hominis est, quod secundum illam Dei notitiam, se ipsum utique nosse homo debeat. Itaque docet ille continuo, quid homo sit, quibus ipse momentis ad notitiam cultumque divinum adducatur, quemadmodum pro partis sui præcipuæ condi-

Homo qualis exhibeatur a Mose.

που ζωή. Διελόμενος δῆτα τὸν περὶ ψυχῆς καὶ σώματος
λόγον, ἐν ψυχῇ μὲν ὁρίζεται τὸν ἀληθῆ ἄνθρωπον, νοερᾶς p. 316
οὐσίας καὶ ἀσωμάτου καὶ λογικῆς μέτοχον, ὡς ἂν κατ᾽
[186] εἰκόνα Θεοῦ δεδημιουργημένον· σῶμα δὲ, γεῶδες εἶναι
περίβλημα ψυχῆς· τρίτον δὲ τούτοις προστίθησι, πνοὴν
ζωῆς, ἑνωτικήν τινα καὶ τοῦ ἀπὸ γῆς ληφθέντος τῷ κατ᾽
13 εἰκόνα Θεοῦ πεποιημένῳ συναπτικὴν δύναμιν. Καὶ τὴν
πρώτην γε τοῦ δηλουμένου ἀνδρὸς διατριβὴν ἐν τρισμα-
καρίῳ Θεοῦ παραδείσῳ, ἀθανάτων καὶ αἰωνίων ἀγαθῶν
ἔμπλεῳ, γεγονέναι ἱστορεῖ· νόμῳ δὲ Θεοῦ καὶ τοῦτον
ὁμοίως τοῖς ἄλλοις ἐν ἀρχαῖς τοῦ παντὸς ὑποβληθέντα b
δι᾽ ἀπροσεξίαν καὶ τῆς θείας ἐντολῆς παράβασιν τῆς
τριποθήτου στερηθῆναι ζωῆς.

14 Ταῦτά τοι ὁ Μωσῆς ἐν προοιμίοις τῶν ἱερῶν νόμων
φιλοσοφεῖ, μονονουχὶ προκηρύττων μὴ παραμελεῖν τῆς

p. 316. 4. προστίθησι] ἐντίθησι C.F.G. ἐκτίθησι D. Supra τρίτον F. 6. τῷ] τῶν E. 9. θεοῦ] θεῷ C.F. 10. ἔμπλεῳ] ἔμπλεων C.F.G. b 3. τριποθήτου] τριποθέτου C. Supra παραβάσεως D. 4. ταῦτά τοι] τοι om. C.F.G. 5. τῶν ἱερῶν νόμων om C.F.G. 6. τῆς οἰκείας ἀξίας καὶ om. C.F.G.

tione vitam instituere debeat. Quippe animi enim corporisque discrimine constituto, animo tenus verum illum hominem, qui spiritalem, incorpoream, et ratione præditam naturam sortitus est, definiendum putavit; quod is potissimum divinæ ad imaginis exemplar expressus et conformatus esset. Corpus autem, aliud nihil, quam animi terrestre quoddam indumentum ac domicilium esse statuit. Tum utrique tertium quid, vitalem inquam spiritum adjunxit, hoc est vim singularem ac propriam, quæ partem ex terra concretam, cum altera divinam ad similitudinem procreata nativo quodam vinculo sociaret.
13 Cæterum primam eidem homini sedem in horto Dei felicissimo, et immortalibus ac sempiternis opibus abundante positam et collocatam esse commemorat: ipsum vero, cum eadem ipso statim initio qua reliqua prorsus omnia divini numinis lege teneretur, sua ipsius vesania, violatoque tanti regis imperio, tam expetendæ vitæ fructu infeliciter excidisse.

14 Atque illa sunt, quæ persapienter a Mose in ipsa legum sanctissimarum fronte ponuntur, quibus nobis prope denuntiat, uti ne pro-

οἰκείας ἀξίας, καὶ ἧς ἐτύχομεν πρὸς τὸ θεῖον ἀφομοιώ-
σεως, ἐξ ἧς ἡμῖν καὶ τὸ ἀθάνατον τῆς ψυχῆς προσκε-
15 κληρῶσθαι. Μὴ γὰρ δὴ θεμιτὸν εἶναι βασιλέως ἀφα-
νίζεσθαι εἰκόνα· εἶναι δὲ ἀρχέτυπον καὶ ἀληθῆ τοῦ Θεοῦ
τῶν ὅλων εἰκόνα τὸν αὐτοῦ Λόγον, αὐτοσοφίαν τυγχά- c
νοντα, καὶ αὐτοζωήν, καὶ φῶς, καὶ ἀλήθειαν, καὶ εἴ τι
καλὸν καὶ ἀγαθόν τις ἐπινοήσειεν· εἰκόνα δὲ εἰκόνος τὸν
ἀνθρώπειον νοῦν, παρ' ὃ καὶ κατ' εἰκόνα Θεοῦ γεγονέναι
16 ἀνωμολόγηται. Ἀναγκαῖα δὲ ταῦτα εἶναι ᾤετο προ-
παιδεύεσθαι τοὺς μέλλοντας ἱεροῖς προσανέχειν νόμοις,
μνημονεύειν τε τί τὸ ἀπὸ γῆς ληφθὲν αὐτοῖς καὶ εἰς γῆν
αὖθις ἀναλυθησόμενον, καὶ τί τὸ ἐν ἡμῖν κρεῖττον καὶ
Θεῷ ἐμφερές, ὅπως τε χρῆν ἑκατέρῳ τῶν εἰρημένων
προσφέρεσθαι, μηδὲ ἐνυβρίζειν καὶ ἀσεβεῖν εἰς τὸν κατ' d
εἰκόνα τοῦ Θεοῦ ἄνθρωπον, μηδέ γε αὐτὸν ῥυπαίνειν
αἰσχραῖς καὶ παρανόμοις πράξεσι, φέρειν δὲ διαπαντὸς

b 7. ἐτύχομεν] ἔτυχε μὲν C. c 3. ἐπινοήσειεν] ἐπιθήσειεν E.I ἐπινοήσειέ τις F.G. 4. ἀνθρώπειον] ἀνθρώπινον C.F.G. 6. ᾤετο] ᾤχετο E. 9. ἀναληφθεισόμενον D. 11. προφέρεσθαι F. d 2. τοῦ θεοῦ] τοῦ om. C.F.G. μὴ δέ γε] μὴ δ' C.F.G.

priam nativamque dignitatem, impressamque nobis divini Numinis similitudinem turpiter negligamus, cum illa quoque animi nobis im-
15 mortalitatem conciliarit. Nefas enim esse profecto, regis imaginem aboleri : ac principem quidem veramque Dei præpotentis imaginem Verbum ejus esse, quod ipsa per sese sapientia, vita, lux, et veritas est, et quicquid omnino pulchri bonique cogitari possit : at imaginis hujus imaginem humanæ menti convenire, quæ propterea divinam
16 ad similitudinem expressa omnium confessione prædicatur. Quibus ille notionibus eos ante omnia informandos putavit, quos sacris legibus instituere cupiebat : uti, dum quid in sese concretum ex terra, inque terram denuo dissolvendum esset, quid item excellentius Deoque simile meminissent, cogitarent ipsi quoque, quemadmodum utraque parte uti oporteret, adeoque statuerent, nullo sibi vel injuriæ vel impietatis genere, adversus hominem illum, qui divinam præferret imaginem, esse peccandum, nulla eum obscœnorum, nulla scelera-

Homo quia Dei imago, quam purus esse debeat.

τῆς πρώτης καὶ τρισμακαρίας ἐκείνης διατριβῆς τε καὶ
ζωῆς τὸν πόθον, καὶ σπεύδειν παλινδρομεῖν, εὐχὴν ποι-
ουμένους τῆς πρώτης καὶ τρισμακαρίου ζωῆς τε καὶ
ἀξίας τυχεῖν· ἀλλὰ καὶ παρασκευάζεσθαι ἐνθένδε ἤδη
ἐπὶ τὴν ἐκεῖσε ἀποδημίαν, ὅτι μηδὲ ἄλλως δυνατὸν βε-
βήλοις καὶ μὴ κεκαθαρμένοις τῶν ἱερῶν ἐκείνων ἐπιβαί-
νειν, ὧν καὶ ὁ πρῶτος δι' ἀπροσεξίαν, θείας καταφρο-
17 νήσας ἐντολῆς, ἀποπέπτωκεν. Ἐπὶ τούτοις ὁ ἱεροφάν- p. 317
της προστίθησιν ἄλλο συνεκτικώτατον δόγμα, μὴ ἀμ-
φιγνοεῖν διδάσκων ὅτι δὴ πάρεστί τις ἑκάστῳ πονηρὸς
δαίμων ἔφεδρος, βάσκανος καὶ μισόκαλος, καὶ τῆς ἀν-
18 θρώπων ἀρχῆθεν ἐπίβουλος σωτηρίας. Δράκοντα δὲ
τοῦτον καὶ Ὄφιν ὀνομάζει, μέλανά τε καὶ σκότους
οἰκεῖον, ἰοῦ τε καὶ κακίας πλήρη· ὃν καί φησι φθόνῳ
τῆς ἡμετέρας ἐνθέου ζωῆς ὑποσκελίζειν εἰσέτι καὶ νῦν

d 5. τε om. D.G. 6. καὶ σπεύδειν—τυχεῖν om. C.F.G.
p. 317. 2. προστίθησιν] ἐκτίθησιν C.D.F.G. 3. διδάσκων] ὁ διδ. E.I.
τε
Mox ἔφεδρος δαίμων I. 7. τε καὶ] τινα καὶ C.F.G. τινα D. 8. πλή-
ρη] πρώτη E. Supra καὶ om. I. 9. ἐνθέου ζωῆς om. C. ἐνθέου
om. F.G.

torum facinorum contagione fœdandum: sed potius ardendum sibi
esse perpetuo ter illius beatæ sedis vitæque desiderio, tantæque digni-
tatis recuperandæ studio, votoque stimulatis, ad eandem omni rursus
contentione properandum: imo agendum sibi esse profecto, uti se
jam ab hujus vitæ carceribus, ad alterius metam attingendam com-
pararent: cum profanis et impuris ad ea sacraria nullus alioqui pateat
aditus, unde generis humani princeps ob neglectum summi Numinis
17 mandatum excidisset. Deinde vero divinus rerum sacrarum interpres,
alterum summi quoque ponderis ac momenti dogma subjungit, dum
id apud omnes certum esse vult, suum homini cuilibet affixum hærere
pravum dæmonem, invidum illum atque honestatis omnis inimicum,
postremo ejusmodi, qui jam usque ab initio hominum saluti insidias
18 struxerit. Draconem illum ac serpentem nominat, eundemque atrum
amantemque tenebrarum, veneno simul et improbitate scatentem
describit: addens insuper, quod divinam illam nobis vitam invideat,
hoc illum etiamnum agere molirique constanter, ut eos omnes, qui

καὶ ὑποσύρειν ἕκαστον τῶν τῷ Θεῷ προσανεχόντων
πειρᾶσθαι· τούτου δ' ἀπάτῃ καὶ τοὺς προπάτορας ἡμῶν
τοῦ γένους τῆς θειοτέρας λήξεως ἐκπεσεῖν· διὸ καὶ b
χρῆναι διαπαντὸς ἐγρηγορέναι πρὸς τὰς τοῦ δηλωθέντος
19 κακοτέχνους ῥᾳδιουργίας. Καὶ τί χρὴ ταῦτα προλαμ-
βάνειν, δέον ἤδη ποτὲ καὶ ἐξ αὐτῶν τῶν ἐγγράφων
ἕκαστα διελθεῖν τῶν διηγορευμένων; Ἀρξώμεθα δὴ
πρῶτον ἀπὸ Θεοῦ, βοηθὸν αὐτὸν ἐν πρώτοις διὰ τοῦ
Σωτῆρος ἡμῶν ἐπικαλεσάμενοι.

11 Τὴν μὲν δὴ τῆς θεολογίας ἀρχὴν ἀπὸ τῆς τῶν ὅλων c
ποιητικῆς τε καὶ δημιουργικῆς δυνάμεως ἀρχόμενος ὁ
κατ' αὐτοὺς λόγος παρίστησιν, οὐ συλλογισμοῖς οὐδὲ
πιθανολογίαις, δογματικώτερον δὲ καὶ διδασκαλικώτερον
ἐπιθειάζων τῷ ἁγίῳ Πνεύματι· ὑφ' οὗ θεοφορούμενος, d
ὧδέ πως ὁ Μωσῆς ἀπήρξατο τῆς θεολογίας. Ἐν ἀρχῇ

a 10. τῶν—προσανεχόντων πειρᾶσθαι] τοὺς—προσανέχοντας C.D.F.G. 12. καὶ om. E.I. b. ἐκπεσεῖν] ἀποπεσεῖν E.I. vid. p. 307 d. 4. προσλαμβάνειν] προλαμβάνειν E.I. 6. ἀρξόμεθα] ἀρξώμεθα C. δὴ πρῶτον] δ' οὖν πάλιν I. 7. ἀπὸ θεοῦ] ἀπὸ τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν, βοηθὸν ἐν πρώτοις αὐτὸν ἐπικαλεσάμενοι E.I. ἀπὸ τοῦ θεοῦ F.G. c 3. ποιητικῆς τε καὶ om. B.C.F.G. 6. δογματικώτερον δὲ καὶ om. S. δογματικῶν τε καὶ B. δὲ om. C.F.G. d. ἐπιθεάζων] ἐπιθειάζων B.C.D.E.I. S.V. ἁγίῳ] ἄλλῳ F.

19 divinæ sese adjungunt voluntati, supplantet atque dejiciat. Et quoniam ipsius dolis ac fraudibus, generis quoque nostri principes divinioris illius sortis communionem amiserint, eam nobis in rem vigilandum esse perpetuo, ne malis versuti hostis artibus præstigiisque capiamur. Verum quid hæc occupamus ipsi, cum ea jam a nobis ipsismet divinæ scripturæ verbis illustrari explicarique præstet? Rursus ergo novum a summo Numine principium ducamus, ejusque opem et auxilium Servatoris nostri nomine imploremus.

11 Sublimis hujus theologiæ primordia, non aliunde quam ex ipsa vi rerum omnium effectrice, Hebræorum doctrina repetit, eaque non argutis et artificiose concinnatis probationum conclusionibus, sed plane docentis in morem, utpote divino afflata spiritu commemorat. Quo quidem actus commotusque Moses, theologiæ suæ mysteria hunc in modum auspicatur, *In principio creavit Deus cœlum et terram.* Genes. I, 1.

2 ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. Εἶτά φησιν,
[187] Εἶπεν ὁ Θεὸς, γενηθήτω φῶς, καὶ ἐγένετο φῶς. Καὶ πά-
λιν, Εἶπεν ὁ Θεὸς, γενηθήτω στερέωμα, καὶ ἐγένετο. Καὶ
πάλιν, Εἶπεν ὁ Θεὸς, βλαστησάτω ἡ γῆ βοτάνην χόρτου,
σπεῖρον σπέρμα κατὰ γένος καὶ καθ' ὁμοιότητα, καὶ πᾶν
ξύλον κάρπιμον ποιοῦν καρπὸν, οὗ τὸ σπέρμα αὐτοῦ ἐν αὐτῷ,
κατὰ γένος ἐπὶ τῆς γῆς, καὶ ἐγένετο. Καὶ αὖθις, Εἶπεν ὁ
Θεὸς, γενηθήτωσαν φωστῆρες ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ,
ὥστε φαίνειν ἐπὶ τῆς γῆς, καὶ ἔστωσαν εἰς σημεῖα, καὶ εἰς
καιροὺς, καὶ εἰς ἡμέρας, καὶ εἰς ἐνιαυτοὺς, καὶ ἐγένετο.
Καὶ πάλιν, Εἶπεν ὁ Θεὸς, ἐξαγαγέτω τὰ ὕδατα ἑρπετὰ p. 318
ψυχῶν ζωσῶν κατὰ γένος, καὶ πάντα τὰ πετεινὰ τοῦ οὐ-
ρανοῦ κατὰ γένος, καὶ ἐγένετο. Καὶ πάλιν, ἐξαγαγέτω ἡ
γῆ τετράποδα, καὶ ἑρπετὰ, καὶ θηρία τῆς γῆς κατὰ γένος,
3 καὶ ἐγένετο. Ἐν δὴ τούτοις φάσκουσα ἡ γραφὴ, εἶπεν
ὁ Θεὸς, τὸ θεῖον νεῦμα καὶ τὸ ὡδί πως γενέσθαι τὰ ὄντα

d 4. γῆν] γῆν λέγων C. θεὸς λέγων τὸν οὐρανὸν G. 9. ξύλον] πᾶν ξύλον E.I. 10. οὗ τὸ σπέρμα—ἐγένετο om. B.C.F.G. 12. καὶ αὖθις] καὶ ἑξῆς καὶ αὖθις καὶ εἶπεν B. καὶ ἑξῆς αὖθις εἶπεν C.F.G. καὶ εἶπεν D. ult. εἰς ἐν.] εἰς om. B. καὶ εἰς καιροὺς ex ed. Viger. exciderunt. καὶ ἐγένετο—θεὸς] καὶ αὖθις B.C.F.G.V.

p. 318. 2. καὶ πάντα—ἐγένετο om. B.C.F.G. 4. καὶ ἑρπ.] καὶ om. B.C.F.G. Tum καὶ ἐγένετο om. B.C.F.G.

2 Tum ita progreditur, *Dixit Deus, fiat lux, et facta est lux.* Itemque,
Ib. 3. &c. deinceps. *Fiat firmamentum, et factum est.* Ac rursus, *Germinet terra herbam virentem, facientem semen secundum genus ac similitudinem suam, et lignum pomiferum faciens fructum, cujus semen in ipso sit, secundum genus suum super terram : et factum est. Dixit præterea Deus, Fiant luminaria in firmamento cœli, ut luceant super terram, et sint in signa et tempora, et dies, et annos : et factum est. Addiditque Deus, Producant aquæ reptilia animarum viventium secundum genus suum, et omnia volatilia cœli secundum genus suum, et factum est.* Iterumque, *Producat terra quadrupedes, et reptilia, et bestias terræ secundum*
3 *genus suum ; et factum est.* Quibus omnibus commemorandis, dum hanc scriptura formulam adhibet, *Dixit Deus,* aliud nihil, præter-

βουληθῆναι τὸν Θεὸν παρίστησιν, οὐ μὴν δὲ φωνῇ καὶ
συλλαβαῖς φάναι αὐτὸν ἐπινοεῖν ἀναγκαῖον. Ἀλλὰ
τὸν πάντα λόγον ἀνακεφαλαιούμενος, αὕτη, φησὶν, ἡ βί-
βλος γενέσεως οὐρανοῦ καὶ γῆς, ᾗ ἡμέρᾳ ἐποίησεν ὁ Θεὸς
4 τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ πάντα τὰ ἐν αὐτοῖς. Τοιαύτη b
μὲν ἡ καθ' Ἑβραίους θεολογία, Λόγῳ Θεοῦ δημιουργικῷ
τὰ πάντα συνεστάναι παιδεύουσα. Ἔπειτα δὲ, οὐχ ὧδε
ἔρημον ὡς ὀρφανὸν ὑπὸ πατρὸς καταλειφθέντα τὸν σύμ-
παντα κόσμον ὑπὸ τοῦ συστησαμένου διδάσκει, ἀλλ' εἰς
τὸ ἀεὶ ὑπὸ τῆς τοῦ Θεοῦ προνοίας αὐτὸν διοικεῖσθαι, ὡς
μὴ μόνον δημιουργὸν εἶναι τῶν ὅλων καὶ ποιητὴν τὸν
Θεὸν, ἀλλὰ καὶ σωτῆρα, καὶ διοικητὴν, καὶ βασιλέα,
καὶ ἡγεμόνα, ἡλίῳ αὐτῷ καὶ σελήνῃ καὶ ἄστροις καὶ τῷ
σύμπαντι οὐρανῷ τε καὶ κόσμῳ δι' αἰῶνος ἐπιστατοῦντα, c
μεγάλῳ τε ὀφθαλμῷ καὶ ἐνθέῳ δυνάμει πάντ' ἐφορῶντα,

a 8. δὲ φωνῇ] δὲ om. B.C.F.G. οὐχὶ I. pro οὐ μήν. Mox αὐτὸν καὶ εἰπεῖν I. 9. τὸν πάντα] γὰρ πάντα B. γὰρ τὸν π. C.D.F.G. 11. γενέσεως om. B.C.F.G.I. b 2. τὰ πάντα] τὰ om. C.D.F.G. Tum συνεστῶτα E. συνεστῶσα I. 3. παιδεύουσα] κελεύουσα C.F.G. 4. ὑπὸ] ἐπὶ C.F.G. Tum καταληφθέντα D. 6. ἀλλ' εἰς τὸ ἀεὶ] ἀλλ' ἀεὶ C.D.F.G. 8. καὶ ποιητὴν τὸν om. B.C.F.G. 10. καὶ ἡγεμόνα] ἡγούμεθα B. 11. οὐρανῷ τε καὶ om. B.C.F.G. 12. αἰῶνος] ἑνὸς D.

quam ad ipsum voluntatis divinæ nutum, hoc illove modo res omnes
extitisse ac perfectas esse significat, adeoque necesse non est, uti
vocem ullam, ullasve syllabas cogitemus. Idem porro vates, ora-
tionis universæ summam colligens, ita concludit. *Hic liber*, inquit, Gen. 2, 4.
generationis cœli et terræ, in die qua fecit cœlum et terram, et omnia
4 *quæ in eis sunt.* Hujusmodi ergo est Hebræorum theologia, quæ
Verbi divini effectrice vi sata esse ac procreata docet universa. De-
inde vero, non jam auctore sui ac molitore Deo, sic tanquam or-
phanum a parente relictum esse mundum, sed ejusdem providentia
perpetuo constanterque regi: ut non modo rerum architectus ac
molitor omnium ipse fuerit, sed earum quoque servator atque mode-
rator, rex item ac princeps esse velit: idemque cum soli, lunæ, side-
ribus, cœloque passim et orbi continenter universo præsit, tum magno
ipsemet oculo divinoque numine cuncta lustrans ac pervidens, rebus-

καὶ τοῖς πᾶσιν οὐρανίοις τε καὶ ἐπιγείοις ἐπιπαρόντα, καὶ τὰ πάντα ἐν κόσμῳ διατάττοντά τε καὶ διοικοῦντα.

5 Ὥσπερ οὖν ἀμέλει καὶ οἱ μετὰ ταῦτα προφῆται, ἀκόλουθα καὶ αὐτοὶ θειάζοντες, τοτὲ μὲν ἀνεφώνουν ἐξ αὐτοῦ θείου λέγοντες προσώπου, Θεὸς ἐγγίζων ἐγώ εἰμι, λέγει Κύριος, καὶ οὐχὶ Θεὸς πόρρωθεν. Εἰ ποιήσει τι ἄνθρωπος ἐν κρυφαίοις, κἀγὼ οὐ γνώσομαι αὐτό; Οὐχὶ τὸν
6 οὐρανὸν καὶ τὴν γῆν ἐγὼ πληρῶ; λέγει Κύριος. Τοτὲ δὲ d
ὧδέ πη θεολογοῦντες, Τίς ἐμέτρησε τῇ χειρὶ τὸ ὕδωρ, καὶ τὸν οὐρανὸν σπιθαμῇ, καὶ πᾶσαν τὴν γῆν δρακί; Τίς ἔστησε τὰ ὄρη σταθμῷ, καὶ τὰς νάπας ζυγῷ; Τίς ἔγνω νοῦν Κυρίου, καὶ τίς σύμβουλος αὐτοῦ ἐγένετο; Καὶ πάλιν, Ὁ στήσας ὡς καμάραν τὸν οὐρανὸν, καὶ διατείνας ὡς σκηνὴν κατοικεῖν. Καὶ αὖθις, Ἀναβλέψατε εἰς ὕψος τοὺς ὀφθαλμοὺς ὑμῶν, καὶ ἴδετε, τίς κατέδειξε ταῦτα πάντα. Καὶ ἑξῆς, Κύριος ὁ Θεὸς ὁ ποιήσας τὸν οὐρανὸν, καὶ πήξας

c 5. τε καὶ] τε om. F.G. 7. θειάζοντες om. B.C.F.G. qui mox om. λέγοντες. 10. οὐχὶ] οὐ C.F.G. ὁ E.I. εἰ ποιήσει—αὐτὸ om. B. τι] τις C.D.F.G. d. τοτὲ δὲ ὧδέ πη θεολογοῦντες] πάλιν φασὶ B.C.F.G. 2. σπιθαμὴν D. καὶ τὸν οὐρανὸν—δρακὶ om. E.I. 6. στήσας ὡς] στ. ὡσεὶ D.F.G. διατείνας ὡς] διατείνειν ὡσεὶ B. ὡσεὶ item C.D.F.G. 8. τὸ ὕψος] τὸ om. B.C.F.G.I.S. Mox ἡμῶν—εἴδετε D. 9. κύριος] κύριε B.C.D.F.

que omnibus seu quæ cœlo, seu quæ terra continentur, omnino præsens, suo quæque ordine sapienter apteque constituat atque dispenset.
5 Atque id sequuti deinceps prophetæ, prioribus illis consentanea divino spiritu canentes ipsi quoque, testatum reliquerunt; seu cum
Jer. 23, divinam personam sustinentes, hunc in modum exclamarent, *Deus*
24. *appropinquans ego sum, dicit Dominus, et non Deus de longe. Si faciet aliquid homo in occultis, et ego nesciam illud? Nunquid cœlum et*
6 *terram ego impleo? dicit Dominus.* Seu cum hoc ipsi modo de Deo
Isa. 40, philosophantur, *Quis mensus est manu aquam, et cœlum palmo, et*
12. *omnem terram pugillo? Quis libravit montes in pondere, et colles in*
Isa. 40, *statera? Quis cognovit mentem Domini, et quis consiliarius ejus fuit?*
22. Ib. 26. Itemque, *Qui statuit quasi cameram cœlum, et extendit quasi tabernaculum ad habitandum.* Et rursus, *Levate in excelsum oculos vestros,*
Isa. 42, 5. *et videte quis perfecit hæc omnia.* Et deinceps, *Dominus Deus qui*

αὐτὸν, ὁ στερεώσας τὴν γῆν καὶ τὰ ἐν αὐτῇ, καὶ διδοὺς
πνοὴν τῷ λαῷ τῷ ἐπ' αὐτῆς, καὶ πνεῦμα τοῖς πατοῦσιν
αὐτὴν, ἐγὼ Κύριος ὁ Θεός. Καὶ ἑξῆς, Ἐξέτεινα τὸν οὐρα-
νὸν μόνος, καὶ ἐστερέωσα τὴν γῆν· ἐγὼ Κύριος ὁ Θεὸς, οὐκ p. 319
7 ἔστι πλὴν ἐμοῦ. Καὶ πάλιν, Οὕτως ἐρεῖτε αὐτοῖς, θεοὶ, οἳ
τὸν οὐρανὸν καὶ τὴν γῆν οὐκ ἐποίησαν, ἀπολέσθωσαν ἀπὸ
προσώπου τῆς γῆς, καὶ ὑποκάτωθεν τοῦ οὐρανοῦ. Κύριος ὁ
ποιήσας τὴν γῆν ἐν τῇ ἰσχύϊ αὐτοῦ, ἀνώρθωσε τὴν οἰκουμένην
ἐν τῇ σοφίᾳ αὐτοῦ, καὶ ἐν τῇ φρονήσει αὐτοῦ ἐξέτεινε τὸν
οὐρανὸν, καὶ ἀνήγαγε νεφέλας ἐξ ἐσχάτου τῆς γῆς, ἀστρα-
πὰς εἰς ὑετὸν ἐποίησε, καὶ ἐξήγαγεν ἀνέμους ἐκ θησαυρῶν
8 αὐτοῦ. Ἐμωράνθη πᾶς ἄνθρωπος ἀπὸ γνώσεως. Καὶ
πάλιν, Ποῦ πορευθῶ ἀπὸ τοῦ πνεύματός σου, καὶ ἀπὸ τοῦ b
προσώπου σου ποῦ κρυβῶ; Ἐὰν ἀναβῶ εἰς τὸν οὐρανὸν, σὺ
ἐκεῖ εἶ· ἐὰν στρώσω εἰς τὸν ᾅδην, πάρει. Εἰ ἀναλάβοιμι
τὰς πτερυγάς μου κατ' ὄρθρον, καὶ κατασκηνώσαιμι εἰς τὰ
[188] ἔσχατα τῆς θαλάσσης· καὶ γὰρ ἐκεῖ ἡ χείρ σου ὁδηγή-
σει με.

d 12. λαῷ τῷ ἐπ' αὐτῆς] λαῷ αὐτοῦ καὶ πάλιν B. λαῷ τῷ ἐν αὐτῇ C.F.G. qui om. seqq. usque ad πλὴν ἐμοῦ.

p. 319. 4. καὶ ὑποκ. τοῦ οὐ. om. B.C.D.F.G. 5. τῇ ἰσχύϊ] τῇ om. B.C.F.G. item ante σοφίᾳ C.F.G. 9. ἀστραπὰς—αὐτοῦ om. B.C.F.G. Tum συνῳδὰ τυγχάνει D. 11. καὶ πάλιν που—ὁδηγήσει με om. B.C.F.G.

fecit cœlum, et stabilivit ipsum : qui firmavit terram, et quæ in ea sunt :
dans flatum populo, qui est super eam, et spiritum calcantibus eam :
ego Dominus Deus. Et deinceps : *Extendi cœlum solus, et firmavi* Isa. 44,
7 *terram : ego Dominus Deus : nullus est præter me.* Et iterum, *Sic* 24.
dicetis ipsis, dii qui cœlum et terram non fecerunt, pereant a facie Jer. 10,
terræ, et de sub cœlo. Dominus qui fecit terram in fortitudine sua, 11.
correxit orbem terræ in sapientia sua, et in prudentia sua extendit
cœlum, et elevavit nubes ab extremo terræ : fulgura in pluviam fecit,
et eduxit ventos de thesauris suis. Stultus factus est omnis homo a
8 *scientia.* Et rursus, *Quo ibo a spiritu tuo, a facie tua ubi occultabor?* Ps. 138,
Si ascendero in cœlum, tu illic es : si me stravero in inferno, ades : si 7.
sumpsero pennas meas diluculo, et habitavero in extremis maris :
etenim illuc manus tua deducet me.

9 Ἀλλὰ ταῦτα μὲν καὶ τὰ τούτοις ὅμοια τῶν μετὰ
Μωσέα θεολόγων, τῶν δὴ καὶ αὐτῶν Ἑβραίων, τυγχά-
νει, συνῳδὰ τοῖς παλαιτάτοις προπάτορσι θεολογούντων·
τῶν δέ γε πρὸ Μωσέως θεοφιλῶν καὶ τρισμακαρίων
ἀνδρῶν, τῶν δὴ καὶ πρώτων Ἑβραίων, αὐτοῦ τε πρώτου c
πάντων Ἀβραάμ, ὃς καὶ προπάτωρ τοῦ παντὸς Ἰου-
10 δαίων ἔθνους ἀνείρηται, ἄκουε. Εἶπε δὲ Ἀβραὰμ πρὸς
βασιλέα Σοδόμων, Ἐκτενῶ τὴν χεῖρά μου πρὸς τὸν Θεὸν
τὸν ὕψιστον, ὃς ἔκτισε τὸν οὐρανὸν καὶ τὴν γῆν. Καὶ πρό γε
τοῦ Ἀβραὰμ εἰσάγεται ὁ Μελχισεδὲκ ἱερεὺς τοῦ Θεοῦ
τοῦ ὑψίστου, τὸν Ἀβραὰμ εὐλογῶν τούτοις τοῖς ῥή-
μασιν· Εὐλογημένος Ἀβραὰμ τῷ Θεῷ τῷ ὑψίστῳ, ὃς
παρέδωκε τοὺς ἐχθρούς σου ὑποχειρίους σοι· καὶ εὐλογητὸς
11 ὁ Θεός, ὃς ἔκτισε τὸν οὐρανὸν καὶ τὴν γῆν. Ἔτι πρὸς τού- d
τοις ὁ λόγος τὸν Ἀβραὰμ εἰσάγει τῷ οἰκείῳ τοιάδε
προσδιαλεγόμενον, Θὲς τὴν χεῖρά σου ὑπὸ τὸν μηρόν μου,

c 2. τοῦ παντὸς] αὐτοῦ τοῦ B. 3. ἔθνους] ἔθνος F. 5. τὸν ὑψ.] τὸν om. F. 6. καὶ πρό γε—ἐγεννήθην om. B. 11. καὶ εὐλ. ὁ θ. om. C.F.G. d. γῆν] Addunt C.F.G. καὶ ὁ ἀβραὰμ αὖ εἰσάγεται τῷ οἰκείῳ τοιάδε (τάδε S.) διαλεγόμενος θὲς (θεὸς F.), et sic S.V. omisso postrema voc. 3. τὴν χεῖρα] δὲ χεῖρα E. σου D. σοῦ ἐπὶ τὸν μηρὸν G.

9 Atque hæc cæteraque his affinia, eorum sunt theologorum, qui cum
essent ipsi quoque Mosem tempore consequuti, de Deo similiter anti-
quissimis illis patribus gemina cecinerunt. Jam vero illorum dein-
ceps, qui ante Mosem vixerunt, et Deo charissimorum, et beatissi-
morum virorum, quique eodem Hebræorum ex genere fuerunt,
adeoque principis omnium Abraami, quem universæ Judæorum na-
10 tionis parentem celebrant, voces audi. *Dixit autem Abraam ad regem*
Gen. 14, 22. *Sodomorum, Extendam manum meam ad Deum altissimum, qui creavit*
cœlum, et terram. Imo ante Abraamum Melchisedec Dei altissimi
sacerdos introducitur, qui conceptis verbis sic Abraamo benedicit,
Ibid. 19. *Benedictus Abraam de excelso, qui tradidit hostes tuos in manus tuas :*
11 *et benedictus Deus, qui creavit cœlum et terram.* Porro eundem
Abraamum sacris in literis habemus, cum uno e servis hoc modo
Gen. 24, 3. colloquentem, *Pone manum tuam subter femur meum, et adjurabo te*

καὶ ἐξορκιῶ σε Κύριον τὸν Θεὸν τοῦ οὐρανοῦ, καὶ τὸν Θεὸν τῆς γῆς. Καὶ ἐπιλέγει, Κύριος ὁ Θεὸς τοῦ οὐρανοῦ, καὶ ὁ Θεὸς τῆς γῆς, ὃς ἔλαβέ με ἐκ τοῦ οἴκου τοῦ πατρός μου, καὶ ἐκ
12 τῆς γῆς, ἧς ἐγεννήθην. Ἐπὶ πᾶσι τούτοις ἐν τῇ πρὸς αὐτὸν Μωσέα θεοφανείᾳ, πυθομένῳ τῷ Μωσῇ, τίνα χρὴ τὸν Θεὸν ἡγεῖσθαι, φησὶν ὁ χρησμὸς, Ἐγώ εἰμι ὁ ὤν· οὕτως ἐρεῖς τοῖς υἱοῖς Ἰσραὴλ, Ὁ ὢν ἀπέσταλκέ με πρὸς ὑμᾶς.

13 Ταῦτα μὲν οὖν ἀπὸ μυρίων ὅσων τῆς Ἑβραίων θεολογίας ἐκκείσθω. Ἆρ᾽ οὖν ἄξιον ἐν συγκρίσει παραβάλλειν αὐτοῖς τὰς τῶν σοφῶν Ἑλλήνων θεολογίας, τῶν μὲν μηδ᾽ ὅλως εἶναι Θεὸν ἀποφηναμένων, τῶν δὲ τοὺς ἀστέρας εἶναι φασκόντων, οὓς καὶ μύδρους τυγχάνειν διαπύρους, ἥλων καὶ πετάλων δίκην ἐμπεπηγότας τῷ οὐρανῷ, τῶν δὲ πῦρ εἶναι τεχνικὸν ὁδῷ βαδίζον, καὶ p. 320
τῶν μὲν μὴ προνοίᾳ Θεοῦ διοικεῖσθαι τὸν κόσμον φύσει δέ τινι ἀλόγῳ, τῶν δὲ τὰ μὲν οὐράνια μόνα ὑπὸ Θεοῦ

d 5. *καὶ ἐπιλέγει—ἐγεννήθην* om. C. *θεὸν τὸν τῆς γ.* D.F.G. Steph. *τὸν* om. I. 9. *πυθομένῳ—μωσῇ*] *καὶ πάλιν πυθ.—μωσεῖ* B.C. *μωσεῖ* F.G. *πειθομ.* D. 13. *αὐτοὺς*] *αὐτοῖς* E.I. 14. *θεομαχίας* I.S.V. pro *θεολογίας*. *θεὸν* om. B.C.D.F.G. ult. *ἥλων—ἐπὶ γῆς* om. B.
p. 320. *ὁδῷ*] *ὁδὸν* E.I. 2. *θεοῦ* om. F.G.

per Dominum Deum cœli, et Deum terræ. Et paulo post, *Dominus Deus cœli, et Deus terræ, qui accepit me de domo patris mei, et de* Ibid. 7.
12 *terra in qua natus sum.* Quibus omnibus illud etiam adjungi potest, quod ex Deo, qui sibi apparuerat, Moses audivit. Quærenti enim ipsi, quemadmodum esset de Deo sentiendum, oraculum ita respondit, *Ego sum qui sum: sic dices filiis Israel, Qui est, misit me ad vos.* Exod. 3, 14.

13 Ac de infinitis pauca ista Hebræorum ex theologia petita sufficiant. Quisquamne vero cum illis egregias eruditorum Græcorum de Deo disputationes conferendas putet? quorum alii divinitatem funditus omnem sustulerunt; alii stellis eandem tribuerunt, quas ipsi tamen globos quosdam igneos et candentes esse volebant, in cœlo clavorum aut laminarum in morem alte penitusque defixos: alii denique artificiosum ignem, et certo quodam ordine sese commo-

διοικεῖσθαι, οὐ μὴν καὶ τὰ ἐπὶ γῆς, καὶ πάλιν, ἀγένητον εἶναι τὸν κόσμον, καὶ μήθ' ὅλως ὑπὸ Θεοῦ γενέσθαι αὐτομάτως δὲ καὶ συντυχικῶς ὑφεστάναι, τῶν δὲ ἐξ ἀτόμων καὶ λεπτῶν σωμάτων ἀψύχων τινῶν καὶ
14 ἀλόγων τὴν τοῦ παντὸς σύστασιν γεγονέναι; Ἀλλὰ τὰ μὲν ἐκ τῶν παρ' Ἑβραίοις λογίων περὶ τοῦ τῶν ὅλων b Θεοῦ ὡς ἐν βραχέσι τοιαῦτα· συνιδεῖν δὲ ἕπεται καὶ τὰ μετὰ τὸν τῶν ὅλων Θεὸν περὶ τῆς τῶν γενητῶν ἀρχῆς Ἑβραίοις πεφιλοσοφημένα.

12 Θαλῆς μὲν ὁ Μιλήσιος ἀρχὴν τῶν ἁπάντων τὸ ὕδωρ c εἶναι ἀπεφήνατο, Ἀναξιμένης δὲ τὸν ἀέρα, Ἡράκλειτος τὸ πῦρ, Πυθαγόρας ἀριθμούς, Ἐπίκουρος ἅμα Δημοκρίτῳ σώματα ἄτομα, Ἐμπεδοκλῆς τὰ τέσσαρα στοιχεῖα. Ἴδωμεν τοιγαροῦν καὶ τὰ παρ' Ἑβραίοις λόγια.
2 Μετὰ τὴν ἄναρχον καὶ ἀγένητον τοῦ Θεοῦ τῶν ὅλων

a 5. οὐ μὴν καὶ] μὴν καὶ om. C.G. μὴν om. F. 6. ἀγέννητον] ἀγένητον B.C.F.G. 10. σύστασιν] ὑπόστασιν E.I. b. ὡς ἐν βραχέσι om. B.C.F.G. τοιαῦτα] τοσαῦτα B.C.D.F.G. 2. μετὰ τὸν] τὸν om. B. c. Θαλῆς] Vid. Theodoret. Ther. p. 22, 30. ἀρχὴν] ἀρχὴ C. 7. ἑβραίοις] ἑβραίων B.

ventem Dei loco statuerunt. Alii præterea nullo Dei consilio mundum gubernari, sed temerario quodam naturæ impetu ferri docebant: alii, cum in cœlestibus modo rebus divinæ providentiæ ductum agnoscerent, terrestribus omnem adimebant. Rursus, ortu caruisse mundum, vel a Deo conditum eum fuisse negabant: cum alii sua sponte et casu quodam extitisse illum et coaluisse vellent; alii vero ex individuis quibusdam, tenuissimisque corpusculis, iisdemque anima simul et ratione carentibus, universi molem conflatam
14 esse defenderent. At de rerum omnium præpotente Deo, hæc a nobis ex Hebræorum oraculis delibata, modo satis. Consequens deinceps erit, ut quemadmodum, orbis præside constituto, de rerum illi creatarum principio philosophati sint, videamus.

12 Thales quidem ille Milesius, rerum universarum principium aquam esse defendebat, aërem Anaximenes, Heraclitus ignem, numeros Pythagoras, Epicurus cum Democrito corpuscula quædam individua, Empedocles quatuor elementa. Nos hac de re, Hebræorum quoque
2 literas consulamus. Illi ergo, secundum principem illam, et principio

οὐσίαν, ἄμικτον οὖσαν καὶ ἐπέκεινα πάσης καταλήψεως,
δευτέραν οὐσίαν καὶ θείαν δύναμιν, ἀρχὴν τῶν γενητῶν
ἁπάντων πρώτην τε ὑποστᾶσαν κἀκ τοῦ πρώτου αἰτίου d
γεγενημένην, εἰσάγουσι, Λόγον καὶ Σοφίαν καὶ Θεοῦ
3 δύναμιν αὐτὴν προσαγορεύοντες. Τοῦτο δὲ πρῶτος δι-
δάσκει λέγων Ἰὼβ, Ἡ δὲ σοφία πόθεν εὑρέθη; Ποῖος δὲ
τόπος ἐστὶν τῆς ἐπιστήμης; Οὐκ οἶδε βροτὸς ὁδὸν αὐτῆς, οὐδὲ
μὴν εὑρέθη ἐν ἀνθρώποις, ἀκηκόαμεν δὲ αὐτῆς τὸ κλέος. Ὁ
Κύριος συνέστησεν αὐτῆς τὴν ὁδὸν, αὐτὸς δὲ οἶδε τὸν τόπον
4 αὐτῆς. Καὶ ὁ Δαβὶδ δέ που ἐν ψαλμῳδίαις, ἑτέρῳ
προσειπὼν τὴν σοφίαν ὀνόματι, φησὶ, Τῷ λόγῳ Κυ-
ρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, τὸν τῶν ἁπάντων δημιουρ-
[189] γὸν Λόγον Θεοῦ τοῦτον ἐνευφημήσας τὸν τρόπον· οὐ
μὴν ἀλλὰ καὶ ὁ τούτου παῖς Σολομῶν ὧδέ πη ἐξ αὐτῆς
προσωποποιεῖ τῆς σοφίας λέγων, Ἐγὼ ἡ Σοφία κατε- p. 321
σκήνωσα βουλὴν καὶ γνῶσιν, καὶ ἔννοιαν ἐγὼ ἐπεκαλεσά-

c 10. ἀρχὴν—δύναμιν om. B. 11. κἀκ] καὶ C.F.G. d 3. πρῶτος] πρώτως C.E. 5. αὐτοῦ (ῆς) D. 8. οἶδε] εἶδε C. δὲ om. G. 9. ὁ δαβὶδ] ὁ om. C. 12. δημιουργικὸν] δημιουργὸν B.C. Mox ὁ τούτου παῖς om. B.C.F.G. 13. εὐφημήσας F. ἀνευφημήσας G. ἐνευφημίσας I. ult. ὡδί πη] ὡδέπη I. vid. p. 321 d. 322 c.

simul ortuque carentem præpotentis Dei naturam, quæque ut ab omni permixtione sejuncta est, sic omni comprehensione major, naturam alteram constituunt, vimque divinam, quæ cum eorum omnium quæ gignuntur principium sit, tum ante cæteras omnes extiterit, ab eodemque primo principio genita fuerit, quam ipsi
3 Verbum, *Sapientiam, Deique virtutem* appellare solent. Atque hoc in primis Jobus docuit, dum ita locutus est, *Unde autem sapientia inventa est? aut quis locus est scientiæ? Nescit homo viam ejus, neque inventa est inter homines: audivimus autem gloriam ipsius. Dominus*
4 *constituit viam ejus, Ipse autem novit locum ejus.* Itemque David in Psalmis, aliud huic Sapientiæ nomen attribuens, *Verbo*, inquit, *Domini cæli firmati sunt:* quibus ipse Verbum illud divinum hujus universi molitorem celebravit. Quin etiam filius ejus Salomon, ejusdem ex Sapientiæ persona, hunc in modum loquitur, *Ego Sapientia habito in consilio et scientia, et intelligentiam ego vocavi. Per me*

1 Cor. 1, 24. Job. 28, 20. Psal. 32, 6. Prov. 8, 12.

μην. Δι' ἐμοῦ βασιλεῖς βασιλεύουσι, καὶ οἱ δυνάσται
5 γράφουσι δικαιοσύνην. Καὶ πάλιν, Κύριος ἔκτισέ με ἀρ-
χὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ, πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ
με, ἐν ἀρχῇ πρὸ τοῦ τὴν γῆν ποιῆσαι, πρὸ τοῦ τὰς ἀβύσ-
σους γενέσθαι, πρὸ τοῦ ὄρη ἑδρασθῆναι, πρὸ δὲ πάντων βου-
νῶν γεννᾷ με, ἡνίκα ἡτοίμαζε τὸν οὐρανὸν συμπαρήμην αὐτῷ,
καὶ ὡς ἀσφαλεῖς ἐτίθει πηγὰς τῆς ὑπ' οὐρανὸν, ἤμην σὺν b
αὐτῷ ἁρμόζουσα. Ἐγὼ ἤμην ᾗ προσέχαιρε καθ' ἡμέραν,
ηὐφραινόμην δὲ ἐνώπιον αὐτοῦ ἐν παντὶ καιρῷ, ὅτε ηὐφραί-
6 νετο τὴν οἰκουμένην συντελέσας. Ταῦτα Σολομῶν ἐν Πα-
ροιμίαις. Καὶ ταῦτα δέ πη ἐξ αὐτοῦ λέγεται τοῦ προσώ-
που· Τί δέ ἐστιν σοφία, καὶ πῶς ἐγένετο, ἀπαγγελῶ, καὶ
οὐκ ἀποκρύψω ὑμῖν μυστήρια, ἀλλ' ἐξ ἀρχῆς γενέσεως
ἐξιχνιάσω. Οἷς ἑξῆς ἐπιλέγει, Ἔστι γὰρ αὕτη πνεῦμα
νοερὸν, ἅγιον, μονογενὲς, πολυμερὲς, λεπτὸν, εὐκίνητον, τρα- c
νὸν, ἀμόλυντον, παντοδύναμον, παντεπίσκοπον, καὶ διὰ πάν-

p. 321. 3. βασιλεύουσι] βασιλεύσουσι E. Addunt C.F.G. καὶ τύραννοι κρατοῦσι γῆς. 4. οἱ δυν.] οἱ om. B.C.D. Tum δυν. C. 5. καὶ πάλιν] οἷς ἐπιλέγει E. οἷς ἐπιλέγει ἑξῆς I. 6. πρὸ τοῦ—ποιῆσαι om. B. 7. ποιῆσαι] ποιῆσαι καὶ E.I. 9. βουνῶν] τῶν β E.I. 11. ὡς ἀσφαλεῖς] ὡς om. C.F.G. ἐτίθει] ἐτίθη B. Mox τῆς om. B.C.F.G. ubi ἴσ. τὰς Vigeri margo. b 2. ἐγὼ ἤμην—παροιμίαις om. B.C.F.G. 6. καὶ ταῦτα] ἀλλὰ καὶ ταῦτα ἐξ B.C.F.G. 8. ἡμῖν G. c 2. παντεπίσκοπον] πανεπίσκοπον D.F.G.I.

Ib. 22. 5 *reges regnant, et potentes decernunt justitiam.* Et rursus, *Dominus*
creavit me initium viarum suarum ad opera sua. Ante ævum fundavit
me: in principio, antequam terram faceret, antequam essent abyssi:
antequam montes fixi constitissent: ante omnes colles generavit me.
Quando præparabat cælum, aderam ipsi: quando certos ponebat
fontes, qui sub cœlo sunt, eram cum eo cuncta componens. Ego eram
qua delectabatur quotidie: lætabar autem coram ipso omni tempore,
6 *quando delectabatur orbem terræ perficiens.* Hæc Salomon in Pro-
verbiis. Quæ sequuntur, ex ejusdem quoque persona referuntur.
Sap. 6, 24. *Quid sit autem sapientia, et quemadmodum facta sit referam, et non*
abscondam a vobis sacramenta, sed ab initio nativitatis investigabo.
Sap. 7, 22. Quibus deinde subjungit, *Est enim hæc spiritus intelligens, sanctus,*
unigenitus, multiplex, subtilis, mobilis, disertus, incoinquinatus, omni-

7 τῶν χωροῦν πνευμάτων, νοερῶν, καθαρῶν, λεπτοτάτων. Πά-
σης γὰρ κινήσεως κινητικώτερον σοφία, διήκει δὲ καὶ χωρεῖ
διὰ πάντων διὰ τὴν καθαρότητα. Ἀτμὶς γάρ ἐστι τῆς τοῦ
Θεοῦ δυνάμεως, καὶ ἀπόρροια τῆς τοῦ παντοκράτορος δόξης
εἰλικρινής· διὸ οὐδὲν μεμολυσμένον εἰς αὐτὴν παρεμπίπτει.
Ἀπαύγασμα γάρ ἐστι φωτὸς ἀϊδίου, καὶ ἔσοπτρον ἀκηλί-
δωτον τῆς τοῦ Θεοῦ ἐνεργείας, καὶ εἰκὼν τῆς ἀγαθότητος
αὐτοῦ. Διατείνει δὲ ἀπὸ πέρατος ἐπὶ πέρας εὐρρώστως, καὶ d
8 διοικεῖ τὰ πάντα χρηστῶς. Καὶ δὴ τόνδε τὸν ἔνθεον
Λόγον διαφόρως ἡ θεία γραφὴ πρὸς τοῦ Πατρὸς ἐπὶ τῇ
τῶν ἀνθρώπων σωτηρίᾳ πεπεμμένον εἰσάγει. Αὐτὸν δ'
οὖν καὶ τῷ Ἀβραὰμ Μωσῇ τε καὶ τοῖς ἄλλοις θεοφι-
λέσι προφήταις φῆναι ἑαυτὸν, καὶ χρησμοῖς τὰ πολλὰ
παιδεῦσαί τε καὶ θεσπίσαι τὰ μέλλοντα ἱστορεῖ, ὁπη-
νίκα Θεὸν καὶ Κύριον ὦφθαί τε καὶ εἰς λόγους τῶν προ-
9 φητῶν ἐλθεῖν μνημονεύει. Τοῦτον καὶ πᾶσιν εἰς γνῶ-
σιν ἐλθεῖν ἀνθρώποις, οἷα νοσούντων σωτῆρα καὶ ψυχῶν

c 4. κινητικωτέρα] κινητικώτερον C.E.F.G.I. 5. καθαρότητα] μακρότητα F.G. d. εὐρώστως] εὐρώστους B. εὐρρώστως C.F.G. εὐρώ I. 3. διαφόρως] ἐνθέως I.S.V. 4. πεπεμμένον—λόγος αὐτοῦ om. B. 6. μωσῇ] μωσεῖ C.F.G. qui om. θεοφιλέσι. 9. ὁπηνίκα] ἡνίκα C.D.F.G.

potens, omnia spectans, ac per omnes pervadens spiritus intelligentes,
7 *puros, subtilissimos. Omnibus enim mobilibus mobilior est sapientia:*
permeat autem ac pervadit omnia, propter suam munditiam. Vapor
enim est Dei virtutis, et emanatio gloriæ omnipotentis sincera. Et ideo
nihil inquinatum in eam incurrit. Candor enim est lucis æternæ, et
speculum sine macula Dei efficacitatis, et imago bonitatis ejus. At- Ib. 8, 1.
tingit autem a fine usque ad finem fortiter, et disponit omnia suaviter.
8 Jam divinum hocce Verbum, a Patre hominum in salutem missum,
variis omnino modis scriptura divina repræsentat. Et Abraamo
quidem atque Mosi, cæterisque prophetis Deo carissimis, non sese
modo videndum exhibuisse, verum etiam et docuisse multa, et futura
prænuntiasse testatur, quoties Deum ac Dominum aut apparuisse
9 prophetis, aut cum iis colloquutum esse commemorat. Idem vero,
sic tanquam laborantium servatorem: et medicum animorum a Locus hic caute legendus.

ἰατρὸν πρὸς τοῦ μείζονος ἀπεσταλμένον, ὧδέ πῃ θεσπίζει, Ἀπέστειλε τὸν Λόγον αὐτοῦ, καὶ ἰάσατο αὐτοὺς, καὶ ἐρρύσατο αὐτοὺς ἐκ τῶν διαφθορῶν αὐτῶν. Καὶ πάλιν ἄλλοτέ φησιν, Ἕως τάχους δραμεῖται ὁ Λόγος αὐτοῦ. Ἔνθεν καὶ ἡ εὐαγγελικὴ διδασκαλία τὸ προφητικὸν καὶ πάτριον ἀνανεουμένη δόγμα ταύτῃ πῃ διασαφεῖ τὴν θεολογίαν, Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ Λόγος. Οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν p. 322
Θεόν. Πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲν, ὃ γέγονεν. Ἐν αὐτῷ ζωὴ ἦν, καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων. Εἰκότως δῆτα τῷ αὐτῷ πνεύματι καὶ Μωσῆς ὁ πάνσοφος, ἀρχόμενος τῆς κατ' αὐτὸν κοσμογονίας, ἐν τῇ προαποδοθείσῃ ἀρχῇ, πεποιηκέναι τὸν Θεὸν τὸν οὐρανὸν καὶ τὴν γῆν φησίν· αὐτῷ τε εἰσάγει, ὡς ἂν οἰκείῳ καὶ πρωτογόνῳ αὐτοῦ Λόγῳ, κοινολογούμενον ἐπὶ τῆς τοῦ ἀνθρώπου δημιουργίας τὸν Θεὸν, ἐν οἷς γράφει, Καὶ εἶπεν ὁ Θεὸς, ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέ- b

14. *ἄλλοτέ φησιν* om. C.F.G. ult. *διασαφῆ* D.
p. 322. *καὶ θεὸς—θεὸν* om. B. 3. *οὐδὲν*] *οὐδὲ ἓν* E.F.G. 8. *τὸν θεὸν* om. B.C.F.G. h. l. sed add. post *φησίν*. 9. *πρωτογόνῳ*] *προγόνῳ* B.C.D.F.G.

majore altero missum, hominum omnium in cognitionem venisse, ita
Ps. 106, 20. prædicat, *Misit Verbum suum, et sanavit eos, et eripuit eos de interitionibus eorum.* Itemque alibi,
Ps. 147, 4. *Velociter currit Verbum ejus.* Quo factum est, ut evangelica quoque doctrina propheticam illam instaurans, patriamque sententiam, idem theologiæ genus hunc in modum
Joan. 1, 1. illustrarit, *In principio erat Verbum, et Verbum erat apud Deum, et Deus erat Verbum. Hoc erat in principio apud Deum: omnia per ipsum facta sunt, et sine ipso factum est nihil, quod factum est. In ipso vita erat, et vita erat lux hominum.* Itaque sane jure Moses ille sapientissimus, eodem afflatus spiritu cum esset, ipso statim ejus quam describit mundi molitionis initio, Deum asseverat in eodem illo principio cœlum terramque fecisse: quocum etiam, veluti cum suo ipsius ac primogenito Verbo, de hominis procreatione collo-
Gen. 1, 26. quentem Deum inducit, his verbis, *Dixitque Deus, Faciamus hominem*

11 ραν, καὶ καθ' ὁμοίωσιν. Τοῦτο δὲ καὶ ὁ ψαλμῳδὸς
ᾐνίττετο, ὁπηνίκα περὶ τοῦ πρώτου αἰτίου διεξιὼν, Αὐ-
τὸς, φησὶν, εἶπε, καὶ ἐγεννήθησαν· αὐτὸς ἐνετείλατο, καὶ
ἐκτίσθησαν· ἄντικρυς τὴν τοῦ πρώτου πρὸς τὸ δεύτε-
ρον αἴτιον, ὡς ἂν πατρὸς πρὸς υἱὸν, διάταξίν τε καὶ
[190] παρακέλευσιν ὑφιστάμενος. Πάντη γὰρ δήπουθεν δῆ-
λον, ὡς πᾶς ὁ λέγων τι ἑτέρῳ λέγει, καὶ ὁ ἐντελλόμενος
12 ἑτέρῳ παρ' ἑαυτὸν ἐντέλλεται. Διαρρήδην δ' αὖ πάλιν ὁ c
Μωσῆς ἄμφω δυοῖν μνημονεύων Κυρίων, Πατρὸς δηλαδὴ
καὶ Υἱοῦ, ὧδέ πῃ ἐπὶ τῆς κατὰ τῶν ἀσεβῶν τιμωρίας
ἱστορεῖ, λέγων, Καὶ ἔβρεξε Κύριος παρὰ Κυρίου ἐπὶ Σόδο-
13 μα καὶ Γόμορρα θεῖον καὶ πῦρ. Οἷς συμφώνως καὶ ὁ
Δαβὶδ ψάλλων ἔφησεν, Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου,
κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον
τῶν ποδῶν σου. Καὶ προϊὼν, τὴν κρύφιον καὶ τοῖς πᾶ-

b 4. πρώτου αἰτίου διεξιὼν αὐτός φησιν εἶπε] πρώτου εἰσάγει φάσκων· εἶπε B. αἰτίου εἰσάγει φάσκον εἶπε C. εἰσάγει φάσκων om. φησιν D.F.G. Mox ἐγενη. B. 7. πρὸς πατρὸς δι' υἱὸν D. 9. δήπουθεν om. B.C. D.F.G. 11. παρ' ἑαυτὸν om. B.C.F.G. Mox αὖ πάλιν Μωσῆς B.C.F.G. αὖ πάλιν D.I. πάλιν om. edd. Mox μνημονων I. c 2. ἐπὶ τῆς] ἐκ τῆς F.G. 5. συμφώνως] συμφωνεῖ B.D.F.G.S.V. 6. ὁ δαβὶδ] ὁ om. B.C.D.F.G.V. qui mox λέγων εἶπεν pro ψάλλων ἔφησεν, εἶπεν. In S. item λέγων. 7. ἕως—ποδῶν σου om. B.C.F.G. 9. κρύφιον—πᾶσιν om. B.C.F.G.

11 *ad imaginem et similitudinem nostram.* Quod ipsum adumbravit
Psalmista, ubi de primo principio loquens, *Ipse dixit,* inquit, *et facta* Ps. 32, 9.
sunt: ipse mandavit, et creata sunt. Quo profecto loquendi genere,
edictum illud mandatumque significat, quo primum principium cum
secundo, veluti Pater cum Filio agere voluerit. Nemo enim omnium
est, qui non intelligat, quisquis aliquid loquatur, eum cum altero
loqui: quisquis item quid præcipiat, id ipsum alteri abs sese distincto
12 præcipere. At perspicue omnino, duorum nominatim Dominorum,
Patris, inquam, et Filii, Moses idem alibi meminit, cum impiorum
supplicium commemorans, *Pluit,* inquit, *Dominus a Domino super* Gen. 19,
13 *Sodomam et Gomorrham sulphur et ignem.* Quibus consentanea 24.
David accinens, *Dixit Dominus,* inquit, *Domino meo, sede a dextris* Ps. 109,
meis, donec ponam inimicos tuos scabellum pedum tuorum. Tum pro- 1.

σιν ἀπόρρητον αὐτοῦ γενεσιουργίαν ᾐνίξατο, φάσκων,
14 Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε. Ἵνα δὲ μὴ σο- d
φίζεσθαί με ταῦτα νομίσῃς, ἑρμηνέα σοι τῆς ἐν τῇ
γραφῇ διανοίας Ἑβραῖον ἄνδρα παραστήσω, τὰ οἰκεῖα
πατρόθεν ἀκριβοῦντα καὶ παρὰ διδασκάλων τὸ δόγμα
μεμαθηκότα, εἰ δή σοι τοιοῦτος ὁ Φίλων. Ἐπάκουσον
οὖν καὶ τοῦδε, ὅπως τὰς θείας ἑρμηνεύει φωνάς·

ΦΙΛΩΝΟΣ Διὰ τί ὡς περὶ ἑτέρου Θεοῦ φησὶ τὸ ἐν εἰκόνι Θεοῦ ἐποίησα
τὸν ἄνθρωπον, ἀλλ' οὐχὶ τῇ ἑαυτοῦ; Παγκαλῶς καὶ σοφῶς p. 323
13 τουτὶ κεχρησμῴδηται. Θνητὸν γὰρ οὐδὲν ἀπεικονισθῆναι
πρὸς τὸν ἀνωτάτω καὶ Πατέρα τῶν ὅλων ἐδύνατο, ἀλλὰ πρὸς
2 τὸν δεύτερον Θεὸν, ὅς ἐστιν ἐκείνου Λόγος. Ἔδει γὰρ τὸν
λογικὸν ἐν ἀνθρώπου ψυχῇ τύπον ὑπὸ θείου Λόγου χα-
ραχθῆναι, ἐπειδὴ ὁ πρὸ τοῦ Λόγου Θεὸς κρείσσων ἐστὶν ἢ
πᾶσα λογικὴ φύσις· τῷ δὲ ὑπὲρ τὸν Λόγον ἐν τῇ βελτίστῃ

c 11. φάσκων] φὰς B.C.F.G. σφᾶς D. d. ἵνα δὲ] δὲ om. E. 2. σοι τῆς] σοι om. B.C.F.G. h. l. sed add. post διανοίας, et sic ni fallor D. 4. καὶ παρὰ—μεμαθηκότα om. B.C.F.G. 6. ἐπάκουσον] ἄκουσον B. C.D.F.G.

p. 323. 4. θεὸν om. C.F.G. 5. λογικὸν] λογισμὸν E. qui mox θευῦ, et sic I. 7. κρείσσων] κρεῖσσον B. 8. ἐν τῇ] ἐν om. I.

gressus ulterius, et reconditam illam ac nullis cujusquam verbis ex-
Ib. 4. plicandam generationis illius rationem subindicans, *Ex utero*, inquit,
14 *ante luciferum genui te.* Verum, ne argutari me putes, Hebræum
tibi hominem producam, harum literarum sensa resignantem, qui
cum res suæ gentis a majoribus acceptas accurate ac diligenter ex-
pendit, tum hujusce dogmatis rationem ex doctoribus ipsis intellexit,
Fragm. ed.Mang. T. II. p. 625. si tamen ita de Philone persuasum habes. Audi ergo, quemadmodum
ipse similia divinæ scripturæ loca accipiat :

Cur, inquit, perinde ac si de alio Deo loqueretur, ad imaginem Dei
factum abs sese hominem esse ait, non autem ad suam? Id vero præclare
13 omnino atque sapienter divino celebratur oraculo. Prorsus enim mortale
nihil erat, quod summi illius ac rerum universarum Parentis imagine con-
signari posset, erat tamen quod secundi Dei, hoc est ejusdem Verbi,
2 posset. Oportebat enim, hominis animo characterem illum rationis a
divina ratione informari, cum et Deus ille Verbo seu ratione prior, na-
turam omnem ratione præditam infinito superet intervallo : nec fas omnino
quidquam esset, quod ortum habuisset, ad Numinis illius et Verbo supe-

καί τινι ἐξαιρέτῳ καθεστῶτι ἰδέᾳ οὐδὲν θέμις ἦν γεννητὸν ἐξομοιοῦσθαι. ΦΙΛΩΝΟΣ

3 Ταῦτα ἐκ τοῦ πρώτου μοι κείσθω τῶν Φίλωνος Ζητημάτων καὶ Λύσεων. Ὁ δ' αὐτὸς ἐν τῷ Περὶ Γεωργίας προτέρῳ καὶ υἱὸν Θεοῦ τὸν πρωτόγονον αὐτοῦ b Λόγον τοῦτον ὀνομάζει τὸν τρόπον·

Ταῦτα δὴ πάντα ὁ ποιμὴν καὶ βασιλεὺς Θεὸς ἄγει κατὰ δίκην, νόμον προστησάμενος τὸν ὀρθὸν αὐτοῦ Λόγον καὶ πρωτόγονον υἱὸν, ὃς τὴν ἐπιμέλειαν τῆς ἱερᾶς ταύτης ἀγέλης, οἷά τις μεγάλου βασιλέως ὕπαρχος, διαδέξεται.

4 Καὶ ἐν τῷ δευτέρῳ δὲ πάλιν ὁ αὐτὸς τάδε γράφει πρὸς λέξιν,

Τὰς δυστροπίας οὖν εἴ τις ἀποδιδράσκειν βούλεται τὰς ἐν τοῖς διαπορηθεῖσι, λεγέτω μετὰ παρρησίας, ὅτι οὐδὲν τῶν ἐνύλων κραταιὸν οὕτως, ὡς τὸν κόσμον ἀχθοφορεῖν ἰσχῦσαι. c

a 10. γεννητὸν ἐξομοιοῦσθαι] γενητὸν ἐξομοιωθῆναι B.C.D.F.G. 11. ἐκκείσθω κεισθω D. b. Θεοῦ τὸν] τὸν om. F. 3. δὴ] δὲ B. 4. νόμον] καὶ νόμον Phil. qui om. καὶ ante πρωτόγ. 7. καὶ ἐν τῷ δευτ.—παρρησίας ὅτι om. B. 8. δὲ πάλιν] δὲ om. C.E.F.G. τάδε C.F.G. ponunt post λέξιν. 9. δυστροπίας] δυσωπίας I. Phil. et ms. apud Viger. Nihil enotatum ex E. 10. βούλεται] βούλοιτο Phil. 11. οὐδὲν] καὶ πάλιν οὐδὲν B. c. ἐνύλων] ἐν ὕλαις E.I. et sic Phil.

rioris, et in optimæ planeque singularis naturæ gradu constituti similitudinem aspirare.

3 Hæc breviter ex primo Philonis Quæstionum Solutionumque libro. Jam idem, priore De Agricultura, Dei Verbum ejus quoque primogenitum filium nominat, his verbis. T. I. p. 308.

Hæc, inquit, omnia pastor ille rexque Deus summa cum æquitate moderatur, quod iis suum ipsius Verbum, quo rectius nihil est, ac primogenitum filium præfecerit, qui sacri hujus gregis curam, non secus ac summi imperatoris legatus susciperet.

4 In posteriore vero, sic ad verbum.

Quisquis, inquit, eo se liberum pudore volet, qui dubitationem vulgo consequitur, is libere palamque pronuntiet, nihil eorum quæ in materiam immersa sint, ad sustinendam orbis molem satis habere virium: at sempi- T. I. p. 330.

ΦΙΛΩ-ΝΟΣ

Λόγος δ' ὁ ἀΐδιος Θεοῦ τοῦ αἰωνίου τὸ ὀχυρώτατον καὶ βε-
5 βαιότατον ἔρεισμα τῶν ὅλων ἐστίν. Οὗτος ἀπὸ τῶν μέσων
ἐπὶ τὰ πέρατα καὶ ἀπὸ τῶν ἄκρων ἐπὶ τὰ μέσα ταθεὶς,
δολιχεύει τὸν φύσεως ἀήττητον δρόμον, συνάγων τὰ μέρη
πάντα καὶ σφίγγων. Δεσμὸν γὰρ αὐτὸν ἄρρηκτον τοῦ
6 παντὸς ὁ γεννήσας ἐποίει Πατήρ. Εἰκότως οὖν οὐδὲ γῆ
πᾶσα διαλυθήσεται πρὸς παντὸς ὕδατος, ὅπερ αὐτῆς οἱ κόλ-
ποι κεχωρήκασιν, οὐδ' ὑπὸ ἀέρος σβεσθήσεται πῦρ, οὐδ' d
ἔμπαλιν ὑπὸ πυρὸς ἀὴρ ἀναφλεχθήσεται, τοῦ θείου Λόγου
μεθόριον τάττοντος αὐτὸν φωνῆεν στοιχείων ἀφώνων, ἵνα τὸ
ὅλον ὥσπερ ἐπὶ τῆς ἐγγράμμου μουσικῆς συνηχήσῃ, τὰς τῶν
ἐναντίων ἀπειλὰς πειθοῖ τῇ συνόδῳ μεσιτεύοντός τε καὶ
διαιτῶντος.

7 Ταῦτα ὁ Φίλων. Καὶ Ἀριστόβουλος δὲ ἄλλος Ἑ-
βραίων σοφὸς ἀνὴρ, κατὰ τὴν τῶν Πτολεμαίων ἀκμά-
σας ἡγεμονίαν, κυροῖ τὸ δόγμα ὡς πάτριον, αὐτῷ Πτο-
λεμαίῳ τὴν τῶν ἱερῶν νόμων προσφωνῶν ἑρμηνείαν, ἐν
ᾗ τάδε φησί·

c 2. θεοῦ] θεὸς B. νόμος Phil. pro Λόγος. 6. δολιχεύει] δουλεύει C. 7. συσφίγγων] σφίγγων B.C.F.G.I. Phil. ἄρρητον] ἄρρηκτον B.C.D.F.G.I. Phil. d. τὸ πῦρ D. 3. λόγου] νόμου Phil. qui mox καθάπερ φωνήεντα στ. 4. τὸ ὅλον] τὸν ὅλον F.G. 6. συνοδῷ I. 8. δὲ ἄλλος ἑβρ.] καὶ (δὲ G.) ὁ Ἑβραῖος ἄλλος οὗτος σοφὸς κατὰ τὴν B.C.D.F.G. ὁ Ἑβ. οὗτος ἄλλος S.V.

ternum illud æterni Dei Verbum, longe potentissimum ac firmissimum
5 esse columen universi. Hoc enim illud est, cujus arbitrio dum a mediis
ad extrema, simulque a summis ad media pertinet, constitutus ac perpetuus naturæ cursus peragitur. Partes enim omnes inter sese consociat
atque constringit, quod illud Pater, a quo genitum est, firmissimum quod-
6 dam totius universi vinculum esse voluerit. Mirum ergo nihil est, si neque terrarum moles, aquarum tanta vi, sinus earum interiores permeante, nunquam dissolvetur, nec ab aëre extinguetur ignis, nec aër contra igne conflagrabit, cum divinum illud Verbum, quod sese muta inter elementa, quasi vocale quoddam medium constituit; ut tanquam in musica suis instructa digestaque notis, aptus et suavis totius universi concentus existeret, contrariorum minas amica quadam conjunctione leniendas moderandasque susceperit.

7 Hæc Philo. Aristobulus quoque, alius item eruditus Hebræorum scriptor, qui Ptolemæorum imperio floruit, eandem sententiam genti defendit vendicatque suæ, Ptolemæo ipsi divinarum interpretationem literarum inscribens, ubi hæc inter cætera.

14 Μεταφέροιτο δ' ἂν τὸ αὐτὸ καὶ ἐπὶ τῆς σοφίας· τὸ γὰρ p. 324
[191] πᾶν φῶς ἐστὶν ἐξ αὐτῆς. Διὸ καί τινες εἰρήκασι τῶν ἐκ τῆς ΑΡΙΣΤΟΒΟΥΛΟΥ
αἱρέσεως ὄντες τοῦ Περιπάτου λαμπτῆρος αὐτὴν ἔχειν τάξιν. Ἀκολουθοῦντες γὰρ αὐτῇ συνεχῶς, ἀτάραχοι καταστήσονται δι' ὅλου τοῦ βίου. Σαφέστερον δὲ καὶ κάλλιον τῶν ἡμετέ- b
ρων προγόνων τις εἶπε Σολομῶν, πρὸ οὐρανοῦ καὶ γῆς αὐτὴν ὑπάρχειν. Τόδε σύμφωνόν ἐστιν τῷ προειρημένῳ.

2 Ταῦτα μὲν οὖν καὶ τὰ τοιαῦτα περὶ τοῦδε καὶ παῖδες Ἑβραίων πεφιλοσοφήκασιν. Ἆρ' οὖν οὐχ οὗτος λόγων εἴη ἂν ὁ θεοπρεπέστατος, δυνάμει Θεοῦ λογικῇ καὶ πανσόφῳ, μᾶλλον δὲ αὐτῇ σοφίᾳ καὶ αὐτῷ Θεοῦ Λόγῳ, τὴν ἀρχὴν ἀνατιθεὶς τῆς τοῦ παντὸς συστάσεως, ἢ τοῖς ἀψύ-
3 χοις καὶ ἀλόγοις στοιχείοις; Ἀλλὰ γὰρ τοιαῦτα παρ' c
Ἑβραίοις καὶ τὰ περὶ τῆς τῶν ὅλων ἀρχῆς. Σκεψώμεθα δὲ καὶ ἃ περὶ τῆς τῶν λογικῶν συστάσεως, τῶν μετὰ τὴν πρώτην ἀρχήν, ἐκδιδάσκουσι.

p. 324. 6. ἐκ τοῦ] ἐκ om. C.D.G. τῆς ante ἐκ inserendum vult Toupius. 8. αὐτὴν] αὐτῇ B.C.D.F.G.I. Vigeri marg. b 5. ταῦτα μὲν] ταῦτα καὶ περὶ B.C.F.G. Mox καὶ post τοῦδε om. B.F.G. 7. εἴη ἂν] ἂν εἴη C.D.F.G. Mox λογικῇ om. C. ubi λογικῷ F. c 2. τὰ περὶ] τὰ om. F.G.

14 Quanquam, inquit, in sapientiam transferri hoc quoque possit, cum ex ea lux universa prodierit. Itaque ex Peripateticorum schola nonnulli, facis eam instar esse voluerunt, quod qui ejus ductum constanter sequuti erunt, ii toto vitæ suæ tempore ab omni perturbatione vacui sint futuri. Verum id clarius simul ac melius Salomon e majoribus nostris unus expressit, cum eam cœli terræque molitione priorem esse diceret; quod ipsum tamen cum illo Peripateticorum dicto convenit.

2 Atque hunc in modum ipsi quoque Hebræi de Verbo divino philosophati sunt. Quis autem non agnoscat, hoc loquendi genus Divinam Majestatem in primis decere, quo intelligenti ac sapientissimo illius Numini, vel, ut melius dicam, ipsimet ejus sapientiæ atque rationi potius, quam inanimis quibusdam et ratione carentibus ele-
3 mentis, universi principium molitioque tribuatur? At de rerum principio ex Hebræorum sensu doctrinaque satis. Jam quid ipsi præterea de creaturarum ratione præditarum, secundum prima illa mundi nascentis initia, productione senserint, deinceps videamus.

15 Μετὰ τὴν ἄναρχον καὶ ἀγέννητον τοῦ Θεοῦ παμβα-
σιλέως οὐσίαν, τὴν οὐκ ἄλλοθεν ἢ ἐκ τοῦ Πατρὸς γεγεν-
νημένην ἀρχήν, πρωτότοκόν τε οὖσαν καὶ συνεργὸν d
τῆς τοῦ Πατρὸς βουλῆς, πρὸς αὐτόν τε ἀπεικονισμένην
2 διδάσκουσι. Ταύτην δὲ τῶν μετὰ ταῦτα γενητῶν
ἁπάντων πρωτεύειν, παρ' ὃ καὶ εἰκόνα Θεοῦ αὐτήν, καὶ
Θεοῦ δύναμιν, καὶ Θεοῦ σοφίαν, καὶ Θεοῦ Λόγον, ναὶ
μὴν καὶ ἀρχιστράτηγον δυνάμεως Κυρίου, μεγάλης τε
3 βουλῆς Ἄγγελον ἀποκαλεῖν εἰώθασι. Τὰς δὲ μετὰ
τήνδε τὴν ἀρχὴν νοερὰς καὶ λογικὰς δυνάμεις οὐ λεκτὰς
εἶναι ἀνθρώπου φύσει, τοῦ τε πλήθους ἕνεκα τῆς τε κατ'
εἶδος διαφορᾶς, πλὴν ὅσον ἐπιβάλλειν δυνατὸν τοῖς πα- p. 325
ραδείγμασιν ἐκ τῆς τῶν ὁρωμένων ἀναλογίας, ἡλίου
καὶ σελήνης καὶ ἄστρων καὶ αὐτοῦ δὴ οὐρανοῦ ἔνδον
4 ὑφ' ἑαυτῷ τὰ σύμπαντα περιειληφότος. Ἄλλη γὰρ
δόξα ἡλίου, καὶ ἄλλη δόξα σελήνης, καὶ ἄλλη δόξα ἀστέρων,

c 8. ἀγέννητον] ἀγένητον B.C.F. qui mox add. τοῦ ante παμβ. et sic D.G. Infra γεγενημένων B.C. et post γενητῶν. 9. τοῦ θεοῦ] τοῦ om. I. d 9. τὰς δὲ] τὰ δὲ F.G.

325. 3. δὴ] δὲ C. 4. γὰρ] μὲν B. μὲν γὰρ C.D.F.G. 5. δόξα ante σελήνης om. B.C.F.G.I. ante ἀστέρων om. B.F.G.

15 Ergo post illam, cujus nec principium nec ortus ullus est, Dei præpotentis essentiam, principium illud statuunt, quod non aliunde, quam ex ipso Patre genitum, adeoque primogenitum sit, quodque paterni consilii ac voluntatis adjutor, integram atque perfectam ipsius
2 imaginem referat. Hoc porro longe multumque rebus, quæ satæ postea sunt omnibus, antecellere: quam ob rem illud modo Dei imaginem, modo Dei potentiam, modo Dei sapientiam, modo Dei Verbum, imo et summum Domini exercitus imperatorem, et magni
3 consilii angelum appellare solent. Jam, quæ principium illud consequantur spiritales intelligentesque naturas, vel ob earum multitudinem, vel ob formæ varium multiplexque discrimen, humanam orationem assequi non posse, nisi quantum exemplis quibusdam augurari et conjicere licet, ex eorum quæ videntur, hoc est, solis, lunæ, siderum, ipsiusque cœli, quod ambitu suo cuncta complectitur, ana-
1 Cor. 15, 41. 4 logia et comparatione depromptis. *Alia enim est claritas solis, alia lunæ, alia stellarum,* inquit divinus apostolus, *stella enim a stella*

φησὶ ὁ θεῖος ἀπόστολος, ἀστέρα γὰρ ἀστέρος διαφέρειν ἐν
5 δόξῃ. Ταύτῃ πῃ τοιγαροῦν καὶ τὸν ἐν ἀσωμάτοις καὶ νοε-
ραῖς οὐσίαις κόσμον χρὴ νοεῖν, τὰ πάντα μὲν ἀθρόως ἀπο-
λαβούσης τῆς ἀνεκφράστου καὶ ἀπειρομεγέθους δυνάμεως
τοῦ Θεοῦ τῶν ὅλων, δευτερευούσης δὲ μετὰ τὸν Πατέρα
τῆς δημιουργικῆς ὁμοῦ καὶ φωτιστικῆς δυνάμεως τοῦ b
θείου Λόγου. Διὸ καὶ φῶς ἀληθινὸν καὶ δικαιοσύνης
6 ἥλιον Ἑβραίοις φίλον αὐτὸν ὀνομάζειν. Τρίτης δὲ ἤδη
μετὰ τὴν δευτέραν οὐσίαν ἐν χώρᾳ σελήνης καθιστα-
μένης τοῦ ἁγίου Πνεύματος, ὃ καὶ αὐτὸ ἐν τῇ πρώτῃ καὶ
βασιλικῇ τῆς τῶν ὅλων ἀρχῆς ἀξίᾳ καὶ τιμῇ καταλέ-
γουσιν, εἰς ἀρχὴν τῶν μετὰ ταῦτα γενητῶν, λέγω δὲ τῶν
ὑποβεβηκότων καὶ τῆς παρ' αὐτοῦ χορηγίας ἐπιδεομένων,
καὶ αὐτοῦ πρὸς τοῦ τῶν ὅλων ποιητοῦ κατατεταγμέ- c
7 νου. Ἀλλὰ τοῦτο μέν, τρίτην ἐπέχον τὴν τάξιν, τοῖς
ὑποβεβηκόσι τῶν ἐν αὐτῷ κρειττόνων δυνάμεων ἐπιχο-

a 7. ταύτῃ—τῶν ὅλων om. B. 8. κόσμον] κόσμου C. 9. ἀπο-λαυούσης D. 11. δευτερούσης] δευτερευούσης I. et sic Toupius. Vid. infra c 6. b 3. τρίτης] τρίτος B. 4. καθεσταμένης I. 6. τῆς om. D. c. κατατεταγμένου—οὐκ ἐφικτὸν om. B. 2. ἐπέχον] ἔχον E.I. τὴν τάξιν] τὴν om. C.D.F.G.

5 *differt in gloria.* Nobis igitur simili utcunque modo de incorporearum illarum intelligentiumque naturarum ordine sentiendum : ut vis illa quidem immensa Dei præpotentis, omnique oratione major, confertim ac simul universa comprehendat : tum Patrem consequatur Verbi divini potentia, quæ reliqua pariter et moliatur et illustret, quem ob caussam lux vera, et justitiæ sol ab Hebræis nominari con-
6 sueverit. Deinde post secundam illam naturam, lunæ quasi loco, sancti Spiritus natura succedat, quem ipsi quoque in principe illa regiaque hujus universitatis principii dignitate graduque constituunt, quod illum etiam rerum earum, quæ natæ postea sunt, hoc est, quæ inferiorem in ordinem classemque conjectæ, ipsius ope ac benignitate indigeant, principium summus rerum architectus omnium esse volu-
7 erit. Porro sic ille tertium locum obtinens, diviniorum quibus abundat facultatum atque virtutum rebus humilioribus copiam facit,

ρηγεῖ, οὐ μὴν ἀλλὰ καὶ ἀντιλαμβάνει παρ' ἑτέρου [τοῦ, ἢ παρὰ Θεοῦ Λόγου,] τοῦ δὴ καὶ ἀνωτέρω καὶ κρείττονος, ὃν δὴ δευτερεύειν ἔφαμεν τῆς ἀνωτάτω καὶ ἀγεννήτου φύσεως Θεοῦ τοῦ παμβασιλέως· παρ' οὗ δὴ καὶ αὐτὸς ἐπιχορηγούμενος ὁ Θεὸς Λόγος, καὶ ὥσπερ ἐξ ἀενάου πηγῆς θεότητα ἀναβλυστανούσης ἀρυτόμενος, τοῖς πᾶσιν ὁμοῦ καὶ δὴ καὶ αὐτῷ τῷ ἁγίῳ Πνεύματι, μᾶλλον d ἁπάντων αὐτῷ προσεχεῖ καὶ ἐγγυτάτω ὄντι, ταῖς τε μετὰ τοῦτο νοεραῖς καὶ θείαις δυνάμεσιν ἀθρόως καὶ ἀνεπιφθόνως τῶν τοῦ οἰκείου φωτὸς μαρμαρυγῶν μεταδίδωσι.

8 Τὴν δὲ τῶν ὅλων ἀγένητον ἀρχήν, ἀγαθῶν ἁπάντων οὖσαν πηγήν, θεότητός τε καὶ ζωῆς ὁμοῦ καὶ φωτὸς καὶ [192] πάσης ἀρετῆς αἰτίαν, καὶ πρώτην γε οὖσαν τῶν πρώτων καὶ ἀρχῶν ἀρχήν, μᾶλλον δὲ καὶ ἀρχῆς καὶ πρώτου καὶ πάσης ῥητῆς τε καὶ καταληπτῆς ἐπινοίας ἐπέκεινα, τὰ μὲν πάντα ὅσα περ ἐν ἀρρήτοις δυνάμεσι περιείληφε τῷ

c 4. ἀλλὰ καὶ] ἀλλὰ om. C.D.F.G. Mox τοῦ om. D. Uncis inclusa expungenda censet Vigerus. 5. θεοῦ] τοῦ θεοῦ D.G. 7. ἀγενήτου F.G. 9. ἀενάου] ἀεννάου C.D.E.F.G. 10. ἀναβλυστανούσης] ἀναβλαστανούσης F.G. ἀρυτόμενος] ἀρυόμενος C.F.G. ἀρρύτομος E. d 2. ταῖς τε] τε om. C.F.G. 6. τε καὶ] τε om. C.F.G. et sic infra 10. F.

ut ipse vicissim ab altero quodam, hoc est a Deo Verbo, suas opes accipiat, quem paulo ante secundum a summa illa Dei præpotentis, ortuque carente natura posuimus. Is enim patris liberalitate dives, ex eoque tanquam ex jugi perennique fonte, unde scaturiat divinitas, hauriens, cum universis pariter ipsoque adeo Spiritu sancto, qui omnium maxime secum proximeque conjunctus est, cæterisque deinceps intelligentibus divinisque virtutibus, luminis sui radios affatim

8 prolixeque communicat. Enimvero, principium illud universi, ortu carens, fontemque bonorum omnium, divinitatis, vitæque simul ac luminis, et omnis omnino virtutis auctorem, primorum omnium primum, principiorumque principium, vel potius omnem principii, primique rationem, et quicquid seu verbis explicari, seu cogitatione comprehendi queat, infinite prætergressum, ea quidem omnia, quæ immenso virtutum suarum ac facultatum sinu complectitur, cum

πρώτῳ γεννήματι κοινωνεῖν μόνῳ, ὡς ἂν μόνως οἵῳ τε
χωρεῖν καὶ ἀποδέχεσθαι τὴν τοῖς ἄλλοις οὐκ ἐφικτὴν
9 οὐδὲ χωρητὴν τοῦ Πατρὸς τῶν ἀγαθῶν ἀφθονίαν. Τὰ
δ' ἐν μέρει τοῖς κατὰ μέρος ἀξίοις διὰ τῆς τοῦ δευτέρου p. 326
διακονίας τε καὶ μεσιτείας κατὰ τὸ ἑκάστῳ ἐφικτὸν ἐμ-
παρέχειν· ὧν τὰ τέλεια, καὶ ἄκρως ἅγια, τῷ τρίτῳ μὲν
ἀφ' ἑαυτοῦ, ἄρχοντι δὲ καὶ ἡγουμένῳ τῶν μετέπειτα, διὰ
τοῦ Υἱοῦ τὰ παρὰ τοῦ Πατρὸς ἐπικομιζομένῳ, δεδωρῆσθαι.
10 Ἔνθεν οἱ πάντες Ἑβραίων θεολόγοι, μετὰ τὸν ἐπὶ πάν-
των Θεὸν, καὶ μετὰ τὴν πρωτότοκον αὐτοῦ Σοφίαν, τὴν
τρίτην καὶ ἁγίαν Δύναμιν, ἅγιον Πνεῦμα προσειπόντες,
ἀποθειάζουσιν, ὑφ' οὗ καὶ ἐφωτίζοντο θεοφορούμενοι.
11 Ἑξῆς δὲ οὐρανῷ, καὶ ἡλίῳ, καὶ σελήνῃ, ἀστέρα φασὶν
ἀστέρος διαφέρειν ἐν δόξῃ. Θνητῇ μὲν οὖν φύσει οὐκ b
ἔστιν ἀριθμὸν ἄστρων δυνατὸν εὑρεῖν, πλὴν ἀλλὰ τὸν

d 13. κοινωνεῖν ni fallor om. C. κοιν. μόνον ὡς ἂν μόνῳ οἷα, (οἵω G.) τε F.G. μόνως οἵῳ] μόνῳ οἷα C. μόνον D.S.V.

p. 326. 2. ὧν τὰ] τὰ om. B. 5. περὶ] παρὰ I. 7. μετὰ τὸν] μετὰ τὸν τῶν E.I. Mox τὴν om. I. 10. ὑφ' οὗ] ἐφ' οὗ C.F.G. Mox ἑξῆς—καλῶν om. B. b. φύσει] φήσει C. φησὶν D. 2. δυνατὸν om. C.D.F.G.

primo tantum fœtu communicare, quod is solus eam, quæ reliquorum
omnium vim captumque superat, paternorum bonorum abundantiam
9 capere ac sustinere possit. At vero naturis aliis singularibus, pro
sua cujusque dignitate, proque eo ac ferre singulæ possunt, singu-
lares etiam distinctasque particulas, secundi principii tanquam inter-
pretis ac sequestris opera dividere : sic tamen, ut quæ numeris om-
nibus absoluta, summaque sanctitate prædita sunt, ea tantum illi qui
tertius ab ipso numeratur, quique sequentium item naturarum dux et
principium est, Filii sui paternorum bonorum dispensatoris manibus
10 largiatur. Ita cuncti Hebræorum theologi, secundum præpotentis
Dei, rerumque omnium moderatoris Numen, ac primogenitam illius
Sapientiam, tertiam hanc sanctamque virtutem, quem sanctum illi
Spiritum nominant, quique divinitus afflatos olim prophetas collu-
11 strabat, Deum esse confitentur. Jam post cœlum illud, solem, atque
lunam, stellas inter dignitas et gloriæ discrimina statuunt. Et
quamvis certum astrorum numerum assequi mortalis natura non
possit : Deo tamen summo rerum omnium Domino militiæ cœli uni-

παμβασιλέα Θεὸν τὰ Ἑβραίων φασὶ λόγια καὶ τῆς κατ'
οὐρανὸν στρατιᾶς τὰ πλήθη καὶ τὰς προσηγορίας μὴ
ἀγνοεῖν. Διὸ παρ' αὐτοῖς λέγεσθαι, Ὁ ἀριθμῶν πλήθη
12 ἄστρων, καὶ πᾶσιν αὐτοῖς ὀνόματα καλῶν. Οὕτω δὴ
μετὰ τὰ πρῶτα τῶν ἐν ἀσωμάτοις δυνάμεσιν ἐπινοουμέ-
νων ἄστρων, φωτὸς νοεροῦ δυνάμει τε καὶ οὐσίᾳ διαπρε-
πόντων, πολλή τις καὶ ἡμῖν ἀπερινόητος διαφορὰ τυγ-
χάνει, ἀναρίθμητά τε φῦλα καὶ γένη, ἀλλ' οὐ καὶ τῷ c
13 τῶν ὅλων ποιητῇ. Διὸ καὶ τὸ καταληπτὸν αὐτῶν μόνῳ
τῷ Θεῷ παριστάς τις θεολόγων φησὶ, Μύριαι μυριάδες
ἐλειτούργουν αὐτῷ, καὶ χίλιαι χιλιάδες παρειστήκεισαν
ἔμπροσθεν αὐτοῦ· διὰ μὲν τοῦ ἀριθμοῦ δηλῶν τὸ τῷ
Θεῷ καταληπτὸν αὐτῶν, διὰ δὲ τοῦ ποσοῦ, τὸ ἡμῖν
ἄπειρον· παρ' ὃ καὶ εἰώθαμεν ὀνομάζειν καθ' ὑπερβολῆς
14 ἔμφασιν τὰ πολλὰ καὶ ἄπειρα μυρία. Ἄλλος δέ τις
προφήτης περὶ τῆς οὐσίας αὐτῶν διεξιών, ὧδέ πως τὸν

b 7. οὕτω] οὕτως F.G. 8. δυνάμεσιν] δυνάμεων B. 9. τε καὶ] τε om. B.C.F.G. 11. ἀναρίθμητα] ἀνήριθμα E.I. c 2. τῷ Θεῷ] τῷ om. B.C.F.G. Tum παρίστησι θεολ. B. περίστας C. 6. αὐτῶν om. C.F.G. 10. ὧδέ πως] ὧδέ πῃ B.C.D F.G.

versæ multitudinem, et propriam cujusque sideris appellationem per-
spectam esse et cognitam Hebræorum testantur oracula, eoque de
Ps. 146, Deo sic loquuntur, *Qui numerat multitudinem stellarum, et omnibus iis*
4. 12 *nomina vocat.* Sic plane, secundum prima illa principia, eorum
deinceps, quæ in illa naturarum incorporearum multitudine cogitantur
astrorum, quæque spiritalis luminis virtute, et quadam naturæ com-
munione præstant, ingens quædam est, nostraque intelligendi vi
major differentia, innumerabiles item nationes, ac genera sunt: quæ
tamen omnium molitor conditorque Deus, numerata atque explorata
13 habeat universa. Quare ut perfectam integramque singulorum
Dan. 7, cognitionem uni Deo convenire theologorum aliquis indicaret, *Millia*
10. *millium,* inquit, *ministrabant ei, et decies millies centena millia assiste-*
bant ei. Dum enim ipse unum aliquem numerum assignat, rationes
singulorum omnes comprehensas Deum habere significat: dum vero
his multitudinem verbis adumbrat, nullo a nobis eam certo numero
definiri posse demonstrat. Nam quæ infinita sunt, ea quodam
loquendi modo qui excessum illum sonet, *millia* vulgo dicimus.
14 Alius item propheta, cum de ipsarum natura dissereret, universorum

ποιητὴν τῶν ἁπάντων θεολογεῖ, φάσκων, Κύριε ὁ Θεός d
μου, ὡς ἐμεγαλύνθης σφόδρα, ἐξομολόγησιν καὶ μεγαλοπρέπειαν ἐνεδύσω, ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον, ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέρριν· ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα.
15 Μή τοι νομίσῃς τοῦ παρ' ἡμῖν θνητοῦ καὶ γεώδους πυρὸς οὐσίας μετέχειν τὰ δηλούμενα, μηδέ γε τῶν ἐξ ἀλόγου φύσεως ἀέρος πνευμάτων· ἀλλ' οἷόν περ καὶ αὐτὸν ὀνομάζουσι τὸν Θεὸν, ἀσώματον μὲν, καὶ ἄϋλον, p. 327
καὶ αὐτόνουν, μᾶλλον δὲ ὑπὲρ νοῦν, καὶ ὑπὲρ πάντα λόγον ὄντα τὴν φύσιν, τροπικώτερον δὲ καὶ πνεῦμα, καὶ πῦρ, καὶ φῶς, καὶ ἄλλαις τισὶ προσηγορίαις θνηταῖς ἀκοαῖς καταλλήλοις ὀνομαζόμενον, ἀγγέλους δῆτα καὶ ἀρχαγγέλους, καὶ πνεύματα, καὶ θείας δυνάμεις, καὶ στρατιὰς οὐρανίους, ἀρχάς τε καὶ ἐξουσίας, καὶ θρόνους, καὶ κυριότητας, ὡς ἂν μυρίους ἐπὶ μυρίοις ἀστέρας τε

d. κύριε—ἐνεδύσω om. B.C.F.G. 3. ἀναβαλλ.] ὁ ἀναβ. B.C.F.G. 6. πυρὸς] πῦρ C.F.G. μή τοι νομίσῃς] καὶ οὐ B.C.F.G. καὶ οὐ τοῦ παρ' ἡμῖν φωτὸς θνητοῦ μετέχει D.S.V. In D. præterea super φῶτος scriptum γρ. πυρός. 7. καὶ γεώδους om. B.C.F.G. οὐσίας μετέχειν] μετέχει B.C.F.G. 10. οἷον] οἵων I.

p. 327. ἄϋλον] ἄλλον C.F.G. 2. πάντα] ὑπὲρ πάντα B.C.D.F.G.I. 3. τροπικώτερον—τῶν ὅλων om. B.

auctorem, uti theologum decet, ita compellat, *Domine*, inquit, *Deus meus, quam magnificatus es vehementer, confessionem et magnificentiam induisti, amictus lumine sicut vestimento: qui extendis cœlum sicut pellem; qui facis angelos tuos spiritus, et ministros tuos flammam* Ps. 103, 1.
15 *ignis.* Neque tamen existimes, naturas illas ex mortali hoc et terreno igne, aut ex ventis aëria et rationis experte substantia præditis esse conflatas. Sed quo modo Deum ipsum nuncupare solent, qui cum incorporeus, et ab omni secretus materia sit, ac mens per sese totus, imo vero mentem omnem atque rationem naturæ perfectione transiliat, metaphoricis tamen spiritus, ignis, lucis, atque aliis ejusmodi mortales in aures cadentibus nominibus appellatur. Ita plane angelos, archangelos, spiritus, divinas virtutes, cœlestes exercitus, principatus, thronos, dominationes, perinde atque infinita quædam seseque consequentia stellarum ac luminum genera, spiritales ac ra-

καὶ φωστῆρας, τὰς νοερὰς καὶ λογικὰς οὐσίας οἱ θεῖοι
λόγοι προσειπόντες, ἄρχειν ἁπάντων καὶ ἐπιστατεῖν τὸν b
τῆς δικαιοσύνης φασὶν ἥλιον, καὶ τὸ τούτου σύζυγον
16 ἅγιον Πνεῦμα. Τὰ δὲ πάντα ἀθρόως αὐτῷ Υἱῷ καὶ ἁγίῳ
Πνεύματι, νοερά τε ζῷα καὶ λογικὰ, σὺν καὶ τοῖς κατ'
οὐρανὸν φαινομένοις, οὐρανόν τε αὐτὸν, καὶ ὅσα ἔνδον
οὗτος ἐν αὐτῷ περιλαβὼν ἔχει, μόνῳ τῷ ἐπὶ πάντων
Θεῷ, τῷ διὰ πάντων καὶ ἐν πᾶσι παμβασιλεῖ, καὶ
πανηγεμόνι, καὶ αἰτίῳ τῶν ὅλων, ὡς ἂν δημιουργῷ πάν-
των ποιητῇ τε καὶ φροντιστῇ καὶ σωτῆρι, τὸν πρέ- c
ποντα ὕμνον καὶ τὴν προσήκουσαν θεολογίαν ἡ θεία
καὶ προφητικὴ γραφὴ νέμειν παρακελεύεται, φάσκουσα,
17 [193] Αἰνεῖτε τὸν Θεὸν ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψί-
στοις. Αἰνεῖτε αὐτὸν πάντες οἱ ἄγγελοι αὐτοῦ, αἰνεῖτε αὐτὸν
πᾶσαι αἱ δυνάμεις αὐτοῦ. Αἰνεῖτε αὐτὸν ἥλιος καὶ σελή-
νη, αἰνεῖτε αὐτὸν πάντα τὰ ἄστρα καὶ τὸ φῶς. Αἰνεῖτε

b 3. σ. καὶ ἅγιον D. 7. περιλαβὼν ἔχει] περιείληφε μόνω C.D.F.G. qui mox πάντων καὶ διὰ πάντων, et infra καὶ ἐν (ἐπὶ D.) πᾶσι θεῷ τῷ παμβ. In V. item περιείληφε. In S. παρείληφε. 11. ποιητῇ τε om. B.C.F.G. et infra καὶ σωτῆρι. c 2. θεία καὶ] καὶ om. F.G. 4. θεὸν] κύριον C.G. κυρὸν F. Mox αἰνεῖτε αὐτὸν ἐν τ. ὑ. om. C.F.G. 5. ἄγγελοι] οἱ ἄγγ. B.C.F.G. Tum αὐτοῦ—αὐτὸν om. B. 6. αὐτοῦ—αὐτὸν om. B.C.F.G. iidem mox om. αἰν. αὐτ. 7. αἰνεῖτε—παρελεύσεται om. B. In C.F.G. τὸ φῶς τά τε ὕδατα τὰ—οὐρανῶν καὶ τὰ ἑξῆς.

tionis compotes naturas, cum sacræ literæ nominant, tum vero cunctis justitiæ solem, ejusdemque geminum et consortem sanctum
16 illum Spiritum præesse atque imperare docent. Postremo simul universa cohortatur, ut cum eodem Filio sanctoque Spiritu, spiritales quoque et rationis præditæ animantes, quæcunque pariter in cœlo visuntur, ipsumque adeo cœlum, quæque ambitu suo comprehensa tenet omnia, præpotenti uni Deo, summoque rerum omnium regi ac principi, cunctorumque principio, tanquam molitori, architecto, moderatori ac servatori universorum convenientem hymnum, et promptum vera ex theologia carmen conjunctis vocibus modulentur: his verbis,
Ps. 148. 17 *Laudate Deum de cœlis, laudate eum in excelsis. Laudate eum omnes angeli ejus, laudate eum omnes virtutes ejus. Laudate eum sol et luna, laudate eum omnes stellæ et lumen. Laudate eum cœli cœlorum, et*

αὐτὸν οἱ οὐρανοὶ τῶν οὐρανῶν, καὶ τὰ ὕδατα τὰ ὑπεράνω τῶν οὐρανῶν αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου. Ὅτι αὐτὸς εἶπε, καὶ ἐγεννήθησαν, αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν. Ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, d *προστάγματα ἔθετο, καὶ οὐ παρελεύσεται.*

18 Τοιαῦτα καὶ τὰ παρὰ Ἑβραίων δόγματα, ἃ τῆς Ἑλλήνων πολυθέου καὶ δαιμονικῆς πλάνης προτετιμήκαμεν, θείας μὲν δυνάμεις ὑπηρετικὰς τοῦ παμβασιλέως Θεοῦ καὶ λειτουργικὰς εἰδότες, καὶ κατὰ τὸ προσῆκον τιμῶντες, μόνον δὲ Θεὸν ὁμολογοῦντες, καὶ μόνον ἐκεῖνον σέβοντες, ὃν καὶ αὐτὸς οὐρανὸς, καὶ τὰ κατ᾽ οὐρανὸν ἅπαντα, τά τε ἐπέκεινα οὐρανοῦ σέβειν καὶ ὑμνεῖν καὶ θεολογεῖν ἐδιδάχθη· ὅτι καὶ αὐτὸς ὁ μονογενὴς τοῦ Θεοῦ καὶ πρωτότοκος τῶν ὅλων ἡ πάντων ἀρχὴ τὸν αὐτοῦ Πατέρα μόνον ἡγεῖσθαι Θεὸν ἀληθῆ καὶ μόνον σέβειν ἡμῖν παρακελεύεται.

16 Ἕπεται καὶ περὶ τῆς ἐναντίας δυνάμεως τίνα ποτὲ τὰ p. 328

d. προστάγματα] πρόσταγμα I. 3. τῶν Ἑβραίων] τῶν om. B.C.D.F.G. 4. καὶ δαιμονικῆς om. B.C.F.G. 6. παμβασιλέως et καὶ λειτουργικὰς om. B.C.F.G. 8. ἐκεῖνον] τοῦτον B.C.D.F.G. 9. ὁ οὐρανὸς I. 11. καὶ ὑμ.] καὶ om. C.F.G. ult. ἀληθῆ] ἀληθινὸν C.F.G.

aquæ quæ super cœlos sunt, laudent nomen Domini. Quia ipse dixit, et facta sunt: ipse mandavit, et creata sunt. Statuit ea in æternum, et in sæculum sæculi: præceptum posuit, et non præteribit.

18 Hæc nos etiam Hebræorum dogmata suscepimus, eaque Græcorum errore, qui deorum multitudinem dæmonibus auctoribus invexerat, potiora duximus. Quippe, cum divinas quasdam ac Dei præpotentis famulas, administrasque virtutes agnoscamus, ac suum iis justumque honorem tribuamus; tum vero Deum illum fatemur unum, unumque veneramur, quem ipsum quoque cœlum, quæque vel cœlo continentur, vel supra cœlum versantur omnia, venerari, celebrare, Deum prædicare, testarique didicerunt: cum ipse quoque Dei unigenitus idem, et omnium primogenitus, rerumque principium universarum, uti Patrem suum et solum verum esse Deum agnoscamus, et solum colamus, sua nos oratione cohortetur.

16 Jam vero sequitur, ut quæ de virtute contraria Hebræorum literæ

Ἑβραίων λόγια παραδίδωσιν ἐπισκέψασθαι. Τὰς μὲν
οὖν θείας δυνάμεις, νεύματι τοῦ Πατρὸς τῷ σύμπαντι
ἐφεστώσας κόσμῳ, τά τε λειτουργικὰ πνεύματα εἰς δια-
κονίαν ἀποστελλόμενα, διὰ τοὺς μέλλοντας κληρονομεῖν
βασιλείαν, τούς τε ἱεροὺς ἀγγέλους τοῦ Θεοῦ καὶ ἀρχ- b
αγγέλους, πᾶσάν τε τὴν διάκονον τῶν ἀγαθῶν νοερὰν
οὐσίαν, φωτεινὴν οὖσαν, καὶ πάντων ὑπηρέτιν τῶν εἰς
ἀνθρώπους ἐκ Θεοῦ δωρουμένων ἀγαθῶν, τὸν παμβασι-
λέα πάντων δορυφορεῖν Θεὸν, κἄπειτα τῶν κατ' οὐρα-
νὸν δίκην ἄστρων, τὸν ἥλιον τῆς δικαιοσύνης, καὶ τὸ
σύζυγον αὐτῷ ἅγιον Πνεῦμα περιπολεῖν, τῆς τε τούτων
χορηγίας τοῦ φωτὸς ἀπολαύειν, διὸ καὶ φωστῆρσι τοῖς
2 κατ' οὐρανὸν εἰκότως παραβάλλεσθαι· τὴν δὲ ἐκ τού-
των παρατετραμμένην, καὶ τῆς τῶν κρειττόνων χορείας c
δι' οἰκείαν φαυλότητα στερομένην, σκότος τε ἀντὶ φω-
τὸς ἀλλαξαμένην, ἔμπαλιν ἢ τὰ πρῶτα, ταῖς ἁρμοττου-

p. 328. 7. ἐφεστώσας] ὑφεστ. C.G. 9. βασιλείαν] σωτηρίαν I. cum omnibus exempl. Nov. T. b 4. δωρουμένων] δεδωρημένων F.G. 5. δορυφορεῖν] δορυφορούμενον I. 6. κἄπειτα—ἀποκαλεῖν εἴωθεν om. B. 8. καὶ ἅγιον] καὶ om. C.E.F.G.I. 10. περιβάλλεσθαι] περιλαμβάνεσθαι E. c. δὲ D. 3. τὰ πρῶτα om. C. ἔμπαλιν ἢ τὰ πρῶτα om. D.F.G.

prodiderunt, cujusmodi sint videamus. Quemadmodum igitur divinas illas virtutes, quæ summi Patris numine orbi universo præsi-
Hebr. 1, 14. dent, adeoque *administratorios illos spiritus, in ministerium missos, propter eos, qui hæreditatem capient salutis,* itemque sacros Dei angelos atque archangelos, cunctam denique proborum administram spiritalemque naturam, quæ collucens ipsa per sese, operam quoque suam eorum omnium, quæ divinitus in homines derivantur, bonorum divisioni accommodat: primum quidem præpotentis rerum omnium imperatoris latera prætorianorum militum in morem cingere, tum perinde ac cœlestia quædam sidera, justitiæ solem, ejusque consortem sanctum Spiritum ambire, suam ab utroque lucem haurire, ac pro-
2 inde cum illis cœli facibus jure ac merito conferri docent. Sic alterum illud virtutum genus, quod transversum actum, a meliorum consortio sua sese culpa et improbitate distraxit, prioremque lucem cum tenebris commutavit, prioribus quidem contrariis, sed tamen

σαις τῇ τοῦ τρόπου μοχθηρίᾳ προσηγορίαις ὀνομάζει.

3 Τὸν γοῦν κατάρξαντα τῆς πτώσεως, αὐτῷ τε καὶ ἑτέροις τῆς τῶν κρειττόνων ἀποστασίας γενόμενον αἴτιον, ὡς ἂν διόλου χαμαὶ τῆς τῶν θειοτέρων εὐσεβείας ἐκπεπτωκότα, καὶ κακίας μὲν ἰοῦ καὶ δυσσεβείας αὐτὸν αὐτῷ δημιουργὸν ὑποστάντα, σκότους δὲ καὶ ἀλογίας ποιητὴν ἐκ τῆς τοῦ φωτὸς αὐθεκουσίου ἀναχωρήσεως γεγονότα, δράκοντα καὶ ὄφιν, μέλανά τε καὶ ἑρπυστικὸν, ἰοῦ θανα- d
τηφόρου γεννητικὸν, θῆρά τε ἄγριον, καὶ ἀνθρωποβόρον λέοντα, καὶ πάλιν τὸν ἐν ἑρπετοῖς βασιλίσκον ἀποκα-
4 λεῖν εἴωθεν. Ὑπόθεσιν δ' αὐτῷ φασὶν οἱ θεῖοι λόγοι γεγονέναι τῆς ἀποπτώσεως μανίαν φρενῶν καὶ διανοίας ἔκστασιν, ὧδέ πως ὁμοῦ τὴν πτῶσιν αὐτοῦ καὶ τὴν φρενοβλάβειαν διηγούμενοι· Πῶς ἐξέπεσεν ἐκ τοῦ οὐρανοῦ ὁ ἑωσφόρος, ὁ πρωῒ ἀνατέλλων; Συνετρίβη ἐπὶ τὴν γῆν, ὁ ἀποστέλλων πρὸς πάντα τὰ ἔθνη. Σὺ δὲ εἶπας ἐν τῇ δια-

c 6. αὐτῷ] αὐτῶν E. 7. ὡς ἂν—ἐκπεπτωκότα om. C.F.G. γινόμενον D. 9. ἰοῦ τε καὶ D.F.G. 11. ἐκ τῆς—ἀναχωρήσεως om. C. D.F.G. d. ἑρπυστικὸν] ἑρπηστικὸν I. 3. πάλιν om. C.F.G. 6. μανίαν φρενῶν] φρ. μαν. B.C.F.G. 7. ὁμοῦ τὴν πτῶσιν αὐτοῦ] τὴν πτῶσιν αὐτοῦ B.C. τὴν πτῶσιν ὁμοῦ D.F.G. 11. γῆν] τὴν γῆν B.C. D.F.G.I. πάντα] ἅπαντα B.C.F.G. ἐπὶ πάντα I.

cum nequitia morum apprime congruentibus nominibus appellant.
3 Et eum quidem, qui primus omnium lapsus cum esset, reliquos postmodum in eandem secum a melioribus defectionem traxerat, quod ab illa diviniorum pietate in terras omnino corruisset, ac partim ejus veneni, quo scelus impietasque scatet, auctor ipse sibi ac molitor fuisset, partim vecordia sese ac tenebris voluntarius lucis desertor involvisset, modo draconem atque serpentem, atrum illum ac repentem humi, lethalisque veneni parentem, modo sævam immanemque feram, adeoque leonem sanguine humano pastum, modo repti-
4 lium etiam omnium regulum nominare solent. Cæterum non aliam ejus tam funesti lapsus divina monimenta caussam habent, quam furorem quendam animi, mentisque vesaniam, dum ejusdem et casus gravitatem, et insaniæ magnitudinem ita prosequuntur. *Quomodo cecidit de cœlo lucifer, qui mane oriebatur? Allisus est in terram, qui mittebat ad omnes gentes. Tu autem dicebas in corde tuo, In cœlum* Isa. 14, 12.

νοίᾳ σου, Εἰς τὸν οὐρανὸν ἀναβήσομαι, ἐπάνω τῶν ἄστρων
τοῦ οὐρανοῦ θήσω τὸν θρόνον μου, ἔσομαι ὅμοιος τῷ ὑψίστῳ. p. 329
5 Καὶ πάλιν, Τάδε λέγει Κύριος, Ἀνθ' ὧν ὑψώθη ἡ καρδία
σου, καὶ εἶπας, Θεός εἰμι ἐγὼ, κατοικίαν Θεοῦ κατῴκηκα.
Καὶ αὖθις, Σὺ ἀποσφράγισμα ὁμοιώσεως, καὶ στέφανος
κάλλους, ἐν τῇ τρυφῇ τοῦ παραδείσου τοῦ Θεοῦ ἐγενήθης,
6 πάντα λίθον χρηστὸν ἐνδέδεσαι, καὶ τὰ ἑξῆς. Οἷς ἐπιλέ-
γει, Ἐν ὄρει ἁγίῳ Θεοῦ ἐγενήθης ἐν μέσῳ λίθων πυρίνων,
ἐγεννήθης ἄμωμος σὺ ἐν ταῖς ἡμέραις σου, ἀφ' ἧς ἡμέρας
[194] σὺ ἐκτίσθης, ἕως εὑρέθη τὰ ἀδικήματα ἐν σοί. Ὑψώθη ἡ b
καρδία σου ἐπὶ τῷ κάλλει σου, διεφθάρη ἡ ἐπιστήμη σου
μετὰ τοῦ κάλλους σου, διὰ πλῆθος ἁμαρτιῶν σου ἐπὶ τὴν
γῆν ἔρριψά σε.

7 Διὰ δὴ τούτων ἄντικρυς τὴν μετὰ τῶν θειοτέρων δυνάμεων προτέραν τοῦ δηλουμένου διατριβὴν, καὶ τὴν ἀπὸ τῶν κρειττόνων δι' οἰκείαν μεγαλαυχίαν καὶ θεομα-

ult. ἐπάνω τ. α. τ. ο. θήσω] καὶ θήσω ἐπάνω τοῦ ἀνθρω. B. τῶν ἄστρων om. C.F.G. θήσομαι D.

p. 329. ἔσομαι] καὶ ἔσομαι D. qui infra κατώκηκα, et sic F.G.I. 6. ἐγεννήθης] ἐγενήθης B.D.F.G.I. et inf. Mox ἁγίῳ om. I. πάντα —ἐγενήθης om. E. 7. τὰ ἑξῆς] τὰ om. B.C.F.G. b 2. κάλλους] κάλλους σου D.F.G.I. 4. διὰ δὴ—γέγονε om. B. ἄντικρυς om. C.F.G. 6. δι' οἰκείαν] διὰ μεγαλ. C.D.F.G. 7. καὶ θεομαχίαν om. C.D.F.G.

conscendam, super astra cœli exaltabo solium meum, similis ero altis-
Ezech. 28, 2. 12. 5 *simo.* Et rursus, *Hæc dicit Dominus, Pro eo quod exaltatum est cor tuum, et dixisti, Deus ego sum, in domicilio Dei habitavi.* Itemque, *Tu signaculum similitudinis, et corona pulchritudinis, in deliciis paradisi Dei natus es, omnem lapidem pretiosum indutus es.* Et reliqua.
6 Tum, *In monte sancto Dei natus es, in medio lapidum igneorum natus es. Tu integer in diebus tuis, ex die quo tu creatus es, donec inventæ sunt iniquitates in te, exaltatum est cor tuum, ob pulchritudinem tuam, corrupta est scientia tua cum pulchritudine; propter multitudinem peccatorum tuorum, in terram projeci te.*

7 Qua ex oratione plane intelligimus, eum quo de sermonem instituimus, cum divinioribus illis virtutibus antea societate conjunctum, postea communione fructuque meliorum, sua ipsius arrogantia atque

χίαν ἀπόπτωσιν μεμαθήκαμεν. Μυρίον δέ ἐστιν ἄλλο γένος ὑπὸ τούτῳ τοῖς παραπλησίοις ἔνοχον πλημμελήμασιν, ὃ τῆς δυσσεβείας χάριν τῆς τῶν εὐσεβῶν ἀποπεσὸν λήξεως, ἀντὶ τῆς πάλαι φωτοειδοῦς καὶ θειοτέρας c περιβολῆς τῆς τε ἐν τοῖς βασιλείοις τιμῆς καὶ τῆς ἐν μακαρίοις καὶ ἀγγελικοῖς χοροῖς διατριβῆς τὸν ἐφαρμόζοντα τοῖς δυσσεβέσι χῶρον, κρίσει δικαίᾳ καὶ ἀποφάσει τοῦ μεγάλου Θεοῦ, Τάρταρον οἰκεῖν, ὃν ἄβυσσον οἱ θεῖοι λόγοι προσαγορεύουσι, καὶ σκότος οὐ τὸ παρ' ἡμῖν, τὸ δ' ὑπὸ τῶν θείων λογίων δηλούμενον, ἀντικατηλλάξατο.
8 Ὧν βραχύ τι καὶ μικρὸν ἀπόσπασμα, γυμνασίου χάριν τῶν εὐσεβείας ἀθλητῶν, ἀμφὶ γῆν καὶ τὸν ὑπὸ σελήνην ἀέρα καταλειφθὲν, τῆς ἐν ἀνθρώποις πολυθέου πλάνης d κατ' οὐδὲν ἀθεότητος διαφερούσης συναίτιον γέγονε.
9 Τέθειται δὲ καὶ τούτοις ἡ θεία γραφὴ προσφυεῖς τὰς

b 8. *μυρίον*] *μυρίων* C. 9. *ἔνοχον*] *ἔνοχλον* F. 10. *εὐσεβείας* F. 11. *ἀποπεσὸν λήξ.*] *ἀποπεσὼν λεξ.* C.D. c. *καὶ θειοτέρας* om. C.F.G. qui mox om. *τιμῆς—μακαρίοις*. 3. *ἀγγ. χοροῖς*] *τοῖς ἀγγ. χωροῖς* C. *τοῖς ἀ.* F.G. 5. *καὶ ἀποφ.—θεοῦ* om. C.F.G. 6. *τάρταρον* etc.] *τὸν τάρταρον ὃν ἄβυσσον καλεῖ τὰ θεῖα λόγια οἰκεῖν κατεδικάσθη· ὧν βραχύ* C.D.F.G. 10. *εὐσεβείας*] *τῆς εὐσ.* C.F.G. d 2. *κατ' οὐδὲν*] *καὶ* C.D.F.G. Tum *θεότητος* D. *διαφερούσης* om. C.F.G. 3. *καὶ τούτοις—προσηγορίας*] *τούτοις ἡ θεία προσηγορία* B.

in Deum rebellione funditus excidisse. Præterea sub isto innumerabilis quædam aliorum et infinita natio est, similium criminum rea, quæ propter impietatem sorte piorum exclusa, splendidum illud divinumque domicilium, eamque qua in regia fruebatur dignitatem, ac felicem angelicorum cœtuum societatem, cum Tartaro sceleratis omnibus admodum conveniente loco, æquissima Dei præpotentis sententia judicioque damnata commutavit: quem locum divinæ literæ abyssum ac tenebras appellare solent, non qualia tamen utraque apud nos appellatione denotantur, sed ejusmodi quæ divinum oraculum hac nominum similitudine repræsentat.
8 Quo ex numero pars quædam exigua, quæ pietatis athletis materia segesque virtutis esset, circa terras, lunaque inferiorem aëris regionem a Deo relicta, fœdum illum simul, qui genus hominum occupavit, quique nihil a negatæ divinitatis impietate differt, de multitudine deorum errorem fabricavit.
9 Ac suis istos quoque divina scriptura propriisque nominibus

προσηγορίας, γυμνότερον μὲν, ὅτε πνεύματα πονηρὰ
καὶ δαίμονας, ἀρχάς τε καὶ ἐξουσίας, καὶ κοσμοκράτορας,
καὶ πνευματικὰ πονηρίας ἐπονομάζει· συμβολικῶς δὲ,
ὅτε τὸν θεοφιλῆ παρορμᾷ μηδὲν δεδίττεσθαι τὸ τῶν
πολεμίων δαιμόνων στίφος, δι' ὧν φησὶ, Ἐπ' ἀσπίδα
καὶ βασιλίσκον ἐπιβήσῃ, καὶ καταπατήσεις λέοντα καὶ
10 δράκοντα. Δεῖγμα δὲ τούτων τῆς θεοεχθρίας τὸ θέλειν
σφᾶς αὐτοὺς θεοὺς ἀναγορεύεσθαι, καὶ τὰς ἐπὶ Θεῷ
τιμὰς εἰς ἑαυτοὺς ὑφαρπάζειν, μαντείαις τε πειρᾶσθαι
καὶ χρησμοῖς, ὥσπέρ τισι θελγήτροις καὶ προβολίοις, p. 330
τοὺς εὐχερεῖς δελεάζειν, καὶ τῆς μὲν ἐπὶ τὸν τῶν ὅλων
Θεὸν ἀνανεύσεως ἀποσπᾶν, κατασύρειν ἐπὶ τὸν πανώλεθρον τῆς δυσσεβοῦς καὶ ἀθέου δεισιδαιμονίας βυθόν·
διὸ προτροπάδην φεύγειν αὐτῶν τὰς ἀπάτας μόνοις
Ἑβραίοις ἄνωθεν ἐξ αἰῶνος ἐσπουδάζετο, διαρρήδην
11 παιδεύουσιν ὅτι πάντες οἱ θεοὶ τῶν ἐθνῶν δαιμόνια. Νυνὶ

d 6. καὶ δαίμονας om. B.C.F.G. 9. μηδὲν] μὴ B.C.D.F.G. τὸ τῶν πολεμίων δαιμόνων] τὸ τούτων B.C.F.G. 12. πατήσεις] πατήσω C. ult. μαντείαις] μαντείοις C.F.G. Tum πειρᾶσθαι om. B. C.F.G.

p. 330. 2. καὶ τῆς—βυθὸν om. B.C.F.G. 3. κατασύρειν] ἴσ. add. δὲ Vigerus in marg.

expressos voluit, cum eos modo clarius improbos spiritus ac dæ-
Eph. 6, 12. mones, itemque principatus ac potestates, mundique principes, ac
spiritalia nequitiæ appellavit: modo ut hominibus Deo caris omnem
hostilium dæmonum timorem eximeret, symbolicis quibusdam notis
Ps. 90, 13. adumbravit, veluti dum ita loquitur, *Super aspidem et basiliscum am-*
10 *bulabis, et conculcabis leonem et draconem.* Cæterum quam divini
Numinis odio flagrent, ex eo quivis intelligat, quod et deorum ipsi
nomen affectent, et proprium Dei cultum furtim sibi vindicare moli-
antur, dum eam in rem divinationum, ac responsorum illecebris,
faciliores ac rudiores inescare, atque a Dei præpotentis cogitatione
divulsos, in exitialem impietatis, Deumque funditus tollentis super-
stitionis voraginem deturbare conantur. Itaque nefarias eorum
fraudes, soli quidem ex omni hominum memoria effuso quasi cursu
Hebræi fugiebant, dum palam et aperte deos gentium universos
11 dæmonia esse contestarentur. Nunc vero, quæ Dei gratia est,

δέ, σὺν Θεῷ φάναι, διὰ τῆς τοῦ Σωτῆρος ἡμῶν εὐαγγελικῆς διδασκαλίας πάντα τὰ πανταχόθεν τῆς οἰκουμένης ἔθνη, δεσμῶν δαιμονικῶν ἀπηλλαγμένα, τὸν Θεὸν b
ἀνυμνεῖ, ὃν δὴ καὶ μόνον ὑπάρχειν σωτῆρα καὶ βασιλέα καὶ Θεὸν τῶν ὅλων μεμαθήκαμεν.

17 Κἀνταῦθα πάλιν ἡ μὲν τῶν Φοινίκων καὶ Αἰγυπτίων ζῳογονία αὐτόματον εἰσῆγε τῶν ἐπὶ γῆς ἁπάντων ζῴων τε καὶ ἀνθρώπων τὴν γένεσιν, μίαν καὶ τὴν αὐτὴν ὁμοίως φύσιν συντυχικῶς ἀπὸ γῆς προελθεῖν διαγράφουσα, κατ᾽ οὐδέν τε τὴν ἄλογον διαφέρειν τῆς λογικῆς
2 ψυχῆς τε καὶ οὐσίας ὑποτιθεμένη. Ταῦτα γοῦν ἐδήλουν αἱ προπαρατεθεῖσαι τῶν παρ᾽ αὐτοῖς συγγραφέων λέξεις. Παῖδες δὲ πάλιν Ἑβραίων εἰκότως ἡμῖν προτετίμηνται, τὰ περὶ τῆς πρώτης ἀνθρώπων συστάσεως
3 παγκάλως καὶ σοφῶς καὶ ἀληθῶς διειληφότες. Ὅτι δὴ τῶν ἐν ἡμῖν τὸ μέν τι φασὶ θεῖον εἶναι καὶ ἀθάνατον,

a 8. σὺν θεῷ φάναι om. B.C.D.F.G. et mox om. εὐαγγελικῆς, et pro seqq. usque ad μεμαθήκαμεν præbent διδασκαλίας τὸν τῶν ἑβραίων θεὸν ἀνυμνεῖ πᾶσα γῆ. b 8. εἰσῆγε] συνῆγε I. τε ζῴων] ζῴων τε B.C. F.G. c 4. τε καὶ τὴν F.G. 6. συγγραφέως I. 7. παῖδες δὲ—φύσεως om. B. παῖδές τε C.F.G. εἰκότως] εἰκότερον C. 9. παγκαλῶς κ. σ. κ. om. C.F.G. 11. εἶναι om. C.F.G.

evangelicæ Servatoris nostri doctrinæ beneficio, populi omnes toto orbe sparsi, dæmonum soluti vinculis, Deum laudibus hymnisque concelebrant, quem unum quoque servatorem ac regem, ac totius universitatis Deum esse didicimus.

17 Jam vero, quod humanam ad naturam attinet, Phœnicum et Ægyptiorum de animantium generatione doctrina, hominum perinde ac cæterorum omnium ortum casu contigisse tradit, dum unius simul ejusdemque naturæ omnes ex terra fortuito prodiisse, nullumque omnino præditos inter expertesque rationis animos atque naturas
2 discrimen esse ponit. Quam eorum sententiam disertis et conceptis suorum ante scriptorum verbis repræsentavimus. Verum hic Hebræorum quoque sensum atque mentem jure profecto sequi maluimus, qui egregie cum primis, sapienter, ac vere primam illam homi-
3 num molitionem explicarunt. Nam ex partibus hominis duabus, alteram divinam, immortalem, et ab omni corporea concretione

ἄσαρκόν τε τὴν φύσιν καὶ ἀσώματον, τοῦτο δὲ καὶ τὸν d
ἀληθῆ τυγχάνειν ἄνθρωπον κατ' εἰκόνα Θεοῦ καὶ ὁμοίωσιν γεγενημένον, εἶναι δὲ αὐτὸν ἔργον Θεοῦ, ἀλλ' οὐ τύχης οὐδ' αὐτομάτου φύσεως, αὐτοῦ δὲ τοῦ τῶν ὅλων αἰτίου, κρίσει θείᾳ βεβουλημένου μηδὲ τὰ κατὰ γῆν νοερᾶς καὶ λογικῆς οὐσίας ἀμοιρεῖν, ὅπως διὰ πάντων
[195] αὐτῷ οὐρανίων τε καὶ αἰθερίων τῶν τε ἐπὶ γῆς λογικῶν καὶ τῆς αὐτοῦ θειότητος ἀντιληπτικῶν ὁ προσήκων
4 ὕμνος ἀναπέμποιτο. Οὕτω δ' οὖν περιέχει τὰ Ἑβραίων λόγια· *Καὶ εἶπεν ὁ Θεὸς, ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν· καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον, κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν.* Καὶ πάλιν, *Καὶ ἔλαβεν ὁ Θεὸς χοῦν ἀπὸ τῆς γῆς, καὶ ἔπλασε τὸν ἄν-* p. 331
θρωπον, καὶ ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν. Καὶ ταῦτα δὲ πάλιν ὁ Ἑβραῖος ἑρμηνεύει Φίλων, ταῖς ἐκτεθείσαις αὐτοῦ φωναῖς ἔτι καὶ τάδε ἐπιλέγων·

d. τε τὴν] τε om. C.F.G.I. 2. ἄνθρωπον om. C.F.G. 5. αὐτοῦ δὲ] καὶ παρ' αὐτοῦ B. 7. οὐσίας om. B. οὐσίας καὶ λογικῆς C.F.G. 9. καὶ τῆς αὐτοῦ θειότ. ἀντιληπτικῶν om. B.C.F. 11. οὕτω δ' etc.] φασὶ γοῦν· καὶ εἶπεν ὁ θεὸς ποιήσωμεν ἄνθ. B.C.F.G. 14. καὶ ἐποίησεν—αὐτὸν om. B.C.F.G.

p. 331. 3. ὁ ἄνθρωπος om. B.C.F.G. 4. καὶ ταῦτα] καὶ om. B.C. F.G. qui pergunt ταῦτα δ' ὁ ἑβρ. φίλων ἑρμηνεύει τάδ' ἐπιλέγων.

sejunctam naturam esse docent: eam porro verum esse hominem, ad imaginem ac similitudinem Dei fictum atque factum, qui divini Numinis opus fuerit, non fortunæ, nec repentino casus impetu, sed ipsiusmet rerum universarum auctoris voluntate extiterit, cum divino plane consilio, ne terras quidem spiritali et rationis compote natura carere voluisset, ut omnes simul tam cœlestes ætheriæque naturæ, quam in terris degentes illæ quidem, sed tamen ut in rationis, sic in aliquam etiam ejus divinitatis communionem vocatæ, dignum ei con-
4 junctis vocibus hymnum celebrarent. Atque ita divinæ literæ lo-
Gen. 1. quuntur, *Dixit quoque Deus, Faciamus hominem ad imaginem et similitudinem nostram: et fecit Deus hominem: ad imaginem Dei fecit eum.* Et rursus, *Accepitque Deus pulverem terræ, et formavit hominem, et inspiravit in faciem ejus spiraculum vitæ, et factus est homo in animam viventem.*
Philo Jud. T. I. p. 332. Quæ quidem Hebræus quoque Philo dum explicat, hæc superius laudatis verba subjungit:

18 Ἀλλ᾽ οἱ μὲν ἄλλοι, τῆς αἰθερίου φύσεως τὸν ἡμέτερον b ΦΙΛΩΝΟΣ
νοῦν μοῖραν εἰπόντες εἶναι, συγγένειαν τοῦ ἀνθρώπου πρὸς
αἰθέρα συνῆψαν. Ὁ δὲ μέγας Μωσῆς οὐδενὶ τῶν γεγονό-
των τῆς λογικῆς ψυχῆς τὸ εἶδος ὡμοίωσεν, ἀλλ᾽ εἶπεν αὐτὴν
τοῦ θείου καὶ ἀοράτου Πνεύματος ἐκείνου δόκιμον εἶναι νό-
μισμα, σημειωθὲν καὶ τυπωθὲν σφραγῖδι Θεοῦ, ἧς ὁ χαρα-
κτήρ ἐστιν ὁ ἀΐδιος λόγος. Ἐνέπνευσε γὰρ, φησὶν, ὁ Θεὸς εἰς
τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, καὶ ἐγένετο ἄνθρωπος εἰς ψυχὴν c
ζῶσαν. Ὥστε ἀνάγκη πρὸς τὸν ἐκπέμποντα τὸν δεχόμενον
2 ἀπεικονίζεσθαι. Διὸ καὶ λέγεται, κατ᾽ εἰκόνα Θεοῦ τὸν ἄν-
θρωπον γενέσθαι, οὐ μὴν κατ᾽ εἰκόνα τινὸς τῶν γεγονότων.
Ἀκόλουθον οὖν ἦν τῆς ἀνθρώπου ψυχῆς κατὰ τὸν ἀρχέτυπον
τοῦ αἰτίου λόγον ἀπεικονισθείσης, καὶ τὸ σῶμα ἀνεγερθὲν
πρὸς τὴν καθαρωτάτην τοῦ παντὸς μοῖραν, οὐρανὸν, τὰς
ὄψεις ἀνατεῖναι.

b 3. τοῦ ἀνθρώπου] ἀνθρώπῳ Phil. τὴν pro τοῦ I. 4. οὐδενὶ—ἀλλ᾽ om. B. Pro συνῆψαν Philonis ed. ἀνῆψαν, sed mss. συνῆψαν. 6. ὡμοί.] ὁμοί. C. ὁμοίως ὠνόμασε Phil. 7. ἀοράτου εἰκόνα, δόκιμον εἶναι νομίσας οὐσιωθεῖσαν καὶ τυπωθεῖσαν σφραγῖδι θεοῦ Phil. 9. ὁ ἀΐδ.] ὁ om. Phil. 10. ὁ θεὸς om. C.F.G. h.l. post αὐτοῦ ponit B. post ζωῆς C.F. 11. καὶ ἐγένετο—ζῶσαν om. Phil. c. ἄνθ.] ὁ ἄνθ. B.C.D.G. 2. ἐκπέμποντα] Sic etiam Philo. γρ. ἐκπνέοντα Vigeri margo, quam lectionem probat Mangeius ad Philon. 3. ἀπεικονίζεσθαι] ἀπεικάζεσθαι B.C.D.F.G. ἀπεικονίσθαι Phil. 4. τὸν ἄνθ. γεν.] γεν. τὸν ἄνθ. B.C.F.G. γενέσθαι] γεγενῆσθαι Phil. 5. τινος τῶν γεγ.] τῶν γεγ. τινος B.C.F.G. 6. οὖν ἦν] ἦν om. Philo. 9. οὐρανὸν] τὸν οὐρ. B.C.D.F.G. 10. ἀνατεῖναι] ἀνερεῖσαι B.C.F.G.

18 Cæteri quidem, inquit ille, mentem nostram ætheriæ naturæ particulam
appellantes, hominem cum æthere cognatione junctum esse voluerunt. At
magnus ille Moses animi ratione præditi speciem, non jam cæterarum
creaturarum ulli similem fecit, sed potius divini, sensumque fugientis
Spiritus probum quendam esse nummum asseruit, Dei sigillo informatum
atque signatum, cujus non character alius, quam sempiterna ratio sit.
Inspiravit enim, inquit, *Deus in faciem ejus spiraculum vitæ, et factus est
homo in animam viventem.* Itaque necesse fuit, qui spiritum illum exci-
2 peret, ejus qui inspiraret similitudinem referre: ac propterea non ad ullius
creaturæ, sed Dei unius imaginem factus homo dicitur. Ita, cum animus
hominis ad primum illud auctoris sui rationis exemplar conformatus et
expressus esset, ejus etiam corpus erectum esse, vultumque suum in
cœlum, quæ pars est universi purissima, conversum habere oportuit.

3 Ταῦτα μὲν οὗτος. Εἰκότως δῆτα καὶ ἡ θεία γραφὴ
οὐχ ὡς τὰ λοιπὰ ζῷα γεγονέναι τὸν ἄνθρωπόν φησι· τὰ d
μὲν γὰρ ἀπὸ γῆς προελθεῖν ἑνὶ κελεύσματι τοῦ παμβα-
σιλέως Θεοῦ, τὰ δ' ἐκ τῆς ὑγρᾶς οὐσίας ἀναπτῆναι πά-
λιν αὐτοῦ νεύματι· μόνον δὲ τῶν ἐπὶ γῆς ζῴων τὸ θεο-
φιλέστατον, ἡμᾶς αὐτοὺς, κατ' εἰκόνα Θεοῦ καὶ καθ'
ὁμοίωσιν τὴν ψυχὴν γεγονέναι· πρὸς ὃ καὶ ὁρᾶσθαι
ἀρχικὸν καὶ βασιλικὸν τὴν φύσιν, μόνον τε τῶν ἐπὶ γῆς
εἶναι λογικὸν, καὶ δημιουργικὸν, καὶ κριτικὸν, καὶ νομο-
θετικὸν, τεχνῶν τε καὶ ἐπιστημῶν καταληπτικόν· εἶναι
γὰρ μόνην τὴν ἐν ἀνθρώπῳ ψυχὴν νοερὰν καὶ λογικὴν
4 οὐσίαν, ἧς μὴ μετεῖναι τοῖς ἄλλοις ἐπὶ γῆς ζῴοις. Διὸ
τὰ μὲν θητεύειν, καὶ χώραν οἰκετῶν παρέχειν ἀνθρώπῳ·
τὸν δὲ, οἷα δεσπότην καὶ ἡγεμόνα δουλοῦσθαι καὶ ὑπο- p. 332
τάττειν τὰ ῥώμῃ μὲν σώματος πολὺ κρείττονα, μείονα
5 δὲ τῇ κατὰ τὴν νοερὰν οὐσίαν στερήσει. Τοῦτον μὲν

c 11. δῆτα] δὲ B.C.D.F.G. d 3. παμβασιλέως om. B.C.D.G. θεοῦ om. I. 4. πάλιν α. ν. om. B.C.D.G. 5. θεοφιλέστατον] Pergunt C.F.G. τῶν ἐπὶ γῆς εἶναι δημιουργικὸν καὶ κριτικόν. 8. πρὸς ὃ] παρὸ B. παρ' ὃ D.I. 9. μόνον τε—στερήσει om B. 10. δημιουργητικὸν D. 12. καταληπτικὸν] καταληπτὸν C.G. ult. τὸν] τοῦ C. ἀνθρώπων D.

p. 332. δουλοῦσθαι] δουλεύεσθαι F. 3. δὲ τὴν I.

3 Hæc Philo. Atque hominem sane divina scriptura, non cæterarum
animantium more satum esse, jure meritoque pronuntiat. Quippe
reliquas enim omnes partim ex terra, Dei præpotentis jussu prodiisse,
partem ejusdem numine ex elemento humidiori evolasse: at ex
omnibus quæ in terra versantur, animantibus, unum longe Deo
carissimum, nos, inquam, ipsos, ad imaginem ac similitudinem Dei
procreatos, animoque præditos fuisse. Quocirca principem in eo
quandam agnosci regiamque naturam, atque in terris esse unum, qui
ratiocinandi, fabricandi, judicandi, leges ferendi, artes doctrinasque
percipiendi vim habeat. Solum enim illum animam, quæ spiritalis sit
intelligensque natura, sortitum esse, cujus in consortium ex terres-
4 tribus aliis animantibus nulla omnino venerit. Quare cæteras, ope-
rarum quarundam et famulorum instar, homini præsto esse: hunc
vero tanquam dominum atque ducem, easdem industria domare
atque subigere, ut corporis longe viribus superiores, sic ob intelli-
5 gentis naturæ privationem inferiores. Illum ergo ad imaginem ac

οὖν κατ' εἰκόνα φασὶ Θεοῦ καὶ καθ' ὁμοίωσιν πρὸς αὐ-
τοῦ τοῦ Θεοῦ μετά τινος διαφερούσης ὑπεροχῆς ὑπο-
στῆναι. Διὸ καὶ Θεοῦ ἐννοίας εἰς φαντασίαν ἰέναι,
σοφίας τε καὶ δικαιοσύνης καὶ πάσης ἀρετῆς ἀντιλήψεις
ποιεῖσθαι, δρόμους τε ἡλίου καὶ σελήνης καὶ ἄστρων
ἡμερῶν τε καὶ ὡρῶν κύκλους ἀπαριθμεῖσθαι δυνατῶς b
ἔχειν, τῆς πρὸς τὰ ἄνω συγγενείας χάριν, ἣν θνητῶν
6 μόνος ἄνθρωπος ἐπιδείκνυται. Τὸ δὲ τούτῳ περιπε-
πλασμένον ἔξωθεν ἑτερογενὲς μὲν ὑπάρχειν τὴν οὐσίαν
καὶ γηγενὲς, εἶναι δὲ καὶ αὐτὸ Θεοῦ ἔργον ἀπὸ γῆς
ληφθὲν καὶ εἰς αὐτὴν ὑποστρέφον. Διὸ καὶ χρῆναι
τούτου μὲν ὅσα καὶ ἀλόγου θρέμματος τὸν δεσπότην
ἠχθισμένου φροντίζειν, ἄγειν τε πρᾴως αὐτὸ, καὶ τρέφειν
οἷα δοῦλον, πρὸς ἀνθρωπείου βίου διακονίαν εὖ προσηγ-
νωμένον, τὸν δ' εἴσω δεσπότην, ὡς ἂν εὐγενῆ καὶ Θεοῦ c

a 4. θεοῦ καὶ καθ' ὁμοίωσιν πρὸς αὐτοῦ τοῦ θεοῦ] καὶ ὁμοίωσιν θεοῦ ὑποστῆναι μετὰ τ. B.C.F.G. πρὸς αὐτοῦ τοῦ θεοῦ om. D. Tum περιοχῆς B. pro ὑπεροχῆς. 7. φαντασίας] φαντασίαν B.C.D.F.G.I.S. Tum σοφίας τ. κ. δικαιοσύνης om. B.C. b. δυνατῶς] δύνασθαι τὸ δὲ τούτῳ B.C. δύνασθαι et mox τοῦτο D. δύνασθαι F.G. 6. τὴν αὐτὴν] τὴν om. B. C.D.F.G. 7. διὸ καὶ—ὀλιγωρίᾳ om. B. τοῦτον D. 8. τὸν δεσπότην om. C.F.G. Supra ὅσον I.

similitudinem Dei, ab eo ipso, singulari quodam et proprio dignitatis
excellentiæque genere procreatum esse, divina testantur oracula.
Eam ob rem ipsum et cogitatione Dei notiones informare, et sapi-
entiæ, justitiæ, reliquarumque virtutum rationes vimque percipere:
solis item, lunæ, siderumque cursus, dierumque simul ac tempestatum
conversiones numerando consequi posse, quæ omnia ex innata, quam
ex cunctis mortalibus unus homo præ se fert, cum rebus illis superi-
6 oribus affinitate oriantur. At vero, quod eidem affictum exterius ac
circumfusum est, alterius esse generis illud quidem, ac terrestri ex
mole conflatum; idem tamen Dei simpliciter opus esse, quod uti ex
terra satum est, ita denuo in terram dissolvatur. Itaque homini
perinde, ac suum aliquod ratione carens et onerarium jumentum
domino, curandum illud esse, tractandumque humaniter, atque in
servi morem alendum, ad humanæ vitæ obsequium docilis et parati.
At dominum illum interiorem, utpote ingenuam nobilemque naturam,
cumque Deo ipso cognatione conjunctam, liberalibus etiam et inge-

συγγενῆ τὴν φύσιν, ἐλευθερίοις τρόποις τιμᾶν, ἅτε καὶ [196] πρὸς τοῦ πάντων αἰτίου τετιμημενον.

7 Λέγει δ' οὖν τὰ λόγια, ὡς ἄρα τὴν πρώτην ἀνθρώπου φύσιν δυνάμεσι θείαις καὶ ὁμοιώσει Θεοῦ κοσμήσας ὁ παμβασιλεὺς, ἁρμόδιον οἷς ἐδωρήσατο τὴν πρώτην ἀπεκλήρωσε διατριβὴν τοῦ βίου, ἐν ἀγαθῶν παραδείσῳ χορείαις συγκαταλέξας θείαις.

8 Καὶ τὸν μὲν τάδε ἐν ἀρχαῖς οἷα πανάγαθον αὐτῷ δεδωρῆσθαι πατέρα, τὸν δ' αὐθεκουσίῳ αἱρέσει d τῶν κρειττόνων ἀποπεσεῖν, καὶ τὸν θνητὸν χῶρον ἀντικαταλλάξασθαι θείας ἐντολῆς ὀλιγωρίᾳ.

9 Διὸ καὶ μάλιστα προσήκειν εὐσεβείας ἐν πρώτοις ἀντιποιεῖσθαι, καὶ τὸ πρώτως πλημμεληθὲν δευτέροις αἰσίοις ἐπιδιορθοῦσθαι, σπεύδειν τε ἐπὶ τὴν τῶν οἰκείων ἀναδρομὴν τε καὶ ἀποκατάστασιν. Εἶναι γὰρ τέλος ἀνθρώπου φύσεως οὐχ ὧδε ἐπὶ γῆς εἰς φθορὰν καταστρέφον καὶ ἀπώλειαν, ἀλλ' ἐκεῖθεν, ὅθεν καὶ ὁ πρῶτος ἀπέσφηλε.

c. φύσιν] τὴν φύσιν D.E.F.G.I. 6. οἷς ἐδωρήσατο om. C.F.G. 8. ἀγαθῶν] ἀγαθῷ C.F.G. 10. πατέρα om. C.F.G. d 2. χόρον] χῶρον C.F.G.I. Tum ἀνταλάξασθαι D.F. λλ G. 4. ἀντιποιεῖσθαι] ἐπιμέλεσθαι E.I. Mox πρῶτō I. 5. ἐπιδιορθοῦσθαι] διορθοῦσθαι B.D.F.G. 7. ἀποκατάστασιν] κατάστασιν B.C.D.F.G. 8. οὐδ' εἰς φθορὰν I.

nuis moribus exornandum, cum ornatus ab ipsomet etiam rerum omnium molitore fuerit.

7 Addunt enimvero sacræ literæ, summum illum ac præpotentem regem, ubi principem hominis naturam divinis facultatibus, ac divina similitudine decorasset, ei quoque postmodum in cœtuum divinorum societatem allecto, suis muneribus donisque congruentem, in bonis omnibus circunfluente Paradiso, primam vitæ sedem attribuisse.

8 At hominem, qui vim ab eo tantam opum, tanquam ab optimo parente, ipso statim initio acceperat, et sua sponte divinioris illius conditionis sorte excidisse et ob violatum divinæ legis imperium, in mortale domicilium amandatum ac relegatum fuisse.

9 Quocirca verum omnino esse, uti præcipuam quandam pietati operam demus, quod a nobis ante peccatum est, felicioribus vitæ consequentis auspiciis emendemus, postremo ad recuperandam opum olim nostrarum possessionem omni studio et contentione rapiamur. Nam suum humanæ naturæ finem, non jam hic, in terris, hoc est in interitu ac morte positum, sed eo potius in statu graduque fixum esse, unde

10 Διὸ χρῆναι τὸ καθαρὸν αὖθις καὶ τὸ θεοείκελον ἀνακτήσασθαι τῆς ἐν ἡμῖν νοερᾶς οὐσίας, ἐφ' ἣν προθυμητέον ἀνιέναι παντὶ σθένει πᾶσιν ἀνθρώποις εὐσεβείας καὶ ἀρετῆς ἐπιμελομένοις. p. 333

11 Τοιαῦτα καὶ τὰ περὶ ἀνθρώπου φύσεως Ἑβραίοις πεφιλοσοφημένα ἄνωθεν, πρὶν ἢ καὶ εἰς ἀνθρώπους παρελθεῖν Ἕλληνας· οἳ χθιζοί τινες καὶ κομιδῇ νέοι ἀπὸ γῆς ἀνακύψαντες, τά τε βαρβάρων ὑποσυλᾶν διανοηθέντες, καὶ τῶν παρ' Ἑβραίοις οὐκ ἀπέσχοντο, ὡς
12 προϊὼν ὁ λόγος αὐτίκα μάλα ἐπιδείξει. Ἀλλ' ἐπεὶ τῶν Ἑβραϊκῶν δογμάτων ἴδιον ἦν τὸ ἕνα τῶν ἁπάντων ποιητὴν νομίζεσθαι τὸν ἐπὶ πάντων Θεόν, αὐτῆς τε τῆς ὑποκειμένης τοῖς σώμασιν οὐσίας, ἣν ὕλην προσαγο- b
ρεύουσιν Ἕλληνες· τούτῳ δὲ μυρίοι βαρβάρων ὁμοῦ καὶ Ἑλλήνων ἐξεναντίας ἔστησαν, οἱ μὲν κακίας πηγὴν τὴν ὕλην εἶναι ἀποφηνάμενοι ἀγέννητόν τε ὑπάρχειν, οἱ δέ,

d 10. διὸ χρῆναι—ἐπιμελομένοις om. B.C.F.G. 11. θεοείκελον] τὸ θεοείκελον E.I.

p. 333. 7. μάλα ἐπιδ.] ὑποδ. B.C.D.F. μάλα om. G. 11. ὕλην προσαγορεύουσιν Ἕλληνες] ὕλην Ἕλλησι προσαγορεύειν φίλον E.I.S.V. b. τοῦτο] τούτῳ B.C.I. Vigeri marg. 4. ἀγέννητόν τε ὑπ. om. B.

10 generis humani princeps exciderit. Ita conandum id esse agendumque nobis, ut pristinum illum naturæ nostræ spiritali nitorem, ac divinæ similitudinis ornamenta reddamus, adeoque constantem hanc atque perpetuam eorum esse omnium curam oportere, qui aliquo pietatis et virtutis studio teneantur.

11 Hæc igitur illa sunt, quæ de natura hominis, ab ultima retro memoria Hebræi docuerunt, cum nullum adhuc Græcorum genus extaret: qui cum heri aut nudiustertius e terra caput extulerint, et suas barbaris opes suffurari statuerunt, nec propriis Hebræorum bonis pepercerunt, ut paulo post hujus in disputationis progressu
12 ostendemus. Nunc vero, quoniam Hebræorum doctrinæ proprium hoc fuit, præcipuumque caput, uti Deum præpotentem, cum cæterarum omnium rerum, tum ejus etiam quæ corporibus subest naturæ, quamque materiam Græci vocant, artificem unum ac molitorem esse statuerent: idem contra barbarorum simul et Græcorum infinita vis oppugnavit: cum alii et improbitatis omnis fontem esse materiam,

τῇ μὲν οἰκείᾳ φύσει ἄποιον καὶ ἀσχημάτιστον, τῇ δὲ τοῦ
Θεοῦ δυνάμει τὸν κόσμον αὐταῖς ποιότησι προσειληφέ-
ναι· δεικτέον ὡς πολὺ κρεῖττον ἡ Ἑβραίων ἐπέχει δόξα,
μετ' ἀποδείξεως λογικῆς παρισταμένη τῷ προβλήματι,
καὶ τὸν ἐναντίον λογισμοῖς ὀρθοῖς ἀποσκευαζομένη λό- c
13 γον. Θήσω δὲ φωνὰς τῶν πρὸ ἡμῶν τὸ δόγμα διηκρι-
βωκότων, καὶ πρώτου γε Διονυσίου, ὃς ἐν τῷ πρώτῳ
τῶν Πρὸς Σαβέλλιον αὐτῷ γεγυμνασμένων τάδε περὶ
τοῦ προκειμένου γράφει·

ΔΙΟΝΥΣΙΟΥ

Οὐδ' ἐκεῖνοι μὲν γὰρ ὅσιοι, οἱ τὴν ὕλην ὡς ἀγέννητον
19 ὑποχείριον εἰς διακόσμησιν διδόντες τῷ Θεῷ· παθητὴν γὰρ d
αὐτὴν καὶ τρεπτὴν ὑπάρχουσαν εἴκειν ταῖς θεοποιήτοις ἀλ-
2 λοιώσεσι. Καὶ πόθεν γὰρ ὑπάρχει καὶ τῷ Θεῷ καὶ τῇ ὕλῃ
τό τε ὅμοιον καὶ τὸ ἀνόμοιον διασαφείτωσαν. Ἑκατέρου
γὰρ δεῖ τινὰ ἐπινοῆσαι κρείττονα, ὃ μηδὲ θεμιτὸν ἐννοῆσαι

b 6. *θεοῦ*] *τοῦ θ.* I. qui infra *κρείττων*. 9. *παρισταμένη*] *ἐπισταμένη* E. *τῶν προβλημάτων* D.F.G. 10. *τῶν ἐναντίων λόγων*] *τὸν ἐναντίον* B.C.E.F.I. *ἐναντίον* G. c. *θήσω δὲ φωνὰς τῶν πρὸ ἡμῶν*] *θήσω δέ οὐκ ἐμὰς φωνάς, τῶν δὲ πρόσθεν ἡμῶν* E.I.S.V. 3. *πρὸ τοῦ γε* D. 9. *ἀγέννητον*] *ἀγένητον* B.C.D.F.G. d 2. *καὶ τρεπτὴν* om. B.C.D.F.G. 4. *καὶ τῷ*] *καὶ* om. C.D.F.G.I. 5. *τὸ ἀνόμ.*] *τὸ* om. B.C.D.F.G. *διασαφήτωσαν*] *διασαφείτωσαν* B.C.D.F.G.

et ortu carere defenderent: alii suapte quidem natura omni eam
qualitate figuraque nudatam esse, divini tamen Numinis potestate
novum præterea cum suis qualitatibus ornatum induisse vellent:
demonstrandum quoque nobis erit, longe saniorem Hebræorum hoc
in genere mentem ac sententiam fuisse, quæ propositam quæstionem
logica plane demonstratione disceptet, justisque rationibus omnia
13 dissentientium argumenta convellat. Hanc in rem ipsissima eorum,
qui ante nos accurate hac in disputatione versati sunt, verba produ-
cam, atque in primis Dionysii, qui in primo librorum eorum, quos In
Sabellium elucubravit, hunc in modum de re tota philosophatur:

19 Impietatis etiam illud est, inquit, quod plerique materiam, cujus ortum
nullum esse velint, divinæ potestati digerendam ornandamque subjiciant,
dum eam natura sua patientem atque tractabilem, impressas divinitus
2 mutationes facile subire tradunt. Enimvero doceant isti, qui fieri potuerit,
ut in Deum atque materiam similitudo pariter ac dissimilitudo caderet.
Nam alium quendam utroque potentiorem cogitare tum oporteret, quod

ΔΙΟΝΥΣΙΟΥ

περὶ τοῦ Θεοῦ. Τό τε γὰρ ἀγέννητον, ὅμοιον ἐν ἀμφοτέροις λεγόμενον, καὶ ἕτερον νοούμενον παρ' ἑκάτερον, πόθεν
3 ἐν αὐτοῖς ἐγένετο; Εἰ μὲν γὰρ αὐτὸ ἀγέννητόν ἐστιν ὁ Θεὸς, καὶ οὐσία ἐστὶν αὐτοῦ, ὡς ἂν εἴποι τις, ἡ ἀγεννησία, οὐκ ἂν ἀγέννητον εἴη ἡ ὕλη· (οὐ γὰρ ταυτόν ἐστιν ἡ ὕλη καὶ ὁ Θεός·) εἰ δὲ ἑκάτερον μέν ἐστιν, ὅπερ ἐστὶν ἡ ὕλη καὶ ὁ Θεὸς, πρόσ- p.334 εστι δὲ ἀμφοτέροις τὸ ἀγέννητον, δῆλον ὡς ἕτερόν ἐστιν ἑκατέρου, καὶ ἀμφοτέρων πρεσβύτερόν τε καὶ ἀνωτέρω.
4 Ἀνατρεπτικὴ δὲ παντελῶς καὶ τοῦ ταῦτα συνυπάρχειν, μᾶλλον δὲ τοῦτο ἕτερον αὐτῶν τὴν ὕλην ἐφ' ἑαυτῆς ὑπάρχειν,
5 καὶ ἡ τῆς ἐναντίας ἕξεως διαφορά. Εἰπάτωσαν γὰρ τὴν αἰτίαν, δι' ἣν, ἀμφοτέρων ὄντων ἀγεννήτων, ὁ μὲν Θεὸς ἀπαθὴς, ἄτρεπτος, ἀκίνητος, ἐργαστικός· ἡ δὲ τὰ ἐναντία πα- b
[197] 6 θητὴ, τρεπτὴ, ἄστατος, μεταποιουμένη. Καὶ πῶς ἥρμοσαν καὶ συνέδραμον; Πότερον κατὰ τὴν τῆς ὕλης φύσιν ἐξοικειώσας ἑαυτὸν ἐτεχνίτευσεν αὐτὴν ὁ Θεός; Ἀλλὰ τοῦτό γε ἄτοπον ὁμοίως ἀνθρώποις χρυσοχοεῖν καὶ λιθουργεῖν καὶ κατὰ τὰς

d 7. τοῦ θεοῦ] τοῦ om. B.C.F.G. ἀγένν.] ἀγεν. B.C.F.G. 10. αὐτὸ ἀγέννη.] αὐτὸ γένη. B. 12. ἀγέννη.] ἀγενη. B.C.F.G. et mox. ult. ὁ θεὸς καὶ ἡ ὕλη I. εἰ δὲ ἑκάτερον—ἀγέννήτων om. B.

p. 334. ὅπερ ἐστὶν om. C.F.G. 5. μᾶλλον—ὑπάρχειν om. D. 6. τοῦτο] τὸ F. ἐφ'] ἀφ' F.G. b. τὰ ἐναντία om. B.C.G.

tamen de Deo vel suspicari, nefas. Nam et ipsum ortu carere, quod in utroque simile dicitur, et alterum illud, quod præter utrumque cogitatur,
3 quomodo tandem in iis locum habuit? Si enim illud ipsum quod ortu caret, Deus est, ipsaque, ut ita dicam, ortus negatio, divina essentia est; non jam idem ipsum quod ortu caret, materia fuerit, cum Deus et materia unum idemque non sint. Sin autem utrumque dixerint, id quidem esse proprie quod est, materiam videlicet, atque Deum, ortus tamen negationem ambobus convenire: manifeste sequitur, aliud quidpiam præter
4 utrumque ponendum, quod antiquius ac superius utroque sit. Jam quo minus per sese ambo simul esse possint, imo quo minus e duobus alterum, hoc est materia, esse per sese queat, vel ipsa rationis et conditionis utrius-
5 que diversitas prorsus impediat. Alioqui caussam illi sane afferant, quamobrem cum ortu ambo careant, Deus quidem nec pati quicquam, nec mutari, nec moveri possit, idemque simul efficiendi vim habeat: materia vero contraria subeat omnia, quippe quæ pati mutarique possit, incon-
6 stans, et multiplici configurationi obnoxia. Jam qui tandem inter sese ambo tam apte convenerunt? Utrum sese Deus ad materiæ naturam accommodans, sic eam demum elaboravit? At ineptum fuerit cogitare, Deum, uti homines vulgo solent, aut ex auro conflare, aut lapides vel

ΔΙΟΝΥ-ΣΙΟΥ ἄλλας τέχνας, ὅσας αἱ ὕλαι μορφοῦσθαι καὶ τυποῦσθαι δύ-
7 νανται, χειροκμητεῖν τὸν Θεόν. Εἰ δὲ οἵαν αὐτὸς ἐβούλετο κατὰ τὴν ἑαυτοῦ σοφίαν ἐποίωσε τὴν ὕλην, τὸ πολύμορφον καὶ παμποίκιλον τῆς δημιουργίας ἑαυτοῦ σχῆμα καὶ τύπον c
ἐνσφραγιζόμενος αὐτῇ, καὶ εὔφημος καὶ ἀληθὴς οὗτος ὁ λόγος, καὶ προσέτι καὶ τὴν ὑπόστασιν τῶν ὅλων τὸν Θεὸν
8 ἀγέννητον εἶναι κρατύνει. Τῷ γὰρ εἶναι ἀγέννητον ἅμα καὶ τό πως εἶναι προσῆψε. Πολὺς μὲν οὖν καὶ πρὸς τούτους ὁ λόγος, ἀλλ' οὐ νῦν ἡμῖν πρόκειται· συγκρίσει δὲ τῇ πρὸς τοὺς ἀθεωτάτους πολυθέους εὐφημότεροι οὗτοι.

Ταῦτα μὲν οὖν καὶ ἀπὸ τῶν Διονυσίου. Καὶ τῶν Ὠριγένους δὲ ἄκουε·

20 Εἰ δέ τινι προσκόπτει διὰ τοὺς ἀνθρωπίνους τεχνίτας μὴ d
ΩΡΙΓΕΝΟΥΣ δύνασθαι παραδέξασθαι τὸν Θεὸν χωρὶς ὕλης ἀγεννήτου ὑποκειμένης κατασκευάζειν τὰ ὄντα, ἐπεὶ μηδὲ ἀνδριαντοποιὸς χωρὶς χαλκοῦ τὸ ἴδιον ἔργον ποιῆσαι δύναται, μηδὲ τέκτων

b 7. ὅσας] ὡς I. αἱ ὕλαι] αἱ om. B.C.G. Tum ὕλαι τυποῦσι χειροκμητῇ (τεῖν C.F.G.) τὸν B.C.F.G. 10. ἐποίησε] ἐποίωσε B.D.F.I. 11. ἑαυτοῦ σχῆμα] αὐτοῦ σῶμα B.C.F. αὐτοῦ item D. Infra ἀγένητον bis B. c 6. τούτους] τούτοις D. 7. ἀθεωτ.] ἀθεοτ. B. 9. καὶ ἀπὸ] καὶ om. F.G. d 6. ἀγεννήτου] ἀγενήτου B.C.G. et sic fere semper.

cædere, vel collocare, aut pro cæterarum artium varietate, quibus diversa materiæ genera figurari conformarique possunt, opus quodcunque moliri.
7 Sin materiam, prout ipse voluit, ejusque sapientia postulabat, finxisse dicetur, eamque variis ac multiplicibus artis molitionisque suæ formis consignasse; bene ominata certe quidem veraque hæc oratio fuerit, atque ejusmodi, quæ præterea Deum, qui totius universi vita quædam et funda-
8 mentum est, ortus omnis expertem esse confirmet. Nam cum illa ortus negatione, propriam insuper existendi rationem conjungit. Cæterum multa quidem adversus id hominum genus dici possent, verum alterius loci hæc disputatio fuerit. Si tamen isti cum scelestissimis tot deorum fabricatoribus conferantur, minus impie loqui censebuntur.

Origen. Ed. Delarue T. II. p. 2. Hactenus Dionysius. Verba nunc Origenis accipe.

Si quispiam, inquit, eo in errore versabitur, ut de artificum nostrorum more cogitans, dandum esse neget, Deum res universas moliri posse, nisi materiam quandam ortu carentem præ manibus habuerit, cum neque sta-
20 tuarius absque ære, nec faber lignarius sine lignis, nec architectus sine

χωρὶς ξύλων, μηδὲ οἰκοδόμος χωρὶς λίθων, ζητητέον πρὸς
αὐτοῦ περὶ δυνάμεως Θεοῦ, εἰ θελήσας ὑποστῆσαι ὅ τι βού- p. 335 ΩΡΙΓΕΝΟΥΣ
λεται ὁ Θεὸς, τῆς θελήσεως αὐτοῦ οὐκ ἀπορουμένης οὐδὲ
2 ἀτονούσης, οὐ δύναται ὑποστῆσαι ὃ βούλεται. Ὧι γὰρ λόγῳ
τὰς ποιότητας, (κατὰ πάντας τοὺς πρόνοιαν εἰσάγοντας τῷ
ἰδίῳ λόγῳ,) οὐκ οὔσας, ὡς βούλεται, εἰς διακόσμησιν τοῦ
παντὸς ὑφίστησι τῇ ἀφάτῳ αὐτοῦ δυνάμει καὶ σοφίᾳ, τούτῳ
τῷ λόγῳ καὶ τὴν οὐσίαν ὅσης χρῄζει ἱκανή ἐστιν αὐτοῦ ἡ
3 βούλησις ποιῆσαι γενέσθαι. Ἀπορήσομεν γὰρ πρὸς τοὺς
οὐ βουλομένους ταῦθ' οὕτως ἔχειν, εἰ μὴ ἀκολουθεῖ αὐτοῖς
εὐτυχηκέναι τὸν Θεὸν, ἀγέννητον εὑρόντα τὴν οὐσίαν, ἣν εἰ b
μὴ τὸ ἀγέννητον αὐτῷ ὑποβεβληκὸς ἦν, οὐδὲν ἔργον δυνατὸς
ἦν ποιῆσαι, ἀλλ' ἔμενεν οὐ δημιουργὸς, οὐ πατὴρ, οὐκ εὐερ-
γέτης, οὐκ ἀγαθὸς, οὐκ ἄλλο τὶ τῶν εὐλόγως λεγομένων περὶ
4 Θεοῦ. Πόθεν δὲ καὶ τὸ μετρεῖν τῆς ὑποκειμένης οὐσίας τὸ
τοσόνδε, ὡς διαρκέσαι τῇ τηλικούτου κόσμου ὑποστάσει;
Οἱονεὶ γὰρ πρόνοιά τις πρεσβυτέρα Θεοῦ ἀναγκαίως τὴν

p. 335. αὐτοῦ] αὐτὸν B.C.D.F.G.I. 2. ὑποστήσας I. 4. δύναται] οὐ δύναται B.C.E.F.G.I. 6. οὐκ οὔσας] ἀκούσας B. 8. ἀφάτῳ om. C. 11. οὐ om. D. b 3. ὑποβεβληκὼς] ὑποβεβληκὸς B.C. ed. Vig. 4. οὐ πατὴρ] ὁ πατὴρ B. 9. οἱονεὶ—ἐβούλετο om. B. πρεσβυτέρα] πρεσβυτέρου C.D.F.G.

lapidibus susceptum opus elaborare possit: de potestate Dei quærendum
ex illo est, utrum Deus ubi quicquid ipsi placuerit moliri statuerit, nulla
difficultate vim ejus voluntatis inhibente, quod visum sibi fuerit, perficere
2 possit. Qua enim ratione, qualitates illas (id quod ex eorum omnium qui
providentiam esse defendunt oratione sententiaque conjunctum est) quæ
nullæ-dum erant, ad universi ornatum, pro infinita potestate sapientiaque
producit: eadem omnino, naturam quamlibet, si qua forte indigeat, pro-
3 creare continuo voluntas ejus per sese poterit. Nam quæremus ex iis, qui
rem hoc modo se habere negaverint, nunquid ex eorum opinione conse-
quens sit, belle admodum id ac fortunate Deo cessisse, quod in naturam
illam ortus expertem inciderit, quam nisi eo ipso, quod ortu careret, nactus
esset, nihil unquam efficere potuisset, adeoque perpetuo, molitoris, parentis,
benigni, boni, ac cæteris omnibus, quæ magna cum ratione Deo tribuuntur,
4 nominibus spoliatus perstitisset. Deinde qui fieri potuit, ut vim materiæ
tantam, sic tanquam ad pondus accurate justeque admensam invenerit,
quæ ad hujus proprie non majoris minorisve mundi molitionem satis
esset? Invehenda quippe nescio quæ, Deo tamen antiquior providentia

ΩΡΙΓΕΝΟΥΣ

ὕλην ἔσται ὑποβεβλημκυῖα τῷ Θεῷ, προνοουμένη τοῦ τὴν τέ-
χνην τὴν ἐνυπάρχουσαν αὐτῷ μὴ κενοπαθῆσαι, οὐκ οὔσης c
οὐσίας, ἣ ὁμιλῆσαι δυνάμενος κατεκόσμησε τὸ τηλικοῦτον
5 κόσμου κάλλος. Πόθεν δὲ καὶ δεκτικὴ γεγένηται πάσης ἧς
βούλεται ὁ Θεὸς ποιότητος, μὴ αὐτοῦ τοῦ Θεοῦ ἑαυτῷ το-
σαύτην καὶ τοιαύτην ποιήσαντος, ὁποίαν ἔχειν ἐβούλετο;
6 Καθ' ὑπόθεσιν γοῦν ἀποδεξάμενοι τὸ ἀγέννητον εἶναι τὴν
ὕλην, ταῦτα ἐροῦμεν πρὸς τοὺς τοῦτο βουλομένους, ὅτι εἰ
προνοίας οὐχ ὑποβαλλούσης τὴν οὐσίαν τῷ Θεῷ τοιαύτη
γεγένηται, εἰ πρόνοια ἦν ὑφεστῶσα, τί ἂν πλέον πεποιήκει d
7 τοῦ αὐτομάτου; Καὶ εἰ αὐτὸς, μὴ οὔσης ὕλης, ἐβούλετο
κατασκευάσαι αὐτὴν, τί ἂν πλέον ἡ σοφία καὶ ἡ θειότης
αὐτοῦ πεποιήκει τοῦ ἐξ ἀγεννήτου ὑποστάντος; Εἰ γὰρ εὑ-
ρίσκεται ταυτὸν γενόμενον ἂν ὑπὸ τῆς προνοίας, ὅπερ καὶ
χωρὶς προνοίας ὑπέστη, διὰ τί οὐχὶ καὶ ἐπὶ τοῦ κόσμου
8 ἀθετήσομεν τὸν δημιουργὸν καὶ τὸν τεχνίτην; Ὥσπερ γὰρ
ἄτοπον ἐπὶ τοῦ κόσμου εἰπεῖν οὕτω τεχνικῶς κατεσκευασμέ-

b 10. ὑποβεβλημκυῖα] ὑποβεβλημκέναι C.F.G. 11. τὴν] τοῦ τὴν C.E.F.G.I. c 4. δεκτικὴ] δεκτικὸς E.I. δεκτικὸν F. 8. εἶναι τὴν ὕλην] τὴν ὕλην εἶναι B.C.G. d. ὑφεστῶσα] ἐφεστῶσα B.C.F.G. 2. αὐτὸς] ὁ αὐτὸς E. 9. τὸν τεχνίτην] τὸν om. C.G. 10. ὥσπερ γὰρ —ἄλογον om. B. εἴπερ pro ὥσπερ F.G.

necessario fuerit, quæ materiam ei subjecerit, dum id ea provideret in poste-
rum, ne quas in sese Deus haberet artis suæ notiones, irritæ cederent, si
non ejus naturæ copia fieret, cujus opera tam excellentem et eximiam
5 universi speciem efficeret. Unde porro id habuit, ut omnis ejus qualitatis
capax esset, quam eidem imprimere Deus voluisset, nisi qualem eam
6 habere ipse vellet, talem ante sibi tantamque molitus erit? Jam ut non-
nullis daremus ortu carere materiam, iis tamen qui sic opinantur, hunc in
modum instare possemus. Si quantumvis naturam illam Deo providentia
nulla subjecerit, ejusmodi tamen ea per sese fuit: eandem si providentia
suopte consilio procreasset, ecquid amplius ipsa, quam quod fortuito casu-
7 que factum videmus, effecisset? Quid si Deus ipse materiam, quæ nulla
dum esset, fingere molirique statuisset? ecquid tandem ejus cum sapientia,
tum divinitas excellentius, quam quod ex ortu carente materia extitit, mo-
litus esset? Nam si ex providentia idem omnino profecturum erat, quod
sine providentia factum est: quidni ex ipso quoque mundo auctorem
8 omnem artificemque tollamus? Quemadmodum enim absurdum fuerit,
mundum hunc dicere, tam eleganter apteque constructum, absque sapientis

νου τὸ χωρὶς τεχνίτου σοφοῦ αὐτὸν τοιοῦτον γεγονέναι, ΩΡΙΓΕΝΟΥΣ
[198] οὕτω καὶ τὸ τὴν ὕλην, τοσαύτην καὶ τοιαύτην καὶ οὕτως εἰκτικὴν τῷ τεχνίτῃ, λόγῳ Θεοῦ, ὑφεστηκέναι ἀγεννήτως p. 336
9 ἐπίσης ἐστὶν ἄλογον. Πρός μέντοί γε τοὺς παραβάλλοντας, ὅτι οὐδεὶς δημιουργὸς χωρὶς ὕλης ποιεῖ, λεκτέον ὅτι ἀνομοίως παραβάλλουσι. Πρόνοια γὰρ παντὶ τεχνίτῃ ὑποβάλλει τὴν ὕλην ἀπὸ προτέρας τέχνης, ἢ θείας ἢ ἀνθρωπίνης, ἐρχομένην. Ταῦτα μὲν οὖν ἐπὶ τοῦ παρόντος ἀρκέσει πρὸς τοὺς διὰ τὸ λέγεσθαι, Ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος, οἰομένους ἀγέννητον εἶναι τὴν σωματικὴν φύσιν. b

Τοσαῦτα καὶ οὗτος. Καὶ ὁ Ἑβραῖος δὲ Φίλων ἐν τῷ Περὶ τῆς Προνοίας ταῦτα περὶ τῆς ὕλης διέξεισι·

21 Περὶ δὲ τοῦ ποσοῦ τῆς οὐσίας, εἰ δὴ γέγονεν ὄντως, ἐκεῖνο λεκτέον. Ἐστοχάσατο πρὸς τὴν τοῦ κόσμου γένεσιν ὁ Θεὸς αὐταρκεστάτης ὕλης, ὡς μήτ' ἐνδέοι μήθ' ὑπερβάλλοι. Καὶ γὰρ ἄτοπον ἦν, τοῖς μὲν κατὰ μέρος τεχνίταις, ὁπότε ΦΙΛΩΝΟΣ c

d 12. αὐτοτοιοῦτον] αὐτὸν τοιοῦτον D.E.F.G.I.

p. 336. τοιούτως I. pro οὕτως. εἰκτικὴν] δικτικὴν C. 3. ἄλογον] ἀλόγων E.I. 4. οὐδεὶς δημ.] δημ. οὐδεὶς C.F.G. 7. ἢ ἀνθ. ἢ θείας] ἢ θείας ἢ ἀνθ. B.C.D.F.G. 8. ταῦτα] τοσαῦτα B.C.D.F.G. qui om. ἐπὶ τοῦ παρ. ἀρκ. τοσαῦτα item S.V. b. τοσαῦτα καὶ οὗτος om. B. C.D.F.G. 2. τῆς προνοίας] τῆς om. B.C.F.G. 6. Περὶ δὲ] Vide de h. l. disputantem Beausobrium Hist. Manich. T. II. p. 185. c. γένεσιν] σύστασιν B. 3. τοῖς—τεχνίταις] ἴσ. τοὺς—τεχνίτας Vigeri marg. μὲν κατὰ μ. τεχνίταις] κατὰ μ. τεχνίτου B.

artificis manu talem extitisse: ita vim materiæ tantam, ejusque conditionis et naturæ, adeoque artifici Numinis rationi obsequentem, sine ortus sui
9 principio per se ipsam extitisse, non minus ineptum videri debet. Cæterum iis qui artificum nostrorum comparationem obtendunt, quorum nemo sine materia quicquam efficiat, occurrendum, nullam eorum hoc in genere similitudinem esse. Materiam enim artifici cuilibet providentia subjicit, quæ a principe quadam, seu humana illa, seu divina sit, arte oriatur. Atque hæc in præsentiarum adversus eos satis erunt, qui quod ita scriptum videant, *Terra autem erat invisibilis, et vacua,* naturam corpoream ortus omnis expertem esse opinantur.

Huc usque Origenes. Cui Philonem Hebræum subjiciam, in suo De Providentia libro, his verbis de materia disputantem: Philo. T. II. p. 625. ed. Mang.

21 Jam, inquit, moles hujus naturæ tanta, ortumne aliquem habuerit, statuendum nobis est. Deus ergo, cum de mundi hujus molitione cogitaret, tantum certo providit materiæ, nihil ut ad eam deesset omnino, vel omnino superesset. Absurdum enim plane foret, artificum nostrorum vulgus, in

ΦΙΛΩ-
ΝΟΣ

τι δημιουργοῖεν, καὶ μάλιστα τῶν πολυτελῶν, τὸ ἐν ὕλαις
αὔταρκες σταθμήσασθαι, τὸν δ' ἀριθμοὺς καὶ μέτρα καὶ τὰς
ἐν τούτοις ἰσότητας ἀνευρηκότα μὴ φροντίσαι τοῦ ἱκανοῦ.
2 Λέξω δὴ μετὰ παρρησίας, ὅτι οὔτ' ἐλάττονος οὔτε πλείονος
οὐσίας ἔδει τῷ κόσμῳ πρὸς κατασκευήν. Ἐπεὶ οὐκ ἂν ἐγέ-
νετο τέλειος, οὐδ' ἐν πᾶσι τοῖς μέρεσιν ὁλόκληρος, εὖ δὲ
δεδημιουργημένος ἐκ τελείας οὐσίας ἀπετελέσθη. Πανσόφου
γὰρ τὴν τέχνην ἴδιον, πρὶν ἄρξασθαί τινος κατασκευῆς, τὴν d
3 ἱκανὴν ἰδεῖν ὕλην. Ἄνθρωπος μὲν οὖν κἂν εἰ τῶν ἄλλων τὴν
ἐπιστήμην διαφέροι, μὴ δυνάμενος κατὰ τὸ παντελὲς ἐκφυ-
γεῖν τὴν συγγενῆ τῶν θνητῶν πλάνην, ἀπατῷτο ἂν ἴσως
περὶ τὴν ποσότητα τῆς ὕλης, ὁπότε τεχνιτεύοι· τοτὲ μέν, ὡς
ἔλαττον προστιθέναι, τοτὲ δέ, ὡς περιττῆς ἀφαιρεῖν· ὁ δὲ
πηγή τις ὢν ἐπιστημῶν, ἐνδέον ἢ περιττεῦον οὐδὲν ἔμελλεν
ὑποβάλλεσθαι, μέτροις ἅτε χρώμενος εἰς ἀκρίβειαν ὑπερφυῶς

c 6. σταθμήσασθαι] σταθμήζεσθαι E. σταθμήσεσθαι I. 7. ἀνευρη-κότα] ἀνευρίσκοντα B.C.D.G. 8. καὶ μετὰ παρρησίας ὅτι οὐκ F.G. 11. ἐγεγένητο] ἐγγένηται B. ἐγένετο E.I. 12. εὖ] εὖ δὲ D.F.G.I.S.V. Tum δεδημιουργημένον S. Mox ante ἐκ τελείας addit εἰ μὴ Vigerus in marg. e conj. 13. ἀποτετέλεσται] ἀπετελέσθη B.C.F.G.I. ἀπετετελέ-σθαι D. ἀπετελέσθαι E. d 3. ἄνθρωπος—ὕλαις om. B. οὖν—τὴν ἐπιστήμην διαφέροι] γὰρ—τῇ ἐπιστήμῃ διαφέρῃ C.D.F.G. 7. τεχνι-τεύοι] τεχνιτεύει C.D.F.G. 8. ἔλαττον] ἐλάττονι conj. Vigerus. 9. ἀφαιρεῖν] ἀφορεῖν C.

singula quæ præ manibus habeant opera, eaque præsertim quæ majoris
pretii futura sint, materiæ quantum satis fuerit, ad pondus exigere: qui
numeros mensurasque rerum, justasque singulorum inter se proportionis
æqualitatisque rationes invenit, eum nihil de materiæ vi necessaria cogi-
2 tasse. Dicam igitur hoc libere, nec pauciore, nec copiosiore materia, ad
hujus mundi procreationem opus fuisse. Alioqui nunquam is usque adeo
perfectus extitisset, nec in omnibus ac singulis partibus tam integre soli-
deque compactus, nisi ex integra perfectaque natura constitisset. Prudentis
enim ac periti artificis est, antequam in opus incumbat, materiæ quantum
3 opus fuerit præ oculis habere. Et homo quidem, ut cæteris etiam cogni-
tione præstet, quia tamen vix unquam ab eo penitus errore, qui ad mortales
cognatione quadam adhæréscit, liber esse potest, suis in operibus, a justa
materiæ vi aberrarit forte nonnunquam, ut eum vel pauciori aliquid addere,
vel ex ampliori detrahere nonnihil oporteat. At vero Deus, fons, inquam,
ille cognitionis omnis atque scientiæ, amplius quicquam minusve quam par
esset, adhibere non potuit, cum omnibus mensurarum ponderumque ra-

4 πεπονημένοις ἅπασιν ἐπαινετοῖς. Ὁ δὲ βουλόμενος ἄλλως p. 337 ὑθλεῖν, οὐκ ἂν φθάνοι καὶ τὰ πάντων ἔργα τῶν τεχνιτῶν αἴτια τιθέμενος, ὡς ἄμεινον τῆς κατασκευῆς ἐπιλαχόντα προσθέσει τινὸς ἢ μειώσει τῶν ἐν ὕλαις. Ἀλλὰ γὰρ σοφιστείας μὲν ἔργον εὑρεσιλογεῖν, σοφίας δὲ, ἕκαστα διερευνᾶν τῶν ἐν τῇ φύσει.

ΦΙΛΩΝΟΣ

5 Καὶ τὰ μὲν τοῦ Φίλωνος τοῦτον ἐχέτω τὸν τρόπον. Μαξίμῳ δὲ τῆς Χριστοῦ διατριβῆς οὐκ ἀσήμῳ ἀνδρὶ καὶ λόγος οἰκεῖος συγγέγραπται ὁ Περὶ τῆς Ὕλης. Ἐξ οὗ μοι δοκῶ μέτρια χρησίμως παραθήσεσθαι ἐς ἀκριβῆ τοῦ προβλήματος ἔλεγχον. b

22 Ὅτι μὲν ἀδύνατον ὑπάρχειν ἀγέννητα δύο ἅμα, οὐδέ σε ἀγνοεῖν νομίζω, εἰ καὶ τὰ μάλιστα δοκεῖς προλαβὼν τοῦτο προστεθεικέναι τῷ λόγῳ, τὸ πάντως ἐξ ἀνάγκης τὸ ἕτερον δεῖν λέγειν, ἢ ὅτι κεχώρισται τῆς ὕλης ὁ Θεὸς, ἢ αὖ πάλιν,
2 ὅτι ἀμέριστος αὐτῆς τυγχάνει. Εἰ μὲν οὖν ἡνῶσθαί τις αὐ- c

ΜΑΞΙΜΟΥ

d 12. ἅπασιν ἐπαινετοῖς expungenda vult Vigerus. Forte inserendum καὶ ante ἅπασιν.

p. 337. ἄλλως om. I. 2. πάντων] πάντα C. τῶν om. D. Tum ἀντιθέμενος Vigerus in marg. qui et αἰτία τιθ. in annot. 4. προσθέσει] προθέσει D. 5. σοφιστείας] σοφιστίας B.C.F.G. εὑρεσιλ.] εὑρησιλ. B. 7. τοῦτον ἐχέτω τὸν τρόπον] ταῦτα B.C.D.F.G.S.V. 9. ἀσήμῳ] ἀσίμῳ B.C. b 4. Ὅτι μὲν] Origen. Philocal. c. 23. p. 377. ed. Tarin. Routh. Reliq. Sacr. T. I. p. 431. 6. προλαβὼν] προσλαβὼν E.

4 tionibus utatur, accurata prorsus ac perfecta mediocritate temperatis. Qui vero secus nugari voluerit, nobis ille videlicet omnia continuo cæterorum artificum objiciet opera, quorum molitio, nonnulla materiæ, vel accessione, vel detractione melius vulgo feliciusque cedit. Sed nimirum argutias sophista quærat, sapiens in rimanda rerum naturalium veritate versetur.

5 Ita Philo. Cæterum, quoniam Maximus professor Christianæ religionis non obscurus, librum quoque singularem ac proprium De Materia scripsit, juvat ex eo nonnulla proferre, quæ ad exquisitam propositæ quæstionis disceptationem conducant.

22 Equidem, inquit ille, duo simul quæ ortu careant esse non posse, quin mecum intelligas, non dubito: licet hoc ponere insuper atque addere videaris, e duobus necessarium alterutrum esse, ut vel segregatus a materia
2 Deus, vel cum eadem omnino conjunctus esse dicatur. Qui ergo tam

ΜΑΞΙΜΟΥ

τὸν εἰπεῖν ἐθέλοι, ἓν τὸ ἀγέννητον λέξει· ἑκάτερον γὰρ
τούτων μέρος ἔσται τοῦ πλησίον· ἀλλήλων δὲ μέρη τυγ-
χάνοντα, οὐκ ἔσται ἀγέννητα δύο, ὡς οὐδὲ διάφορα μέρη
κατακερματιζόμενα εἰς πολλὰ γεννητὰ, ἀλλ' ἢ ὡς ὁ λόγος
ἀπαιτεῖ, ἕν τι γεννητὸν, τὸν ἄνθρωπον, πολυμερὲς πρὸς τοῦ
Θεοῦ γεγονέναι φαμὲν, οὕτως ἀνάγκη, εἰ μὴ κεχώρισται τῆς
[199] 3 ὕλης ὁ Θεὸς, ἓν τὸ ἀγέννητον εἶναι λέγειν. Εἰ δὲ κεχω- d
ρίσθαι φήσει τις, ἀνάγκη εἶναί τι τὸ ἀνὰ μέσον ἀμφοτέρων,
ὅπερ καὶ τὸν χωρισμὸν αὐτῶν δείκνυσιν. Ἀδύνατον γὰρ ἐν
διαστάσει ἐξετάζεσθαί τι ἀπό τινος, οὐκ ὄντος ἑτέρου καθ' ὃ
ἡ διάστασις ἑκατέρου γίνεται. Ὅπερ οὐ μέχρι τούτου ἵστα-
4 ται καὶ μόνου, ἀλλὰ καὶ πλείστων ὅσων. Ὃν γὰρ ἐπὶ τῶν
δύο ἀγεννήτων εἴπομεν λόγον, τοῦτον ἐξ ἀνάγκης ὁμοίως
προχωρεῖν, εἰ τὰ ἀγέννητα δοθείη τρία. Καὶ γὰρ ἐπὶ τού-
των ἐροίμην ἂν, εἰ κεχώρισται ἀλλήλων, ἢ αὖ πάλιν ἕκαστον
5 ἥνωται τῷ πλησίον. Εἰ μὲν γὰρ ἡνῶσθαί τις εἰπεῖν ἐθέλοι,
τὸν αὐτὸν ἀκούσει τῷ πρώτῳ λόγον· εἰ δ' αὖ πάλιν κεχω-

c 2. ἐθέλοι] ἐθέλει C.F.G. Orig. θέλοι D. 3. ἔσται] ἐστι D. Mox γὰρ D. 6. ὡς.] εἰ ὡς B.F.G. ἀγέννητα ἀλλ' εἰ ὡς D. ἀλλ' ἢ ὡς Orig. 8. τοῦ θεοῦ] τοῦ om. B.C.D.F. 10. ὁ θεὸς] ὁ om. B.C.F.G. εἶναι λέγειν] λέγειν εἶναι B.C.F.G. d. φήσει] φύσει E. κεχώρισται Orig. 8. λόγον om. I. 9. δοθείη] θείη B. 11. ἢ] εἰ Orig. 12. πλησίῳ D. εἴποι] εἰπεῖν ἐθέλει E.I. ἐ. ἐθέλοι Orig. 14. κεχωρίσθαι] κεχώρισται Orig.

conjunctum esse volet, is unum duntaxat aliquid statuet, quod ortu
careat; tunc enim alterius alterum pars utique foret, quæ vero mutuam
inter sese partis rationem habent, eadem, quæ ortu careant, duo simul esse
non possunt. Nam quemadmodum hominem sic a Deo procreatum esse
dicimus, ut is non jam diversæ partes, atque in plura genita distractæ,
verum, ut ipsa ratio postulat, res una quidem genita sit, variis tamen ex
partibus constituta; sic necesse plane est, si Deum a materia sejunctum
3 esse negas, unum duntaxat aliquid, quod genitum non sit, agnoscere. Sin
ab eadem secretum esse voles, medium necessario quiddam inter utrumque
statuendum erit, quo utriusque discidium ostendatur. Nec enim unius ab
altero divortium constitui, dignoscive potest, nisi tertium aliquid suberit,
ex quo divortium illud æstimetur. Atque hæc ratio, non tantum vel in
4 hoc, vel in uno quopiam, sed etiam in pluribus locum habet. Quod enim
de duobus ortu carentibus dictum est, id similiter valere necesse erit, si
tria ponentur ortu carentia. Nam de illis eodem modo quæram, utrum
5 disjuncta illa sint, an singula inter sese conjuncta. Si conjuncta quis esse
defendet, idem ego contra, quod paulo ante argumentum opponam. Sin

ρίσθαι, οὐ φεύξεται τὴν ἐξ ἀνάγκης τοῦ χωρίζοντος ὑπό- ΜΑΞΙΜΟΥ
στασιν.
6 Ἂν δὲ ἄρα τις καὶ τρίτον εἶναι λέξῃ λόγον ὡς ἁρμόζοντα p. 338
περὶ τῶν ἀγεννήτων λέγεσθαι, τουτέστι τὸ μὴ κεχωρίσθαι
τῆς ὕλης τὸν Θεὸν, μήτ' αὖ πάλιν ὡς ἐν μέρει ἡνῶσθαι, εἶναι
δὲ καθάπερ ἐν τόπῳ τῇ ὕλῃ τὸν Θεὸν, ἢ καὶ τὴν ὕλην ἐν τῷ
Θεῷ, τὸ συνέχον ἀκουέτω, ὅτι ἐὰν τόπον τοῦ Θεοῦ τὴν ὕλην
εἴπωμεν, ἐξ ἀνάγκης αὐτὸν καὶ χωρητὸν λέγειν δεῖ, καὶ πρὸς
7 τῆς ὕλης περιγραφόμενον. Ἀλλὰ μὴν καὶ ὁμοίως αὐτὸν τῇ
ὕλῃ ἀτάκτως φέρεσθαι, μὴ ἵστασθαί τε μηδὲ μένειν αὐτὸν b
ἐφ' ἑαυτοῦ ἀνάγκῃ, τοῦ ἐν ᾧ ἐστὶν ἄλλοτ' ἄλλως φερομένου.
Πρὸς δὲ τούτοις, καὶ ἐν χείροσι γεγονέναι τὸν Θεὸν εἰπεῖν
ἀνάγκῃ. Εἰ γὰρ ἦν ποτὲ ἄκοσμος ἡ ὕλη, ἐκόσμησε δὲ αὐ-
τὴν εἰς τὸ κρεῖττον τρέψαι προαιρούμενος, ἦν ποτὲ ὅτε ἐν
8 ἀκοσμήτοις ἦν ὁ Θεός. Δικαίως δ' ἂν καὶ τοῦτον ἐροίμην
τὸν λόγον, πότερον ἐπλήρου τὴν ὕλην ὁ Θεὸς, ἢ ἐν μέρει τινὶ
τῆς ὕλης ἦν. Εἰ μὲν οὖν ἐν μέρει τινὶ τῆς ὕλης εἰπεῖν τις

p. 338. λέξει] λέξοι D. λέξῃ Orig. qui mox om. τουτέστι. 4. μήτ'] μηδ' Orig. qui μέρη pro ἐν μέρει. ὡς om. F.G. ἐν om. I. 7. εἴπωμεν] εἴπομεν B.C.F.G. 8. χωρητικὸν] χωρητὸν E.I. Orig. 9. πρὸς] πρὸ Orig. 11. μὴ ἵσ. τε] καὶ μὴ ἵσ. Orig. qui et μήτε. b 4. εἰ γὰρ ἦν—τὰ κακὰ om. B. ποτε καὶ ἄ. D.F.G. 6. ἐν ἀκ.] καὶ ἐν ἀκ. Orig. 10. εἰ μὲν οὖν—λέγει om. C.

distincta fatebitur, nunquam illius quarti necessitatem effugiet, quod hoc discidii genus efficiat.

6 Quod si tertium quiddam existimet, de illis ortu carentibus commode satis responderi posse, Deum videlicet nec penitus a materia secretum, nec tamen partis in morem cum eadem esse conjunctum; sed vel materia Deum, vel materiam ipsam Deo, sic tanquam loco proprio contineri: ex hac opinione consequens illud omnino fuerit, ut, si Dei locum materiam esse dicamus, eundem necessario et capi ab aliquo, et materia ipsa circum-
7 scribi posse fateamur. Quin etiam illum necesse erit, perinde ut materiam, perturbate ferri; nec eundem in se ipso manere semper immotumque consistere, cum illud in quo erit, huc illucque perpetuo rapiatur. Ad hæc, locum in deterioribus Deum ipsum habuisse concedendum erit. Nam si rudis olim et incondita materia fuit, eamque Deus in elegantiorem et ornatiorem speciem conformare statuit, fuit profecto, cum Deus in rudi et
8 incondita mole versaretur. Præterea hunc etiam in modum urgere liceat, utrum Deus materiam impleret universam, an in aliqua duntaxat ejus parte collocatus esset. Nam si in parte solum fuisse volent, mirum quam

ΜΑΞΙ-
ΜΟΥ

ἐθέλοι τὸν Θεὸν, πλεῖστον ὅσον μικρότερον τῆς ὕλης λέγει, c
εἰ δὴ μέρος αὐτῆς ὅλον ἐχώρησεν αὐτόν· εἰ δ' ἐν πάσῃ εἶναι
λέγοι τῇ ὕλῃ, πῶς ταύτην ἐδημιούργει φραστέον. Ἀνάγκη
γὰρ ἢ συστολήν τινα τοῦ Θεοῦ λέγειν, ἧς γενομένης ἐδημι-
ούργει ἐκεῖνο ἀφ' οὗ ὑπεχώρησεν, ἢ καὶ ἑαυτὸν τῇ ὕλῃ συν-
9 δημιουργεῖν, οὐκ ἔχοντα ὑποχωρήσεως τόπον. Εἰ δὲ τὴν
ὕλην ἐν τῷ Θεῷ εἶναί τις λέξει, ὁμοίως ἐξετάζειν δεῖ, πότερον
ὡς διϊσταμένου αὐτοῦ ἀφ' ἑαυτοῦ, καὶ ὥσπερ ἐν ἀέρι ζῴων
ὑπάρχει γένη, διαιρουμένου καὶ μεριζομένου αὐτοῦ εἰς ὑπο- d
δοχὴν τῶν γινομένων ἐν αὐτῷ, ἢ ὡς ἐν τόπῳ, τουτέστιν
10 ὥσπερ ἐν γῇ ὕδωρ. Εἰ μὲν γὰρ εἴποιμεν ὡς ἐν ἀέρι, μερι-
στὸν ἀνάγκη τὸν Θεὸν εἰπεῖν· εἰ δ' ὥσπερ ἐν γῇ τὸ ὕδωρ, ἦν
δὲ ἄτακτος ἡ ὕλη καὶ ἀκόσμητος, πρὸς δὴ τούτοις ἔχουσα καὶ
κακὰ, τὸν Θεὸν λέγειν ἀνάγκη τόπον εἶναι τῶν ἀκοσμήτων καὶ
τῶν κακῶν. Ὅπερ οὐκ εὔφημον εἶναί μοι δοκεῖ, ἐπισφαλὲς
δὲ μᾶλλον. Ὕλην γὰρ εἶναι θέλεις, ἵνα μὴ τῶν κακῶν ποιη-
τὴν εἴπῃς τὸν Θεὸν, καὶ τοῦτο φεύγειν προαιρούμενος, δο-
χεῖον αὐτὸν τῶν κακῶν εἶναι λέγεις.

b 11. ἐθέλοι] ἐθέλει Orig. c. εἰ δὲ] εἰ δὴ C.F.G. εἴγε Orig. 2. λέγοι] λέγει C. Orig. λέγει εἶναι F.G. 3. φραστέον] φρασάτω I. Orig. 8. λέξοι] λέξει C.E.I. Orig. d. γινομένων] γενομένων C. Tum ἐν addunt E.I. Orig. 2. τουτέστιν om. Orig. qui mox εἴπωμεν. εἰ μὲν γὰρ—ὕδωρ C. in marg. τὸ om. D. 5. ἀκόσμητος] ἄκοσμος C. D.F.G. 8. μοι] μὴ F.

angustiorem illi nobis materia Deum faciunt, cum pars ejus aliqua Deum integrum contineret. Sin totam ab eo materiam occupatam esse dicent, dicant ipsi quoque, quemadmodum eam elaborare Deus ac perpolire potuerit. Siquidem aut sese Deum collegisse necesse erit, itaque partem eam conformasse, ex qua secesserat; aut, quod loci, in quem secederet,
9 nihil omnino superesset, cum materia se ipsum una conformasse. Jam vero, si materiam in Deo esse respondeant, quærendum similiter fuerit, utrum sic in eo statuatur, ut a se ipso quasi disjunctus ille distractusque sit, quomodo sic in aëre tot animantium genera versantur, ut idem ad ea capienda quæ in ipso fiunt, aliquam partium suarum divisionem patiatur:
10 an potius, tanquam in loco, hoc est, ut aqua in terra collocatur. Si quemadmodum in aëre; Deum jam habemus, qui in partes distrahi secarique possit. Sin ut aqua in terra est, materia vero perturbata atque indigesta erat, adeoque mala gremio suo continebat; superest omnino, ut ipsum quoque Deum, et rerum imperfectarum, et malorum sedem ac locum esse dicamus. Quod mihi quidem cum minus religiose dici, tum abs te periculosius responderi videretur. Quippe materiam enim esse vis, ne malorum auctorem Deum esse fatearis: idem tamen, ut hoc ipsum effugias, malorum eum receptaculum agnoscere cogeris.

11 Εἰ μὲν οὖν τὴν ὕλην ἐκ τῶν ὑποστάντων γενητῶν ὑπονοεῖν ἀγέννητον ὑπάρχειν ἔλεγες, πολὺν ἂν περὶ αὐτῆς ἐποιησάμην λόγον, εἰς ἀπόδειξιν τοῦ ὅτι ἀδύνατον ὑπάρχειν αὐτήν· ἐπεὶ δὲ τὴν τῶν κακῶν γένεσιν αἰτίαν ἔφησθα εἶναι τῆς τοιαύτης ὑπονοίας, διὰ τοῦτ᾽ ἐπὶ τὴν ἐξέτασιν τούτων ἔρχεσθαί μοι δοκῶ. Φανεροῦ γὰρ γενομένου τοῦ λόγου καθ᾽ ὃν τρόπον ἐστὶ τὰ κακὰ, καὶ ὅτι οὐχ οἷόν τε ἐστὶν ἀναίτιον τῶν κακῶν εἰπεῖν τὸν Θεὸν ἐκ τοῦ ὕλην αὐτῷ ὑποτιθέναι, τὴν τοιαύτην ὑπόνοιαν ἀναιρεῖσθαί μοι δοκεῖ. MAΞIMOT p. 339

12 Φῂς τοίνυν ἄποιον ὕλην συνυπάρχειν τῷ Θεῷ, ἐξ ἧς τήνδε τοῦ κόσμου γένεσιν ἐδημιούργησεν. b

Οὕτω μοι δοκεῖ.

13 Οὐκοῦν εἰ ἄποιος ἐτύγχανεν ἡ ὕλη, γέγονε δὲ κόσμος πρὸς τοῦ Θεοῦ, ἐν δὲ τῷ κόσμῳ αἱ ποιότητες, τῶν ποιοτήτων ποιητὴς γέγονεν ὁ Θεός.

Οὕτως ἔχει.

14 Ἐπεὶ δέ σου καὶ λέγοντος ἔμπροσθεν ἤκουον, ὡς ἀδύνατον [200] ἐξ οὐκ ὄντων γίνεσθαί τι, πρὸς τὴν ἐρώτησιν ἀπόκριναι τὴν

d 13. ἀγέννητον ὑπονοεῖν ὑπ. Orig.

p. 339. 5. ἔχεσθαι] ἔρχεσθαι C.G.I. Orig. 6. γενομ.] γινομ. C.D.F.G. 8. αὐτὸν] αὐτῷ B.C.F.G.I. Orig. 9. μοι δοκεῖ] νόει Orig. b. τοῦ κοσ.] τὴν τοῦ κοσ. C.F.G. 4. ποιότης] ποιητὴς E.I. Orig. vid. p. 340 b 9. 6. ἤκουον] ἤκουσα Orig.

11 Et sane si ex rerum genitarum ortu atque natura in eam te mentem adductum esse diceres, ut ortu carere materiam putares; ita rem habere non posse, pluribus equidem rationibus ostenderem. Nunc quoniam malorum procreationem hanc tibi suspicionem movisse ais, singularem propterea de illis disputationem instituendam putavi. Nam ubi semel intellectum erit, quemadmodum existant mala, ac simul qui Deum materia usum esse dicat, ei quoque Deum malorum auctorem habendum esse constiterit, tum una suspicionem istam funditus sublatum iri existimo.

12 Tu ergo materiam ab omni qualitate vacuam, ex qua Deus mundum hunc procrearit, cum eo simul esse contendis.

Ita mihi quidem videtur.

13 Ergo si ab omni qualitate vacua materia fuit, et procreatus a Deo mundus est, et qualitates in mundo sunt, istarum profecto qualitatum auctor Deus est.

Utique.

14 Quoniam igitur ex te ipso paulo ante audiebam, ex nihilo fieri nihil omnino posse: hoc tu mihi respondeas velim. Existimas, ni fallor, mundi

ΜΑΞΙ-ΜΟΥ

ἐμήν· δοκεῖς μοι τὰς τοῦ κόσμου ποιότητας μὴ ἐξ ὑποκει-
μένων ποιοτήτων γεγονέναι δοκεῖν, ἕτερον δέ τι παρὰ τὰς
οὐσίας ὑπάρχειν αὐτάς.

Οὕτως ἔχει.

15 Εἰ μὲν οὖν μὴ ἐξ ὑποκειμένων ποιοτήτων τὰς ποιότη- c
τας ἐδημιούργησεν ὁ Θεός, μήτε ἐκ τῶν οὐσιῶν, τῷ μηδὲ
οὐσίας αὐτὰς εἶναι, ἐκ μὴ ὄντων αὐτὰς ὑπὸ τοῦ Θεοῦ γεγο-
νέναι εἰπεῖν ἀναγκαῖον. Ὅθεν περιττῶς ἐδόκεις μοι λέγειν,
ἀδύνατον εἶναι δοξάζειν ἐξ οὐκ ὄντων γεγονέναι τι πρὸς
16 τοῦ Θεοῦ. Ἀλλ' ὁ μὲν περὶ τούτου λόγος ὧδε ἐχέτω.
Καὶ γὰρ παρ' ἡμῖν θεωροῦμεν ἀνθρώπους ἐξ οὐκ ὄντων
ποιοῦντάς τινα, εἰ καὶ ὅτι μάλιστα δοκοῦσι ποιεῖν ἔν τινι,
οἷον ἐπὶ τῶν ἀρχιτεκτόνων τὸ παράδειγμα λάβωμεν. Καὶ
γὰρ οὗτοι ποιοῦσι πόλεις οὐκ ἐκ πόλεων, καὶ ναοὺς ὁμοίως
17 οὐκ ἐκ ναῶν. Εἰ δ', ὅτι τούτοις οὐσίαι ὑπόκεινται, οἴει ἐξ d
ὄντων αὐτοὺς ταῦτα ποιεῖν, σφάλλῃ τῷ λόγῳ. Οὐδὲ γὰρ ἡ
οὐσία ἐστὶν ἡ ποιοῦσα τὴν πόλιν, ἢ αὖ πάλιν τοὺς ναούς, ἀλλ'
ἡ περὶ τὴν οὐσίαν τέχνη· ἡ δὲ τέχνη οὐκ ἐξ ὑποκειμένης τινὸς

b 8. δοκεῖς μοι] καὶ σοὶ Orig. 9. γεγονέναι δοκεῖν] γενέσθαι δοκεῖ Orig. 11. μὲν om. I. c 4. περιττὸς D. 5. συλλελόγισται ὡς οὐκ om. C.F.G.I. Orig. ante ἀδύνατον. 9. ὅτι] οὗτοι Orig. δοκοῦσι] δοκοῦσιν οὗτοι I. 10. ποιεῖν ἔν τινι] ποιοῦντας τινὰ B.C. τινα F.G. d 2. ὄντων] οὐκ ὄντων Orig. αὐτοὺς om. B.C.D.F.G. 4. αὖ] αὖ πάλιν I. Orig. Mox τοὺς νεὼς I. 5. οὐκ om. E.

qualitates neque subjectis ex qualitatibus factas esse, et tamen a naturis esse distinctas.

Omnino.

15 Si ergo qualitates a Deo, neque subjectis ex qualitatibus, neque etiam ex naturis productæ sint, quod naturæ non sint, eas ex nihilo certe quidem productas esse necesse est. Quare, frustra, opinor, tuis id argumentis effectum esse dicebas, nihil ut omnino Deus ex nihilo efficere potuisse cre-
16 deretur. Quanquam hunc etiam in modum hac ipsa de re disputare licet. Ab hominibus interdum videmus, ex eo quod nusquam est nonnulla fieri, ut in alio quopiam susceptum opus efficere maxime videantur. Nam, ut in architectis exemplum statuamus, urbes illi quidem, non tamen ex urbi-
17 bus; templa quoque non ex templis ædificant. Si enim quod substantiæ quædam iis subjectæ sint, illos idcirco ex iis quæ ante jam essent, ista moliri existimes, tuum te fallit argumentum. Nec enim ejusmodi substantia, vel urbem, vel templum, efficit, sed ea tantum ars, quæ circa substantiam versatur. Ars ista porro, non jam ex simili quodam artis genere,

ἐν ταῖς οὐσίαις τέχνης γίνεται, ἀλλ' ἐξ οὐκ οὔσης ἐν αὐταῖς MAΞI-MOY
18 γίνεται. Ἀπαντήσειν δέ μοι δοκεῖς οὕτω τῷ λόγῳ, ὅτι ὁ τεχνίτης ἐξ ἧς ἔχει τέχνης τὴν ἐν τῇ οὐσίᾳ τέχνην ποιεῖ. Πρὸς δὲ τοῦτο λέγεσθαι τοῦτ' εὖ ἔχειν μοι δοκεῖ, ὅτι οὐδὲ ἐν τῷ ἀνθρώπῳ ἔκ τινος ὑποκειμένης τέχνης γίνεται. Οὐ γὰρ ἔνεστιν αὐτὴν ἐφ' ἑαυτῆς οὖσαν δοῦναι τὴν τέχνην· τῶν γὰρ συμβεβηκότων ἐστὶν, καὶ τῶν τότε τὸ εἶναι λαμβανόντων,
19 ὁπόταν ἐν οὐσίᾳ γίνωνται. Ὁ μὲν γὰρ ἄνθρωπος καὶ χωρὶς p. 340
τῆς ἀρχιτεκτονικῆς ἔσται· ἡ δ' οὐκ ἔσται, ἐὰν μὴ πρότερον ἄνθρωπος ᾖ. Ὅθεν τὰς τέχνας ἐξ οὐκ ὄντων εἰς ἀνθρώπους πεφυκέναι γίνεσθαι λέγειν ἀναγκαῖον. Εἰ τοίνυν τοῦτο οὕτως ἔχον ἐπ' ἀνθρώπων ἐδείξαμεν, πῶς οὐχὶ προσῆκε τὸν Θεὸν μὴ μόνον ποιότητας ἐξ οὐκ ὄντων φάναι δύνασθαι ποιεῖν, ἀλλὰ καὶ οὐσίας; Τῷ γὰρ δυνατὸν φανῆναι γίνεσθαί
20 τι ἐξ οὐκ ὄντων, τὸ καὶ τὰς οὐσίας οὕτως ἔχειν δείκνυται.

Ἐπεὶ δὲ πόθος ἐστί σοι περὶ τῆς τῶνκακῶν γενέσεως ζητεῖν, b
ἐπὶ τὸν τούτων ἐλεύσομαι λόγον. Καί σου βραχέα πυθέσθαι

d 10. πρὸς δὲ τοῦτο—γίνωνται om. B. εὖ ἔχειν μοι] ἔχειν μὴ Orig. 12. οὐ] οὐδὲ Orig. 13. ἑαυτῆς] ἑαυτὴν C.D.F.G. 14. τὸ om. Orig. qui infra γένηται.

p. 340. 4. γίνεσθαι λέγειν] λέγεσθαι (nescio an B.) 6. ἐδείξαμεν] Ad h.l. E. in marg. ὅτι ἐκ τῶν ποιοτήτων καὶ τὴν οὐσίαν οὕτως ἐδείξαμεν. 7. τὸν θεὸν] τῷ θεῷ C.F.G. Mox τὰς ποιότητας Orig. 9. τὸ γὰρ] τῷ γὰρ B.C. Orig. γίνεσθαι—δείκνυται] δύνασθαι ποιεῖν, ἀλλὰ καὶ οὐσίας B. 10. οὕτως om. D. 11. ἐπεὶ δὲ] ἐπειδὴ δὲ C. ἐπειδὴ F. ἐστί σοι] σοι ἔσται B.

quod iis substantiis includatur, existit, sed ex nulla prorsus antegressa in
18 illis arte perficitur. At enim occurres, artificem ex ea demum qua præditus arte est, artem in substantia geminam efficere. Atqui ne in ipso quidem homine, ex antegressa quadam arte ars illa perficitur. Nec enim fas est artem, quæ per se ipsa sit, ullam statuere, cum accidentium, adeoque rerum illarum ex genere sit, quæ tum primum alterius beneficio esse
19 incipiunt, cum in substantia producuntur. Etenim, ut architectura nulla sit, homo tamen erit: eadem, si non prius homo fuerit, esse nulla poterit. Ita concludendum necessario est, ejusmodi artium esse naturam, ut in hominibus ex eo quod nusquam est oriantur. Quod si verum in hominibus esse ostendimus, quisquamne porro negare audeat, ex nihilo vel qualitates, vel ipsas quoque substantias a Deo fieri posse? Nam quæ ratio fieri omnino quicquam ex nihilo posse demonstrat, eadem in substantiis quoque valere debet.

20 Sed quoniam de malorum procreatione aliquid audire gestis, in eam deinceps disputationem ingrediar. Ac primum pauca ex te sci sci-

ΜΑΞΙΜΟΥ

βούλομαι. Τὰ κακὰ πότερον οὐσίαι σοι δοκοῦσιν εἶναι, ἢ ποιότητες οὐσιῶν;

Ποιότητας οὐσιῶν εὖ ἔχειν λέγειν μοι δοκεῖ.

21 Ἡ δὲ ὕλη ἄποιος ἦν καὶ ἀσχημάτιστος;

Οὕτω προλαβὼν ἐξεῖπον τῷ λόγῳ.

Οὐκοῦν εἰ τὰ κακὰ ποιότητες ὑπάρχουσιν οὐσιῶν, ἡ δὲ ὕλη ἄποιος ἦν, τῶν δὲ ποιοτήτων ποιητὴν εἶπας τὸν Θεὸν εἶναι, ἔσται καὶ τῶν κακῶν δημιουργὸς ὁ Θεός. Ὅτε τοίνυν οὐδ' οὕτως ἀναίτιον τῶν κακῶν δυνατὸν εἰπεῖν τὸν Θεόν, ὕλην αὐτῷ προσάπτειν περιττὸν εἶναί μοι δοκεῖ. Εἰ δέ τι πρὸς C
22 ταῦτα λέγειν ἔχεις, ἄρχου τοῦ λόγου. Εἰ μὲν ἐκ φιλονεικίας ἡμῖν ἡ ζήτησις ἐγίνετο, οὐκ ἂν δεύτερον περὶ τῶν κακῶν ἠξίουν ὁρίζεσθαι· ἐπεὶ δὲ φιλίας ἕνεκα μᾶλλον καὶ τῆς πρὸς τὸν πλησίον ὠφελείας τὴν ἐξέτασιν ποιούμεθα τῶν λόγων, ἄνωθεν περὶ τούτων ὁρίζεσθαι ἀξιῶ συγχωρεῖν. Τὴν μὲν προαίρεσιν τὴν ἐμὴν ἐκ πολλοῦ σοι φανερὰν εἶναι δοκῶ, καὶ τὴν ἐν τοῖς λόγοις σπουδήν, ὅτι οὐ πιθανῶς εἰπὼν ψεῦδος

b 4. λέγειν om. B.C.D.F.G. 6. λόγῳ] Addit E. περὶ τῆς τῶν κακῶν γενέσεως. 9. ποιητὴν] ποιητὴς B. ποιότης F.G. 11. εἰπεῖν δύνατον] δύνατον εἰπεῖν B.C.D.F.G. Orig. c τι] τις F. 2. ἄρχου] ἄρχε Orig. ubi mox εἰ μὲν γάρ. 3. ἐγίνετο] γέγονεν B. 6. πρὸς τὸν] πρὸς τῶν Orig. 8. ἀξιῶ συγχ.] συγχ. ἀξιῶ B.C.F.G. συγχωρεῖν om. Orig. 9. σοι om. C.F.G.

tari libet. Utrum ergo mala substantias, an substantiarum qualitates esse putas?

Substantiarum qualitates, inquis.

21 Atqui materia ut qualitate, sic figura omni spoliata erat:

Hoc enim jam ante posito, institutam disputationem persequutus sum.

Igitur, si et substantiarum qualitates mala sunt, et materia qualitate omni carebat, Deum porro qualitatum auctorem esse confessus es; erit idem malorum etiam architectus. Itaque Deo materiam adjungere supervacaneum est, cum ne sic quidem malorum procreatione solutum et immunem Deum habere possis. Tu, si quid habes, quod huic argumento re-
22 spondeas, incipe vero. Et quidem si contentionis et pugnæ studio, hæc a nobis suscepta disputatio foret, malorum rationem in quæstionem iterum vocari non paterer. Sed quoniam amicitia potius, et proximi utilitas in hujusmodi nos sermonem adduxit, age, hanc de integro quæstionem disceptare liceat. Equidem sensum tibi meum, quidve hac in disputatione sequar, notum abunde tibi et exploratum esse non dubito: hoc me nimirum agere, non ut verisimilibus argumentis falsum extorqueam, sed ut accurata

νικῆσαι θέλω, ἀλλὰ δειχθῆναι τὴν ἀλήθειαν μετὰ ἀκριβοῦς d ΜΑΞΙΜΟΥ ἐξετάσεως, καὶ σὲ δὲ οὕτω διακεῖσθαι σαφῶς ἐπίσταμαι· ὅθεν οἵῳ τρόπῳ χρώμενος νομίζεις δύνασθαι τὸ ἀληθὲς εὑρεῖν, τούτῳ χρῆσαι μηδὲν δυσωπούμενος. Οὐ γὰρ σεαυτὸν ὠφελήσεις μόνον χρησάμενος τῷ κρείττονι, ἀλλὰ πάντως κἀμὲ περὶ ὧν ἀγνοῶ.

23 Σαφῶς παραστῆναί μοι δοκεῖς καὶ τὰ κακὰ οὐσίας ὑπάρχειν τινάς· οὐδὲ γὰρ ἐκτὸς οὐσιῶν αὐτὰ ὄντα βλέπω. Ἐπεὶ [201] τοίνυν, ὦ οὗτος, καὶ τὰ κακὰ οὐσίας εἶναι λέγεις, ἀνάγκη τὸν τῆς οὐσίας ἐξετάζειν λόγον. Δοκεῖ σοι τὴν οὐσίαν σωματικήν τινα σύστασιν εἶναι;

Δοκεῖ.

24 Ἡ δὲ σωματικὴ σύστασις αὐτὴ ἐφ᾽ ἑαυτῆς ὑπάρχει οὐ p. 341 δεομένη τινὸς, οὗ γενομένου τὸ εἶναι λήψεται;

Οὕτως ἔχει.

25 Δοκεῖ δέ σοι τὰ κακὰ ἐνεργείας εἶναί τινος;

Οὕτω μοι φαίνεται.

c 12. θέλων D. d. σε δὲ] δὲ om. F G. 2. ὅθεν οἵῳ—βλέπω om. B. 3. δύνασθαι D. Mox τοῦτο D. et infra om. μόνον. 4. τούτῳ χρῆσαι] οὕτως χρῆσθαι I.S.V. 5. μόνον om. F.G. 8. δοκεῖς] δοκεῖ C.D.F.G.I. παραθεῖναί μοι δοκεῖ E. 9. οὐδὲ] οὐ Orig. 11. τὸν τῆς] καὶ τὸν τῆς Orig. 13. σωματικήν τινα σύστασιν εἶναι; δοκεῖ] σύστασίν τινα εἶναι C.F.G. στάσιν D.

p. 341. 2. οὐ] μὴ B.C.D.F.G. 3. δέ σοι] σοι δὲ C.F.G. Mox τινος εἶναι B.

disquisitione illustratum et confirmatum verum habeamus. Nec alio te animo esse, prorsus intelligo. Qua te ergo ratione verum assequi posse arbitraris, ea tibi libere atque ingenue utendum statue. Nam dum eo, quod melius est, abuteris, rem utique non tibi modo, sed etiam mihi, quem ignorantia liberabis, perutilem feceris.

23 Nunc igitur substantias quasdam, opinor, mala esse voles, quod ea, præterquam in substantiis, nusquam omnino videantur. Ergo, bone vir, cum substantias mala esse putes, sequitur profecto ut excutienda nobis substantiæ natura sit. An tu substantiam corporeæ molis coagmentationem aliquem esse arbitraris?

Arbitror vero.

24 Ista porro corporea moles num ita existit ipsa per sese, nullius ut opem omnino desideret, ac eo præsente tum esse incipiat?

Prorsus.

25 Quid? Num tibi mala in actione quadam videntur esse posita?

Videntur sane.

ΜΑΞΙΜΟΥ

26 Αἱ δὲ ἐνέργειαι τότε τὸ εἶναι λαμβάνουσιν, ὁπότ' ἂν ὁ
ἐνεργῶν παρῇ;

Οὕτως ἔχει.

27 Οὐκ ὄντος δὲ τοῦ ἐνεργοῦντος, οὐδ' ὅπερ ἐνεργεῖ ἔσται
ποτέ;

Οὐκ ἔσται.

28 Οὐκοῦν εἰ ἡ οὐσία σωματική τις ἐστὶ σύστασις, αὕτη δὲ οὐ
δεῖταί τινος, ἐν ᾧ γενομένη τὸ εἶναι λήψεται, τὰ δὲ κακὰ
ἐνέργειαι ὑπάρχουσί τινος, αἱ δὲ ἐνέργειαι δέονταί τινος, ἐν b
ᾧ γενόμεναι τὸ εἶναι λαμβάνουσιν, οὐκ ἔσονται οὐσίαι τὰ
29 κακά. Εἰ δὲ οὐσίαι τὰ κακὰ, κακὸν δὲ ὁ φόνος, οὐσία ἔσται
ὁ φόνος· ἀλλὰ μὴν ὁ φόνος ἐνέργεια ὑπάρχει τινὸς, οὐκ
ἔστιν ἄρα οὐσία ὁ φόνος. Εἰ δὲ τὰ ἐνεργοῦντα οὐσίαν
εἶναι θέλεις, σύμφημι κἀγώ. Οἷον ἄνθρωπος ὁ φονεὺς, καθ'
ὃν μὲν λόγον ἄνθρωπός ἐστιν, ὑπάρχει οὐσία· ὁ δὲ, ὃν ποιεῖ,
30 φόνος οὐκ ἔστιν οὐσία, ἀλλ' ἔργον τῆς οὐσίας. Λέγομεν δὲ

a 6. ὁ ἐνεργῶν] ὁ om. C. οὐκ ὄντος— οὐσίας om. B. 9. αὕτη δὲ om. E. ἡ δὲ σωματικὴ σύστασις Orig. I. 11. ὑπάρχουσι] εἰσὶ Orig. b 2. οὐσίαι] οὐσία C.F. Mox κακοῦ (κακὸν F.G.) δὲ ὁ φόνος οὐσία ἔσται ὁ φόνος· ἀλλὰ μὴν ὁ φόνος ἐνέργεια C.D.F.G. Orig. Edd. omittunt οὐσία —ὁ φόνος. 3. κακοῦ] Reposui κακὸν ex I. Orig. 4. ἐστιν] ἔσται Orig. 5. οὐσίαν] οὐσίας Orig. 6. ὁ ἄνθρωπος D. 7. λόγον om. C.F.G. γὰρ pro μὲν Orig. 8. ὁ δ' ἂν ποιεῖ F. φόνος ὃν ποιεῖ I. 9. ἔργον] ἔργον τι Orig.

26 Actiones autem num esse tunc primum incipiunt, cum is qui agit præsens adfuerit?

Utique.

27 Sin qui aget nullus erit, ne id quidem quod ipse agat esse poterit?

Non poterit.

28 Ergo si et substantia corporeæ molis coagmentatio quædam est, nec
ullius præsentiam requirit, in quo sata existendi vim accipiat: contra vero
mala alterius cujusdam actiones sunt, actiones istæ porro alicujus præsen-
tiam postulant, in quo dum fiunt, tum existere primum incipiunt; restat
29 profecto, ut substantiæ mala esse non possint. Quod si verum est, itemque
si malum cædes est, ac proinde alicujus actio; cædes igitur substantia esse
non potest. Jam si quæ agendi vim habent, ea substantias esse vis, fateor
id quidem: homo enim cædis alicujus auctor, quatenus homo est, sub-
stantia quædam est: quæ tamen cædes ab eo fit, ea non substantia, sed
30 substantiæ opus est. Cæterum hominem aliquando malum, ob cædem ab

MAΞIMOY

τὸν ἄνθρωπον ποτὲ μὲν κακὸν διὰ τὸ φονεύειν, ποτὲ δ' αὖ πάλιν διὰ τὸ εὐεργετεῖν ἀγαθόν. c Καὶ προσπλέκεται ταῦτα τὰ ὀνόματα τῇ οὐσίᾳ ἐκ τῶν συμβεβηκότων αὐτῇ, ἅτινα οὐκ ἔστιν αὕτη· οὔτε γὰρ φόνος ἐστὶν ἡ οὐσία, οὔτ' αὖ πάλιν ἡ μοιχεία, οὔτε τι τῶν ὁμοίων κακῶν· ἀλλ' ὥσπερ ἀπὸ τῆς γραμματικῆς ὁ γραμματικὸς λέγεται, καὶ ἀπὸ τῆς ῥητορικῆς ὁ ῥήτωρ, καὶ ἀπὸ τῆς ἰατρικῆς ὁ ἰατρὸς, τῆς οὐσίας οὔτ' ἰατρικῆς οὔσης, οὔτε μὴν ῥητορικῆς, οὔτε γραμματικῆς, ἀλλ' ἀπὸ τῶν συμβεβηκότων αὐτῇ τὴν προσηγορίαν λαμβανούσης, ἀφ' ὧν οὕτως ὀνομάζεσθαι δοκεῖ, οὐδ' ὁπότερον αὐτῶν οὖσα, d ὁμοίως μοι φαίνεται καὶ ἀπὸ τῶν δοκούντων εἶναι κακῶν τὴν οὐσίαν ὄνομα προσλαμβάνειν, οὐδ' ὁπότερον οὖσαν αὐτῶν.

31 Καί μοι ὁμοίως ἐπινόησον, εἴ τινα ἕτερον ἀναπλάττεις ἐν τῷ νῷ τῶν κακῶν τοῖς ἀνθρώποις αἴτιον, ὡς κἀκεῖνος καθὸ ἐν τούτοις ἐνεργεῖ καὶ ὑποβάλλει ποιεῖν τὰ κακά, ἔστι καὶ αὐτὸς κακὸς ἐξ ὧν ποιεῖ. Διὰ τοῦτο γὰρ κἀκεῖνος κακὸς εἶναι λέγεται, ὅτι τῶν κακῶν ἐστὶ ποιητής. Ἃ δέ τις ποιεῖ, οὐκ ἔστιν αὐτὸς, ἀλλ' αἱ ἐνέργειαι αὐτοῦ, ἀφ' ὧν τὴν προσηγο-

b 9. τὸν ἄνθ.] καὶ τὸν ἄνθ. B. Mox μὲν om. B.C.F.G. c 4. ἡ οὐσία] ἡ om. Orig. 5. πάλιν ἡ om. B.C.F.G. πάλιν om. D. 9. οὐσίας] οὐσίας οὐδέν τι τούτων οὔσης ἀλλ' ἀπὸ B.C.F.G. οὐδέν τι τούτων τοιοῦτον οὔσης D. 10. μὴν om. Orig. 11. αὐτῇ om. C.G. 13. ὀνομάζεσθαι] λέγεσθαι B. d. οὖσα] οὖσαν B.D.F.G. οὖσαι C. οὖσα αὐτῶν I. 4. καί μοι] μοι om. Orig. 5. εἴ τε τινα I. 7. ὑποβάλλει] ὑποβάλλοι C. 10. κακὸς] κακῶς B.D. εἶναι om. B.C.F.G. ἐστι] ἔσται C.I.

illo patratam; aliquando bonum propter beneficium ab eodem profectum appellamus: quæ nomina, propter ea quæ substantiæ contigerint, ad ipsam adhærescunt illa quidem, substantia tamen ipsa non sunt. Nec enim aut cædes, aut adulterium, aut aliud quodcunque malum, substantia est. Sed quemadmodum a grammatica grammaticum, rhetorem a rhetorica, a medicina medicum nominamus, cum tamen neque medicina, neque rhetorica, neque grammatica substantia sit: sed tantum ex iis quæ sibi eveniunt hanc nominum, quorum ipsa nullum est, varietatem sortiatur. Sic ab iis quæ vulgo mala censentur, substantiæ nomen imponi statuo,

31 quorum tamen ipsa nullum est. Perinde autem philosophari debes, ut alium aliquem hominibus malorum auctorem animo et cogitatione fingas, eumque similiter, quatenus in ipsis male agendi principium et caussa quædam est, ob illa ipsa quæ agit, malum esse. Nam malus utique dicitur ipse quoque, quod malorum auctor ipse sit: quæ porro quis agit, ea non jam ipse, sed ipsius tantum actiones quædam sunt, unde mali nomen

ΜΑΞΙΜΟΥ

32 ρίαν τοῦ κακὸς λέγεσθαι λαμβάνει. Εἰ γὰρ αὐτὸν ὑπάρχειν p. 342
εἴποιμεν ἃ ποιεῖ, ποιεῖ δὲ φόνους καὶ μοιχείας καὶ κλοπὰς
καὶ ὅσα τούτοις ὅμοια, αὐτός ἐστι ταῦτα· εἰ δὲ ταῦτ᾽ ἐστὶν
αὐτὸς, ταῦτα δ᾽ ὅτε γίνεται τὴν σύστασιν ἔχει, οὐ γινόμενα
δὲ καὶ τοῦ εἶναι παύεται, γίνεται δὲ ταῦτα πρὸς ἀνθρώπων,
ἔσονται τούτων οἱ ἄνθρωποι ποιηταὶ, καὶ τοῦ εἶναι καὶ τοῦ
33 μηκέτ᾽ εἶναι αἴτιοι. Εἰ δὲ ταῦτα ἐνεργείας αὐτοῦ φῄς, ἐξ
ὧν ποιεῖ τὸ κακὸς εἶναι ἔχει, οὐκ ἐξ ὧν ἐστιν ἡ οὐσία. Κα-
κὸν δὲ εἴπομεν λέγεσθαι ἀπὸ τῶν συμβεβηκότων τῇ οὐσίᾳ, b
34 ἅτινα οὐκ ἔστιν ἡ οὐσία, ὡς ἀπὸ τῆς ἰατρικῆς ὁ ἰατρός. Εἰ
δὲ ἐξ ὧν ἐνεργεῖ ἀρχὴν τοῦ εἶναι λαμβάνει, ἤρξατο κἀκεῖνος
εἶναι κακὸς, ἤρξατο δὲ καὶ ταυτὶ τὰ κακά. Εἰ δὲ οὕτως
ἔχει, οὐκ ἔσται ἀνάρχως κακὸς, οὐδὲ ἀγέννητα τὰ κακὰ τῷ
γεννητὰ πρὸς αὐτοῦ εἶναι φάναι.

35 Τὸν μὲν πρὸς τὸν ἕτερον, ὦ φίλε, λόγον ἱκανῶς μοι πε-
ποιηκέναι δοκεῖς· ἐξ ὧν γὰρ προὔλαβες τῷ λόγῳ, ἐκ τού-
των συνάγειν ἔδοξας καλῶς. Ὡς ἀληθῶς γὰρ, εἰ ἄποιος
ἐτύγχανεν ἡ ὕλη, τῶν δὲ ποιοτήτων δημιουργὸς ὑπάρχει ὁ c

p. 342. 3. ὅσα—ὅμοια] εἴ τι ὅμοιον Orig. et mox ἔσται. ἐστι] ἔσται F.G. Mox εἰ δὲ ταῦτ᾽—οὐσία om. B. 7. τούτων] τούτου I. Orig. 10. κακῶς D. b 3. ἰατρὸν] ὁ ἰατρὸς B.C.D.F.G. Orig. ἰατρὸς E.I. 6. ἔσται] ἔστιν Orig. 10. πεποιῆσθαι] πεποιημένης E. πεποιηκέναι I. Orig. 12. εἰ ἄποιος] εἰ om. C.F.G. c 2. ὑπάρχεις F.

32 haurit. Enimvero si quæ a quoque fiunt, eadem ipsum esse diceremus,
cum cædes, adulteria, furta, aliaque id genus scelera ab aliquo patra-
rentur, hæc omnia simul unus idemque foret. Ejusmodi porro si erit;
cum istæc omnia tum existant modo cum fiunt, ac simul esse desinant,
cum fieri desinunt, fiant autem ab hominibus; homines certe quidem, ut
eorum artifices, sic et quamobrem illa modo sint, modo non sint, caussæ
33 ipsimet erunt. Quod si ejusdem actiones, ista esse concedis; ex iis tantum
quæ fecerit, non ex iis quibus substantia constat, is habet ut malus sit.
Mali enim appellationem, ex iis quæ substantiæ contingunt, quæque sub-
stantia ipsa non sunt, petendum esse diximus, quemadmodum a medicina
medicum nominamus. Nunc vero, si pro rerum quæ ab eo fiunt condi-
34 tione, cuicuimodi esse primum incipiat: idem quoque malus esse cœpit,
ipsaque adeo mala simul esse cœperunt. Id quod si verum est, neque
malus malitiæ suæ principio, neque mala ipsa ortu carebunt, cum ab illo
profecta esse dicantur.

35 Præclare tu quidem et abunde superioris opinionis errorem, o amice, tam luculenta disputatione confutasti: ex iis enim quæ ante posueras, egregie confecta res est. Enimvero, si qualitate omni spoliata materia erat; proindeque si et qualitatum auctor Deus est, et qualitates istæ mala

Θεός, ποιότητες δὲ τὰ κακά, τῶν κακῶν ἔσται ποιητὴς ὁ ΜΑΞΙΜΟΥ
36 Θεός. Οὗτος μὲν οὖν ὁ λόγος πρὸς ἐκεῖνον εἰρήσθω καλῶς,
ἐμοὶ δὲ ψεῦδος δοκεῖ τὴν ὕλην ἄποιον εἶναι λέγειν· οὐδὲ
γὰρ ἔνεστιν εἰπεῖν περὶ ἡστινοσοῦν οὐσίας, ὡς ἔστιν ἄποιος.
Καὶ γὰρ ἐν ᾧ ἄποιον εἶναι λέγει, τὴν ποιότητα αὐτῆς μηνύει
ὁποία ἐστὶ ἡ ὕλη διαγραφόμενος, ὅπερ ἐστὶν ποιότητος εἶ-
37 [202] δος. Ὅθεν εἴ σοι φίλον ἐστὶν, ἄνωθεν ἔχου πρὸς ἐμὲ τοῦ d
λόγου. Ἐμοὶ γὰρ ἡ ὕλη ἀνάρχως ποιότητας ἔχειν δοκεῖ.
Οὕτως γὰρ καὶ τὰ κακὰ ἐκ τῆς ἀπορροίας αὐτῆς εἶναι λέγω,
ἵνα τῶν κακῶν ὁ μὲν Θεὸς ἀναίτιος ᾖ, τούτων δὲ ἁπάντων ἡ
ὕλη αἰτία.

38 Τὴν μὲν προθυμίαν τὴν σὴν ἀποδέχομαι, ὦ φίλε, καί σου
τὴν ἐν τοῖς λόγοις σπουδὴν ἐπαινῶ. Προσῆκε γὰρ ὡς ἀλη-
θῶς ἕκαστον τῶν φιλομαθῶν μὴ ἁπλῶς καὶ ὡς ἔτυχε συγκα-
τατίθεσθαι τοῖς λεγομένοις, ἀλλ' ἀκριβῆ ποιεῖσθαι τὴν ἐξέ-
τασιν τῶν λόγων. Οὐδὲ γὰρ εἰ ὁ προσζητῶν παρὰ λόγον p. 343
ὁρισάμενος ἀφορμὴν παρέσχε τῷ προσδιαλεγομένῳ συνάγειν

c 3. δὲ] γὰρ C. ἐστι] ἔσται B.C.F.G.I. Orig. 5. εἰρήσθω] εἰρῆσθαι E.I. 6. ἔνεστιν] ἐστιν Orig. 7. αἰτίας] οὐσίας E.I. Vigeri marg. Orig. d. τοῦ λόγου] τὸν λόγον C. 7. τοῖς λόγοις] τοῖς om. C. τὴν ἂν λόγοις F. τὴν ἐν λόγοις G. ult. ἀλλ' om. C.F. ποιεῖσθαι] ποιήσασθαι B. ποιήσεσθαι F.G.

36 sunt, Deum plane malorum auctorem esse consequitur. Quare quod
priorem illam sententiam attinet, ab ea sum tua hac ratione deductus.
Esto. Nunc autem falsum illud mihi videtur, materiam qualitatibus
vacuam fuisse. Nam substantia nulla qualitate omni carere dici potest:
cum eo ipso, quo materiam quis omni qualitate spoliatam esse diceret,
propriam ejus qualitatem indicaret, dum qualis materia sit explicaret, quod
37 ipsum utique singularis quædam ratio qualitatis est. Deinceps ergo, nisi
molestum est, hanc mihi rursus a capite disputationem arcesse. Jam enim
materiam qualitatibus ex omni æternitate præditam, malaque simul omnia
ex quodam ejus defluxu nata esse defendo, ne Deo caussa malorum assig-
netur, quæ solam in materiam conferenda sit.

38 Mihi vero tuus hic animus, o amice, admodum probatur, placet hoc in concertationis genere tam studiosa contentio. Atque idem profecto eorum omnium, qui se discendi cupidos profitentur, consilium esse oporteret, ut non simpliciter ac temere quicquid ab aliis dicitur arriperent, sed rationum vim atque pondus suis accurate ac diligenter momentis æstimarent. Nec enim, si qui cum altero disserit, concinnatum abs sese fallax aliquod et

ΜΑΞΙΜΟΥ

ὡς ἐθέλει, τοῦτο καὶ τὸν ἀκροατὴν πείσει, ἀλλ' εἴ τι δοκεῖ δυνατὸν εἶναι λέγεσθαι καλῶς, τοῦτο λέξει· παρ' ὧν δυοῖν θάτερον ἔσται· ἢ γὰρ καὶ πρὸς ὃ κινεῖσθαι δοκεῖ ἀκούσας τέλεον ὠφεληθήσεται, ἢ τὸν προσδιαλεγόμενον ἐλέγξει οὐ τἀληθῆ λέγοντα.

39 Οὐ δοκεῖς δέ μοι δεόντως εἰρηκέναι τὴν ὕλην ἄνωθεν ποιότητας ἔχειν. Εἰ γὰρ τοῦθ' οὕτως ἔχει, τίνος ἔσται ποιητὴς ὁ Θεός; Εἴτε γὰρ οὐσίας ἐροῦμεν, προεῖναι ταύτας φαμέν· b
40 εἴτ' αὖ πάλιν ποιότητας, καὶ ταύτας ὑπάρχειν. Οὐκοῦν οὐσίας τε οὔσης καὶ ποιοτήτων περιττὸν εἶναί μοι δοκεῖ δημιουργὸν λέγειν τὸν Θεόν. Ἵνα δὲ μὴ ἐμαυτῷ κατασκευάζειν τινὰ δόξω λόγον, ἀπόκριναι νῦν ἐρωτώμενος, τίνι τρόπῳ δημιουργὸν εἶναι φῂς τὸν Θεόν; Πότερον ὅτι τὰς οὐσίας ἔτρεψεν εἰς τὸ μηκέθ' ὑπάρχειν ἐκείνας, αἵπερ ἦσάν ποτε, ἀλλ' ἑτέρας παρ' αὐτὰς γενέσθαι; Ἢ ὅτι τὰς μὲν οὐσίας ἐφύ-

p. 343. 3. ἐθέλει] θέλει C.D.F.G. Tum τοῦτο γὰρ B. 5. λέξει· παρ' ὧν] λέξει παρών· δυοῖν γὰρ Orig. δυοῖν] δυεῖν C.G. Tum καὶ πρὸς C.E.F.G.I. πρὸς ὃ—οὐσιῶν; δοκεῖ om. B. 8. οὔτ' ἀληθῆ] ὡς οὔτ' ἀλ. C.F.G. Mox καὶ οὐ δοκ. C. 11. ἔσται ποιητὴς] ποιητὴς ἔσται C.F.G. Mox ἐροῦμεν om. Orig. b. ταύτας] ταύτην Orig. ποιοτήτων D.F. G.S. Orig. Post ὑπάρχειν Orig. addit λέγομεν. 4. καὶ μὴ] μὴ ἑαυτῷ C. δὲ μὴ ἐμαυτῷ D.E.F.G.I. Orig. Mox ἀπόκρινε C. 5. νῦν] μοι νῦν Orig. 6. φῂς] λέγεις Orig.

captiosum argumenti genus, sua illi ex mente sensuque concludendum obtrudet, auditori propterea, quod volet, hac arte persuaserit: sed aliquid tum demum is egerit, si quod abs se cum ratione dici posse videbitur, id in medium proferet. Nam tum e duobus alterum consequetur: aut enim qui audiet, quo impelli sese ferrique senserit, in eo tandem magno cum suo fructu acquiescet, aut adversarium ipse suum erroris falsique convincet.

39 Ergo, ut ad rem veniam, equidem sic existimo, minus abs te vere qualitatibus ab omni ævo materiam instrui. Hoc enim si verum est, cujus tandem rei Deum auctorem habebimus? Substantiarum? at eas jam prius extitisse dicimus. Qualitatum? at illas quoque jam ante fuisse agno-
40 scimus. Cum igitur et substantia per sese jam, et qualitates existant, quamobrem Deum conditorem appellemus, superest profecto nihil. Verum ne arguti quidpiam ipse moliri velle videar, dic ipsemet obsecro, qua tu ratione conditorem Deum esse putes. An quod substantiarum naturam immutarit, ut quam nactæ prius fuerant exuentes, novam ipsæ quandam

λαξεν ἐκείνας, αἵπερ ἦσαν πρὸ τούτου, τὰς δὲ ποιότητας ἔτρεψεν αὐτῶν; ΜΑΞΙΜΟΥ

41 Οὔ τι μοι δοκεῖ ἀλλαγήν τινα οὐσιῶν γεγονέναι· καὶ c γὰρ ἄτοπον τοῦτο λέγειν μοι φαίνεται· τροπὴν δέ τινα τῶν ποιοτήτων γεγονέναι φημὶ, καθ' ἃς δημιουργὸν εἶναι λέγω τὸν Θεὸν, καὶ ὥσπερ εἰ τύχοι λέγειν ἐκ λίθων οἰκίαν γεγονέναι, ἐφ' ὧν οὐκ ἔστιν εἰπεῖν ὡς οὐκ ἔτι λίθοι μένουσι τῇ
42 οὐσίᾳ, οἰκία γενόμενοι οἱ λίθοι. Τῇ γὰρ ποιότητι τῆς συνθέσεως τὴν οἰκίαν γεγονέναι φημὶ, τραπείσης δηλονότι τῆς προτέρας τῶν λίθων ποιότητος. Οὕτω μοὶ δοκεῖ καὶ τὸν Θεὸν, ὑπομενούσης τῆς οὐσίας, τροπήν τινα τῶν ποιοτήτων αὐτῆς πεποιηκέναι, καθ' ἣν τὴν τοῦδε τοῦ κόσμου γένεσιν d πρὸς τοῦ Θεοῦ γεγονέναι λέγω.

43 Ἐπεὶ τοίνυν τροπήν τινα τῶν ποιοτήτων πρὸς τοῦ Θεοῦ γεγονέναι φῇς, ἀπόκριναί μοι βραχέα πυθέσθαι προαιρουμένῳ. Λέγε δὴ, εἰ ὁμοίως καί σοι δοκεῖ τὰ κακὰ ποιότητας εἶναι τῶν οὐσιῶν;

Δοκεῖ.

b 11. πρὸ τούτου] πρὸ τοῦ Orig. c. οὔτι] ὅτι F. 2. τοῦτο] τοῦ F.G. 5. τύχοι] τύχῃ C.F.G. τύχει D. Mox οἰκίαν ἐκ λίθων C. D.F.G. 6. ἐφ' ᾧ] ἀφ' ὧν C.D.F.G. ἐφ' ὧν I. Orig. 7. οὐσίᾳ] οἰκίᾳ I. 11. τρόπον] τροπὴν C. τῆς om. D. d. λέγω] φημί Orig. ubi om. ἐπεὶ—φῇς. 4. προαιρουμένῳ] βουλομένῳ Orig. qui mox λέγε δὲ ὁμοίως εἰ. λέγε] λέγω C.F.G.

et alienam induerent? An potius, quod substantiis in propria naturæ suæ ratione conservatis, earum tamen qualitates mutarit?

41 Ego vero nullam in substantiis mutationem contigisse arbitror. Absurdum enim id utique fuerit. Qualitates ergo mutatas fuisse aio, quod mutationis genus conditoris Deo nomen indiderit. Quemadmodum enim si domum aliquam e lapidibus factam esse dicamus, non tamen continuo verum sit, lapides, exuta priore substantia, eam in domum esse conversos:
42 quippe certo quodam ex compositionis genere domum extitisse contendo, priori lapidum qualitate mutata. Sic videtur mihi Deus, integra manente substantia, quandam ipsius qualitatum mutationem effecisse, ex qua mundus iste hoc habeat, ut a Deo conditus esse dicatur.

43 Audio. Cum igitur peculiarem quandam ejusmodi qualitatum rationem a Deo profectam esse statuas, pauca mihi tantum abs te responderi velim. Dic ambo. Num tu similiter qualitates istas substantiarum mala quædam esse opinaris?

Omnino.

ΜΑΞΙΜΟΥ 44 Ἄνωθεν δὲ ἦσαν αἱ ποιότητες αὗται ἐν τῇ ὕλῃ, ἢ ἀρχὴν ἔσχον τοῦ εἶναι;

Συνεῖναί φημι ἀγεννήτως τῇ ὕλῃ ταυτασὶ τὰς ποιότητας.

45 Οὐχὶ δὲ τὸν Θεὸν φῂς τροπήν τινα τῶν ποιοτήτων πεποιηκέναι;

Τοῦτό φημι.

46 Πότερον οὖν εἰς τὸ κρεῖττον, ἢ εἰς τὸ χεῖρον;

Εἰς τὸ κρεῖττον λέγειν μοι δοκεῖ. p. 344

47 Οὐκοῦν εἰ ποιότητες τῆς ὕλης τὰ κακὰ, τὰς δὲ ποιότητας αὐτῆς εἰς τὸ κρεῖττον ἔτρεψεν ὁ Θεὸς, πόθεν τὰ κακὰ ζητεῖν ἀνάγκη. Οὐ γὰρ ἔμειναν αἱ ποιότητες ὁποῖαί ποτ' ἦσαν τῇ φύσει. Ἢ, εἰ μὲν πρότερον οὐκ ἦσαν ποιότητες κακαὶ, ἐκ δὲ τοῦ τραπῆναι πρὸς τοῦ Θεοῦ τὰς πρώτας τοιαύτας περὶ τὴν ὕλην γεγονέναι ποιότητας φῂς, αἴτιος ἔσται τῶν κακῶν ὁ Θεὸς, τρέψας τὰς οὐκ οὔσας ποιότητας κακὰς εἰς τὸ εἶναι
48 κακάς· ἢ τὰς μὲν κακὰς ποιότητας εἰς τὸ κρεῖττον οὐ δο- b
κεῖ σοι τρέψαι τὸν Θεὸν, τὰς δὲ λοιπὰς καὶ μόνας, ὅσαι

d 7. συνεῖναι] ἀεὶ εἶναι Orig. 10. τοῦτο δὲ Orig.
p. 344. μοι δοκεῖ] μοι om. B. 3. κύριος] θεὸς B.C.F.G.I. Orig. 4. οὐ] Sic omnes præter Vigerum, qui dedit ᾗ. 5. τῇ φύσει] τὴν φύσιν Orig. 6. ἦσαν] ἦσαν ποιότητες B.C.D.E.F.G.I. Orig. Infra φῂς ποιότητας B.C.F.G. b. ἢ τὰς] καὶ τὰς F.G. 3. ἀδιάφοροι] διάφοροι Orig.

44 Utrum igitur qualitates illæ jam inde ab omni ævo materiæ inerant; an existendi principium aliquod habuere?

Inerant vero citra ullum ortus sui principium.

45 Quid? Num tu aliquam a Deo mutationem qualitatum istarum effectam esse contendis?

Plane.

46 Utrum eam in melius, an vero in deterius factam arbitraris?

In melius certe quidem.

47 Si ergo qualitates materiæ mala sunt, eædemque cum melioribus a Deo commutatæ fuerunt: unde mala profluxerint, quærendum necessario est. Aut enim qualitates istæ prioris naturæ conditionem non exuerunt: aut si, cum prius malæ non essent, illa tamen divinitus facta mutatione, quæ priorem naturam expulerit, ejusmodi quas nunc habet, inustas materiæ qualitates esse arbitraris: malorum profecto caussa Deus erit, qui quæ
48 malæ per sese non erant, eas in malas commutarit. At forte ne malas quidem qualitates Deus in meliores convertit, sed reliquas tantum, hoc est

ἀδιάφοροι ἐτύγχανον τῆς διακοσμήσεως ἕνεκα, πρὸς τοῦ Θεοῦ τετράφθαι λέγεις; ΜΑΞΙΜΟΥ

Οὕτως ἄνωθεν ἔσχον ἐγώ.

49 Πῶς τοίνυν αὐτὸν τὰς τῶν φαύλων ποιότητας ὡς εἶχον καταλελοιπέναι λέγεις; Πότερον δυνάμενον μὲν κἀκείνας ἀνελεῖν, οὐ βουληθέντα δὲ, ἢ τὸ δύνασθαι μὴ ἔχοντα; Εἰ μὲν γὰρ δυνάμενον λέξεις, οὐ βουληθέντα δὲ, αὐτὸν αἴτιον τούτων εἰπεῖν ἀνάγκη, ὅτι δυνάμενος ποιῆσαι μὴ εἶναι κακὰ, συνεχώ- c
[203] ρησεν αὐτὰ μένειν ὡς ἦν, καὶ μάλιστα ὅτε δημιουργεῖν τὴν
50 ὕλην ἤρξατο. Εἰ γὰρ μηδ' ὅλως ἔμελεν αὐτῷ τῆς ὕλης, οὐκ ἂν αἴτιος ἦν ὧν συνεχώρει μένειν· ἐπεὶ δὲ μέρος μέν τι αὐτῆς ἐδημιούργει, μέρος δέ τι οὕτως εἴα δυνάμενος κἀκεῖνα τρέπειν εἰς τὸ κρεῖττον, αἰτίαν ὀφλισκάνειν ἄξιος εἶναί μοι δοκεῖ, καταλιπὼν μέρος ὕλης εἶναι πονηρὸν ἐπ' ὀλέθρῳ οὗ ἐδημιούρ-
51 γησε μέρους. Ἀλλὰ μὴν καὶ τὰ μέγιστα κατὰ τοῦτο τὸ μέρος d
ἠδικῆσθαί μοι δοκεῖ, τοῦθ' ὅπερ κατεσκεύασε τῆς ὕλης μέρος ἀντιλαμβανόμενον τανῦν τῶν κακῶν. Εἰ γάρ τις ἐξετάζοι

b 5. ἔσχον] εἶχον Orig. πῶς τοίνυν—ἤρξατο om. B. 10. λέξεις] λέγεις Orig. 11. αἴτιον τούτων] τούτων αἴτιον C.F.G. τοῦτον αἴτιον D. c 3. ἔμελεν] ἔμελλεν B.D. 5. μέντοι D. Mox δημιουργεῖ Orig. et infra κἀκεῖνο. d. τοῦθ' ὅπερ—κακῶν om. B. 2. ὕλης] ψυχῆς F.G. 3. τανῦν] νῦν C.D.F.G. ἐξετάζοι] ἐξετάζει C.F.G.

eas, quibus nihil esset cum bonis malisve commune, ut major ex ea mutatione ornatus existeret.

Ita quidem jam inde ab initio sentiebam.

49 Quomodo igitur quæ malæ per sese erant, eas sine ulla mutatione relictas ab eo fuisse ais? An quod illas ut tollere similiter ac delere potuisset, noluerit tamen? an potius, quod id perficere nullo modo potuerit? Si potuisse concedis, negas voluisse: illarum caussam in Deum conferas necesse est, qui cum eas innata malitia liberare posset, suam tamen iis conditionem relinquere maluerit, quo potissimum tempore materiam elabo-
50 randam conformandamque susciperet. Nam si materiam susque deque habuisset, non jam qualitatum earum, quas integras manere sinebat, caussa diceretur. Nunc vero, cum ejusdem materiæ partem expoliret, partem indigestam ac rudem uti erat, relinqueret: qui quod malorum supererat, melius efficere potuisset, is mihi quidem culpæ alicujus affinis videtur fuisse, dum in altera materiæ parte nativam etiam tum malitiam, in ejus
51 quam elaboraret exitium, hærere pateretur. Et quidem gravis prorsus hoc in genere, huic quam elaboravit materiæ parti, eo nomine facta videtur injuria, quod tantam malorum vim subire ac sustinere cogatur. Quisquis

ΜΑΞΙΜΟΥ

ἐπ᾽ ἀκριβὲς τὰ πράγματα, χαλεπώτερον νῦν εὑρήσει τὴν ὕλην πεπονθυῖαν τῆς προτέρας ἀκοσμίας. Πρὶν γὰρ αὐτὴν διακριθῆναι, τὸ μηδὲ αἰσθέσθαι τῶν κακῶν παρῆν αὐτῇ· νυνὶ δὲ ἕκαστον τῶν μερῶν αὐτῆς αἴσθησιν λαμβάνει τῶν κακῶν.
52 Καί μοι ἐπ᾽ ἀνθρώπου τὸ παράδειγμα λάβε. Πρὶν γὰρ εἰκονισθῇ καὶ ζῷον γένηται τῇ τοῦ δημιουργοῦ τέχνῃ, τὸ μήθ᾽ ἑνὸς ἀντιλαμβάνεσθαι τῶν κακῶν παρὰ τῆς φύσεως εἶχεν· ἀφ᾽ οὗ δὲ πρὸς τοῦ Θεοῦ ἄνθρωπος γίνεται, καὶ τὴν αἴσθησιν τοῦ προσπελάζοντος κακοῦ προσλαμβάνει, καὶ τοῦθ᾽, ὅπερ ἐπὶ εὐεργεσίᾳ τῆς ὕλης πρὸς τοῦ Θεοῦ γεγονέναι λέγεις, εὑ-
53 ρίσκεται μᾶλλον ἐπὶ τῷ χείρονι προσγενόμενον αὐτῇ. Εἰ p. 345 δ᾽ ἐκ τοῦ μὴ δύνασθαι τὸν Θεὸν ἀνελεῖν τὰ κακὰ τὸ μὴ πεπαῦσθαι λέγεις, ἀδύνατον τὸν Θεὸν φήσεις ὑπάρχειν. Τὸ δὲ ἀδύνατον, ἤτοι τῷ φύσει ἀσθενῆ ὑπάρχειν αὐτὸν ἔσται, ἢ τῷ
54 νικᾶσθαι τῷ φόβῳ δεδουλωμένον πρός τινος κρείττονος. Εἰ μὲν οὖν τὸν Θεὸν φύσει ἀσθενῆ ὄντα τολμήσεις εἰπεῖν, περὶ τῆς σωτηρίας αὐτῆς κινδυνεύειν μοι δοκεῖς· εἰ δὲ τῷ νικᾶσθαι φόβῳ πρὸς τοῦ μείζονος, μείζονα ἔσται τοῦ Θεοῦ τὰ κακά,

d 5. νῦν εὑρήσει τὴν ὕλην] εὑρ. τὴν ὕλην νῦν C.D.F.G. 10. γὰρ om. I. 11. μεθ᾽ ἑνὸς] μήθ᾽ ἑνὸς C.D.I. μηδενὸς Orig. 12. τῶν κακῶν om. F. 13. ἄνθρωπος—θεοῦ om. B. 14. προσπελ.] προπελ. F. 15. ἐστιν] ἐπὶ C.F.G.I. Orig.

p. 345. 4. τῷ φύσει] τῇ φ. C. τὸ φ. B.D. Mox ἀσθενῆ εἶναι ἔσται Orig. 5. τῷ νικ.] τὸ νικ. C.D. Mox δεδουλωμένον D. 7. φύσει] φήσει F. 9. τὸ D. 10. μείζονα] μείζονα δὲ B. qui mox om. δοκεῖ —ἐξουσίαν.

enim accurate rem æstimare volet, is longe deteriorem hoc tempore, quam impolita dum esset, materiæ conditionem esse reperiet. Nam antequam varias digereretur in partes, nullum ea malorum suorum habebat sensum,
52 quo nunc partes ejus singulæ vehementer laborant. Atque ut ab homine sumatur exemplum. Priusquam animal opificis arte conformatum esset, a natura hoc habebat, nihil ut omnino mali pateretur. Ex quo autem a Deo procreatus homo est, mali etiam imminentis sensu afficitur. Ita, quod tu divini erga materiam Numinis beneficium interpretaris, hoc ipsi jam in de-
53 terius cessisse reperies. Jam vero, si quod mala Deus tollere non potuerit, eadem perstitisse voles, Deum ergo impotentem facis. Impotens autem si erit, aut propter nativam imbecillitatem erit, aut quod servilem in
54 modum, potentioris alicujus terrore superetur. Natura imbecillum, citra manifestum salutis periculum, affirmare audebis nunquam. Sin majoris formidine victum esse dices, mala Deo simul antepones, quæ vim ejus

νικῶντα τῆς προαιρέσεως αὐτοῦ τὴν ὁρμήν· ὅπερ ἄτοπον b ΜΑΞΙ-ΜΟΥ
55 εἶναί μοι λέγειν περὶ Θεοῦ δοκεῖ. Διὰ τί γὰρ οὐχὶ μᾶλλον
ταῦτ' ἔσονται θεοὶ, νικᾶν κατὰ τὸν λόγον τὸν σὸν δυνάμενα
τὸν Θεὸν, εἴπερ Θεὸν ἐκεῖνό φαμεν, ὃ τὴν ἁπάντων ἐξουσίαν
ἔχει;

56 Βραχέα δέ σου καὶ περὶ τῆς ὕλης αὐτῆς πυθέσθαι βούλο-
μαι· καί μοι φέρων λέγε, πότερον ἁπλῆ τις ἦν ἡ ὕλη, ἢ
σύνθετος· ἡ γὰρ διαφορὰ τῶν γεγονότων εἰς τοιαύτην με
περιΐστησιν ἐξέτασιν τοῦδε τοῦ λόγου. Εἰ γὰρ ἁπλῆ τις
ἐτύγχανεν ἡ ὕλη καὶ μονοειδὴς, σύνθετος δὲ ὁ κόσμος, καὶ ἐκ c
διαφόρων οὐσιῶν τε καὶ κράσεων τὴν σύστασιν ἔχει ... τὸ γὰρ
57 σύνθετον ἁπλῶν τινῶν μίξιν μηνύει. Εἰ δ' αὖ πάλιν τὴν
ὕλην σύνθετον λέγειν ἐθέλοις, πάντως ἐξ ἁπλῶν τινῶν συντε-
θεῖσθαι φήσεις. Εἰ δὲ ἐξ ἁπλῶν συνετέθη, ἦν ποτὲ καθ'
ἑαυτὰ τὰ ἁπλᾶ, ὧν συντεθέντων γέγονεν ἡ ὕλη, ἐξ οὗπερ καὶ
58 γεννητὴ οὖσα δείκνυται. Εἰ γὰρ σύνθετος ἡ ὕλη, τὰ δὲ σύν-

b 3. λόγον τὸν σὸν D. τὸν om. Viger. Tum δυνάμενα ex Orig. pro δυνάμενοι. 5. ὃ] ὅπερ Orig. 8. ἡ ὕλη] ἡ om. Orig. 9. γεγονότων] λεγόντων F. c. ἐτύγχανεν] ἦν B. qui mox om. καὶ μονοειδὴς et pergit, si collationem rite intelligo, ἢ σύνθετος. ἡ γὰρ διαφορὰ ἐκ διαφόρων ο. τ. κ. κ. συνεστώς, omissis ἔχει—ἀντικεῖσθαι δοκεῖ. 3. τὴν σύστασιν ἔχει] συνεστὼς F.G. et ni fallor C.D. Mox τὸ σύνθετον D. Docet Routhius ex Methodio apud Photium cod. 236. nonnulla propter homœoteleuton excidisse, scil. ἀδύνατον τοῦτον ἐξ ὕλης γεγονέναι λέγειν, τῷ τὰ σύνθετα μὴ οἷόν τε ἐξ ἑνὸς ἀποίου τὴν σύστασιν ἔχειν. 4. τὸν] τὸ I. Orig. 6. ἐθέλοις] ἐθέλεις C.D.F.G. 9. συντεθέντων] συντεθέντα E. 11. σύνθετος] σύνθετον C.F.G. Tum τὰ δὲ σύνθ. ἐξ αὐτῶν τῶν ἁπλῶν F.

impetumque voluntatis impediant. Quod sane de natura divina prædicari
55 non nisi absurde potest. Quidni enim mala ipsa potius Deorum loco
habeantur, si et Deum, ut ais, superare possunt, et Deum illud esse
demum agnoscimus, quod summam habeat rerum omnium potestatem?
56 Sed juvat præterea, nonnulla ex te de materia quærere. Dic igitur,
amabo te, simplicemne materiam an compositam fuisse putes? Nam
rerum tanta diversitas ad hujus me disceptationem quæstionis adducit. Si
enim simplex, uniusque duntaxat formæ ac figuræ materia fuit: quomodo
tandem compositus ex ea mundus, ex tanta substantiarum ac temperatio-
num varietate consistit? Quod enim compositum dicitur, id sane plurium
57 simplicium mixtionem involvit. Sin eandem compositam fuisse vis; ex
simplicibus igitur composita fuit. Quod si verum est, fuerant jam olim
simplicia illa per sese, quorum ex compositione materia conflata est. Hinc
58 porro genitam esse materiam efficitur. Nam si composita materia est,

ΜΑΞΙΜΟΥ

θετα ἐξ ἁπλῶν τὴν σύστασιν ἔχει, ἦν ποτὲ καιρὸς ὅτε ἡ ὕλη d
οὐκ ἦν, τουτέστι πρὶν τὰ ἁπλᾶ συνελθεῖν. Εἰ δὲ ἦν ποτὲ
καιρὸς ὅτε ὕλη οὐκ ἦν, οὐκ ἦν δέ ποτε καιρὸς ὅτε τὸ ἀγέννη-
59 τον οὐκ ἦν, οὐκ ἔσται ἀγέννητος ἡ ὕλη. Τὸ δ' ἐντεῦθεν ἔσται
πολλὰ τὰ ἀγέννητα. Εἰ γὰρ ἦν ἀγέννητος ὁ Θεὸς, καὶ τὰ
ἁπλᾶ ἐξ ὧν ἡ ὕλη συνετέθη, οὐκ ἔσται δύο μόνα τὰ ἀγέν-
νητα. Δοκεῖ δέ σοι μηδὲν τῶν ὄντων αὐτὸ ἑαυτῷ ἀντικεῖσθαι;

Δοκεῖ.

60 Ἀντίκειται δὲ τῷ πυρὶ τὸ ὕδωρ;

Ἀντικεῖσθαί μοι φαίνεται.

Ὁμοίως δὲ καὶ τῷ φωτὶ τὸ σκότος, καὶ τῷ ψυχρῷ τὸ θερμὸν, πρὸς δὲ τούτοις καὶ τῷ ξηρῷ τὸ ὑγρόν;

Οὕτως ἔχειν μοι δοκεῖ.

61 Οὐκοῦν εἰ μηδὲν τῶν ὄντων αὐτὸ ἑαυτῷ ἀντίκειται, οὐκ
ἔσονται ὕλη μία, οὐδὲ μὴν ἐξ ὕλης μιᾶς. Ὅμοιον δέ τινα p. 346
τούτῳ λόγον πάλιν πυθέσθαι σου βούλομαι. Δοκεῖ σοι τὰ
μέρη μὴ ἀναιρετικὰ τυγχάνειν ἀλλήλων;

d. ὕλη] ἡ ὕλη C.D.F.G. 2. οὐκ ἦν om. E. 9. αὐτῷ D. αὐτὸς ἑαυτῷ F. 10. τῷ πυρὶ] τῷ om. E.I. 11. ἀντικεῖσθαι—ὁμοίως om. B.C.D.F.G. 13. πρὸς δὴ τούτοις om. B.C.D.F.G. Dedi δὲ cum Orig. οὕτως ἔχειν μοι δοκεῖ] ναί φησιν B.C.D.F.G.
p. 346. πάλιν om. B.C.F.G.

composita vero ex simplicibus coagmentata sunt, tempus illud certe fuit,
quo nulla dum materia esset, hoc est antequam ea simplicium inter sese
conjunctio fieret. Quod si tempus ejusmodi aliquod fuit, quo materia
necdum esset; nullum autem unquam fuit, quo res ortu principioque
59 carens, nondum existeret; ortu materia caruisse non poterit. Cæterum
plura deinceps ortu carentia statuemus. Si enim et Deus, et simplicia
ista, ex quibus concreta materia est, ortu carebunt, non jam duo tantum
ortu carentia censebuntur. Postremo, num tu rem plane nullam, quæ
secum ipsa pugnet, esse concedis?

Nullam.

60 Cum igne vero num aqua pugnat?

Pugnat sane.

Similiter et luci tenebræ, et frigido calidum, et sicco humidum adversatur?

Utique.

61 Igitur si res nulla secum ipsa pugnat, sequitur omnino, nec unicam esse materiam, nec unica tantum ex materia universa constare. Cui persimile ad geminum illud est quod sequitur. Quid enim, an non partes aliis alias exitium ac pestem creare confiteris?

ΜΑΞΙΜΟΥ

Δοκεῖ.

62 Εἶναι δὲ τῆς ὕλης μέρη τό τε πῦρ καὶ τὸ ὕδωρ, ὡσαύτως δὲ καὶ τὰ λοιπά;

Οὕτως ἔχει.

[204] Τί δέ; οὐ δοκεῖ σοι ἀνατρεπτικὸν μὲν εἶναι τοῦ πυρὸς τὸ ὕδωρ, τοῦ δὲ σκότους τὸ φῶς, καὶ τἄλλα ὅσα τούτοις παραπλήσια;

Δοκεῖ.

63 Οὐκοῦν εἰ τὰ μέρη οὐκ ἔστιν ἀλλήλων ἀναιρετικά, οὐκ ἔσται ἀλλήλων μέρη· εἰ δὲ οὐκ ἔστιν ἀλλήλων μέρη, οὐκ ἔσονται ὕλης μιᾶς. Ἀλλὰ μὴν οὐδ' αὐτὰ ἔσονται ὕλη τῷ b μηδέν τι τῶν ὄντων αὐτὸ ἑαυτοῦ ἀναιρετικὸν ὑπάρχειν, κατὰ 64 τὸν τοῦ ἀντικειμένου λόγον. Οὐδὲ γάρ ἐστί τι αὐτῷ ἀντικείμενον· τὰ γὰρ ἀντικείμενα ἑτέροις ἀντικεῖσθαι πέφυκεν. Οἷον τὸ λευκόν, αὐτὸ ἑαυτῷ οὐκ ἀντίκειται, πρὸς δὲ τὸ μέλαν ἀντικείμενον λέγεται· καὶ τὸ φῶς ὁμοίως ἑαυτῷ μὴ ἀντικεῖσθαι δείκνυται, πρὸς δὲ τὸ σκότος οὕτως ἔχον φαίνεται,

a 3. δοκεῖ om. B.C.D.F.G. 4. τό τε] τε om. B.C.D.F.G. Mox ὕδωρ μέρη C. καὶ τὸ ὕδωρ D.E.F.G. τὸ om. Viger. 5. ἔχει] ἔχω I. 6. τοῦ δὲ] καὶ τοῦ B.C.D.F.G. 8. παραπλήσια] ὅμοια B.C.D.F.G. 9. ἔστιν] ἔσται B.C.F.G.I. Orig. Tum ἀναιρ. ἀλληλ. C.F.G. Post ἀναιρετικὰ pergit Orig. τὰ δὲ ὕλης μέρη ἀναιρετικὰ ἀλλήλων ἐστὶν οὐκ ἔ. ἀ. μ. 10. εἰ δὲ—μέρη om. C. b. μηδὲ D. 2. τῷ] τῶν I. 3. τὸν τοῦ] τοῦ om. I. 4. αὐτῷ] αὐτῶν B.C.F.G. αὐτὸ ἑαυτῷ Orig. 6. αὐτῷ ἑαυτὸ D. οὐκ om. I. 8. ἑαυτῷ] οὐχ ἑαυτῷ B.C. qui om. μὴ ἀ. δ. π. οὐχ ἑαυτῷ τῷ δὲ σκότει ἀντίκειται D.F.G. 9. τῷ δὲ σκότει ἀντίκειται καὶ ἄλλα νῦν (γοῦν C.) ὁμοίως πλεῖστα B.C.

Equidem.

62 Materiæ vero partes, ignem, aquam, et reliquas esse concedis?

Et libenter.

Ignem porro aqua, lux tenebras, atque ejusmodi cætera, non tollere sese mutuo ac perimere videntur?

Plane.

63 Si ergo partes nullæ mutuum sibi exitium afferunt, nec mutuarum ista partium rationem obtinere, nec proinde unius tantum materiæ, aut vero materia prorsus esse poterunt: cum res nulla interitum sibi pestemque 64 creet, uti contrariis contraria solent. Nec enim idem contrarium est ipsi sibi, contraria siquidem, aliis duntaxat contraria sunt: quemadmodum nec album albo, sed nigro tantum; nec luci, sed tenebris contraria lux est,

ΜΑΞΙΜΟΥ

καὶ ἄλλα γοῦν ὁμοίως πλεῖστα ὅσα. Εἰ τοίνυν καὶ ὕλη μία τις ἦν, οὐκ ἂν αὐτὴ αὐτῇ ἀντέκειτο. Οὕτω δὲ τῶν ἀντικειμένων ἐχόντων, τὸ μὴ εἶναι τὴν ὕλην δείκνυται.

Τοσαῦτα καὶ ὁ προδηλωθεὶς συγγραφεύς. Αὐτάρκη δὲ περιγραφὴν εἰληφότος τοῦ λόγου, ἐπὶ τὸν ὄγδοον τῆς Εὐαγγελικῆς Προπαρασκευῆς μεταβάντες, τὰ λείποντα τῷ προκειμένῳ σκέμματι, σύμμαχον ἐπικαλεσάμενοι τὸν Θεὸν, ἀναπληρώσομεν.

ΒΙΒΛΙΟΝ ΟΓΔΟΟΝ.

[205] ### ΠΡΟΟΙΜΙΟΝ. p. 348

I Τοὺς βίους τῶν παλαιῶν Ἑβραίων, τῶν δὴ καὶ τὴν προσηγορίαν ἐπαληθευσάντων θεοφιλῶν ἀνδρῶν, πρόσ- b θεν ἢ Μωσέα φανῆναι πάσης ἀρετῆς βραβείοις ἀναδησαμένων, τά τε θεοσεβῆ δόγματά τε καὶ παιδεύματα,

b 12. αὐτῇ] ἑαυτῇ B.C.D. 14. τοσαῦτα] ταῦτα C. ταῦτα δὲ B. 15. αὐτάρκη—πληρώσομεν om. B. μεταβατέον δ' ἐπὶ τὸν ὄγδοον ἀγῶνα τοῦ λόγου B.C.

p. 348. 6. τῶν παλ.] τῶν om. B. b 4. ἀρετῶν D.

similiterque de aliis plerisque philosophari potes. Quare, si materia quoque una quædam et simplex esset, nunquam secum ipsa pugnaret. Ex qua tandem propria contrariorum ratione concluditur, locum omnino isti materiæ nullum superesse.

Et Maximus quidem hactenus. Nos vero cum sua huic volumini justaque magnitudo sit, quæ deinceps affecta disputatio desiderat, octavo qui sequitur Præparationis Evangelicæ libro, favente divino Numine repræsentabimus.

LIBER OCTAVUS.

PROŒMIUM.

I Priscorum Hebræorum vitam, qui antequam Moses ullus esset, vere Deo carissimorum nomen et laudem, virtutum sibi omnium ornamentis et insignibus defenderunt, simulque religiosas ac pias, summaque cum veritate conjunctas eorum doctrinæ ac theologiæ ratio-

καὶ προσέτι τὰς παναληθεῖς καὶ εὐσεβεῖς αὐτῶν θεολο-
γίας, ὧν εἰς ἔρωτα καὶ πόθον ἐλθεῖν ὡμολογήκαμεν,
διελθὼν ἐν τῷ πρὸ τούτου, μέτειμι νῦν ἀκολούθῳ τῇ
τάξει χρώμενος ἐπὶ τὴν κατὰ Μωσέα πολιτείαν, δευτε-
ρον ἐπέχουσαν εὐσεβείας μετὰ τὸν πρῶτον ἐκεῖνον βα- c
θμὸν, τὸν δὴ καὶ μόνῳ τῷ Ἰουδαίων ἔθνει νενομοθετημέ-
2 νον. Ὡς γὰρ μόνοις Ἰουδαίοις, οὐκ ἔτι δὲ καὶ τοῖς κατὰ
τὴν οἰκουμένην ἔθνεσιν, ἦν ἁρμόδια τὰ διὰ Μωσέως,
οὐδὲ δυνατὰ πᾶσιν ἀνθρώποις, λέγω δὲ τοῖς πόρρω που
τῆς Ἰουδαίας γῆς οἰκοῦσιν Ἕλλησί τε καὶ βαρβάροις,
φυλάττεσθαι, κατὰ τὸν οἰκεῖον καιρὸν ἀποδείξομεν.
3 Νυνὶ δὲ καὶ τούτου, λέγω δὲ τοῦ κατὰ Μωσέα βίου, τὸν
τρόπον, οὐκ ἐμαῖς φωναῖς, αὐτῶν δὲ μόνων πάλιν τῶν
παρὰ τοῖς ἀνδράσιν ἐπὶ τῇ πατρίῳ δεδοκιμασμένοις παι- d
δεύσει, παραθήσομαι· καὶ γάρ μοι προσήκειν ἡγοῦμαι
ταύτῃ, ᾗπερ καὶ ἠρξάμην, διὰ τῶν οἰκείων ἑκάστῳ τὰς
4 τῶν ἀποδείξεων μαρτυρίας παρέχειν. Ὥσπερ οὖν Φοί-
νικας, καὶ Αἰγυπτίους, καὶ Ἕλληνας τῶν παρὰ σφίσιν

b 6. εὐσεβεῖς καὶ παναληθεῖς E.I. 11. δεύτερον] δεύτερα C. c. τῷ] τῶν F.G. 3. δὲ τοῖς κατὰ F.G. 6. τῆς] τοῖς C. τοῖς ἰουδαίας F.G. 9. δὴ D. d 3. ᾗπερ] ᾗσπερ E.

nes, quarum nos amore desiderioque captos fassi ultro sumus, libro superiore complexi, suo deinceps ordine ad Mosaicæ reipublicæ instituta progredimur. Ea quippe secundum a primo illo pietatis gradum
2 tenuere, in quo soli tum Judæo populo consistendum erat. Nam solis tum Judæis, non reliquis totius orbis gentibus, aptas illas Mosis et congruas fuisse leges, nec hominum genus universum, Græcos, inquam, omnes et barbaros, qui procul a Judæa semoti essent, iisdem
3 servandis pares esse potuisse, suo tempore ostendemus. Cæterum Mosaicæ quoque hujus disciplinæ ritus, non jam meis ipse verbis, sed ipsismet, quomodo adhuc feci, eorum duntaxat qui præcipua quadam apud Judæos patrii moris cognitione floruerunt, vocibus repræsentabo: eandem mihi viam insistendum ratus, quam suis ac propriis in cujusque rei fidem testimoniis producendis atque laudandis institui.
4 Quemadmodum igitur, ex Phœnicibus, Ægyptiis, atque Græcis, qui

γνωρίμων κατὰ τὴν οἰκείαν χώραν μάρτυρας ἀνεκαλούμην, ταύτῃ μοι καὶ τούσδε ὁ παρὼν καιρὸς δοκεῖ ἐπιτηδείως εἰσποιεῖσθαι, ἀλλὰ μὴ ἡμᾶς αὐτοὺς τὰ ὀθνεῖα νομίζεσθαι κατασχεδιάζειν.

5 Πρὶν δ' ἐπὶ τοῦτ' ἐλθεῖν, ὅπως εἰς Ἕλληνας τὰ παρ'
αὐτοῖς παρῆλθε λόγια, καὶ τίς ὁ τρόπος συνέστη τῆς
τῶν πεπιστευμένων αὐτοῖς θείων γραφῶν ἑρμηνείας, δι'
ὅσων τε καὶ ὁποίων ἀνδρῶν καὶ δι' ὁπόσης βασιλικῆς
σπουδῆς τῆς εἰς τὴν Ἑλλάδα γλῶσσαν μεταβολῆς
ἔτυχε, τῶν ἀναγκαίων ἡγοῦμαι εἰς φανερὸν θέσθαι τοῖς p. 349
ἐντυγχάνουσιν, οὐκ ἀσυμβούλου μοι γενησομένης καὶ
τῆς τούτων ἐκθέσεως εἰς τὴν τῆς Εὐαγγελικῆς Προπαρα-
6 σκευῆς ἀπόδειξιν. Ἐπειδὴ γὰρ ὅσον οὔπω τὰ τῆς τοῦ
Σωτῆρος ἡμῶν βιωφελοῦς κηρύξεως ἔμελλεν ἐπὶ τῆς
Ῥωμαίων ἀρχῆς εἰς πάντας ἐκλάμπειν ἀνθρώπους, λό-
γος τε οὐχ ὁ τυχὼν ᾕρει τὰς περὶ αὐτοῦ προφητείας τόν
τε βίον τῶν πάλαι θεοφιλῶν Ἑβραίων καὶ τὰ τῆς εὐσε-

d 8. *καιρὸς δοκεῖ*] *δοκεῖ καιρὸς* B.C.D.F.G. 11. *τοῦτ'*] *τούτοις* B. 12. *παρῆλθε*] *εἰσῆλθε* B.C.D.F.G. vid p. 349 b 4.

p. 349. 3. *γενησομένης*] *γενησομένου* D.F.G. Supra *ἀσυμβόλου* G. 5. *ὅσον οὔπω—πάντων ἀνθρώπων* om. B. 9. *βίον* om. G.

nominis inter eos celebritate præstarent, suo loco testes appellavi: sic Judæos etiam homines suscepta nunc disputatio jure suo postulare videtur, non autem ut ipsimet exteri populi mores leviter ac negligenter adumbremus.

5 Sed antequam eo progredior, facturum me necessarium operæ pretium existimo, si qua via eorum ad Græcos oracula commearint, simul quænam creditarum ipsis divinarum literarum interpretationis concinnandæ ratio, quot præterea et cujusmodi hominum industria, quantoque regum studio, Græcis illa vocibus mandata fuerit, operis nostri lectoribus aperiam: cum præsertim haud inutilis mihi ad certum Evangelicæ Præparationis argumentum, rerum istarum enu-
6 cleatio futura videatur. Nam cum felix illud tempus instaret, quo salutaris hujus Servatoris nostri doctrinæ lux, sub Romanis imperatoribus in cunctos sese homines longe lateque diffunderet: adeoque præcipua tum quædam ratio postularet, ut quæ de ipso extarent oracula, nec non Hebræorum illorum vita, ac religiosæ disciplinæ

βοῦς διδασκαλίας αὐτῶν μαθήματα, τῇ πατρίῳ αὐτῶν b
φωνῇ ἐξ αἰῶνος μακροῦ κεκαλυμμένα, ἤδη ποτὲ εἰς
πάντα τὰ ἔθνη, οἷς τὰ τῆς θεογνωσίας ἔμελλε προξε-
νεῖσθαι, παρελθεῖν· Θεὸς αὐτὸς ὁ τῶνδε τῶν ἀγαθῶν
αἴτιος, προλαβὼν τὸ μέλλον ὡς ἂν Θεὸς τῇ προγνώσει,
τὰς περὶ τοῦ πάντων ἀνθρώπων οὐκ εἰς μακρὸν ἀνα-
φανησομένου Σωτῆρος, διδασκάλου τε εὐσεβείας ἑνὸς
τοῦ ἐπὶ πάντων Θεοῦ πᾶσι τοῖς ὑφ' ἥλιον ἔθνεσι κατα-
στησομένου, προρρήσεις ἀποκαλυφθῆναι τοῖς πᾶσι εἰς
φῶς τε ἐλθεῖν ἐπ' ἀκριβὲς μεταβληθείσας δημοσίαις τε
βιβλιοθήκαις ἀνατεθείσας διοικεῖται, βασιλεῖ Πτολεμαίῳ c
τοῦτο πρᾶξαι κατὰ νοῦν ἐμβαλών, εἰς προπαρασκευήν,
ὡς ἔοικε, τῆς τῶν ἐθνῶν ἁπάντων ὅσον οὔπω μελλούσης
7 *ἐξ αὐτῶν ἔσεσθαι μεταλήψεως. Ὧν γὰρ οὐκ ἂν ἄλλως*
ἐτύχομεν παρὰ Ἰουδαίων, ἀποκρυψάντων ἂν τὰ παρ'
[206] *αὐτοῖς λόγια διὰ τὸν πρὸς ἡμᾶς φθόνον, τούτων ἐκ τῆς*
θεόθεν οἰκονομηθείσης ἑρμηνείας ἠξιώθημεν πρὸς τῶν

b 3. *οἷς*] *ἧς* C.F.G. 4. *παρελθεῖν*] *προελθεῖν θεός· θεός αὐτός* E.I. 7. *σωτῆρος*] *τοῦ σ.* B. 10. *προρρήσεις*] *προρρήσει* C.F.G. qui mox om. *ἐλθεῖν*. c 2. *κατὰ*] *καὶ* F. 6. *Ἰουδαίων*] *Ἰουδαίοις* C.F.G. 8. *φόνον*] *φθόνον* C.I. ut ed. Viger. Tum *τοῦτον* D.

leges, quos longe Deus ipse carissimos habuisset, cum tot eæ seculorum intervallo patrii sermonis integumentis clausæ latuissent, cæteris tandem aliquando nationibus, quæ postmodum in cognitionis divinæ communionem vocandæ erant, omnibus paterent: Deus ille tantorum bonorum auctor, divinæ scientiæ vi futurum intuitus, singulari egit providentia, ut quæ de venturo paulo post generis humani Servatore, eodemque sanctioris erga unum præpotentem Deum religionis omnibus sub sole gentibus doctore futuro, prædicta jam olim essent, ea demum accurata explicatione patefacta, et publicis in bibliothecis collocata cunctorum in lucem venirent, immissa hac Ptolemæo regi mente divinitus: nimirum ut quædam quasi penus esset, unde illa postmodum in populorum omnium usum fructumque
7 promerentur. Enimvero quorum aliter nulla nobis unquam a Judæis, suorum nobis oraculorum cognitionem invidentibus, copia fieret, eorum divino consilio provisam interpretationem accepimus, atque ab

παρ' αὐτοῖς ἐπί τε συνέσει καὶ τῇ πατρίῳ παιδείᾳ δεδο-
8 κιμασμένων ἀνδρῶν μεταβληθέντων. Γράφει δὲ ταῦτα Ἀρισταῖος, ἀνὴρ λόγιος μὲν ἄλλως, οὐ μὴν ἀλλὰ καὶ παρατυχὼν τοῖς πραχθεῖσι κατὰ τὸν δεύτερον Πτολε- d μαῖον, τὸν ἐπικληθέντα Φιλάδελφον, καθ' ὃν τὰ τῆς ἑρμηνείας τῶν Ἰουδαϊκῶν γραφῶν, διὰ σπουδῆς τοῦ βασιλέως γενόμενα, τῶν κατὰ τὴν Ἀλεξάνδρειαν βιβλιοθηκῶν ἠξιώθη. Ἐπακοῦσαι δὲ αὐτοῦ καιρὸς, τόνδε πρὸς λέξιν ἱστοροῦντος τὸν τρόπον·

ΑΡΙΣΤΑΙΟΥ

2 Κατασταθεὶς ἐπὶ τῆς τοῦ βασιλέως βιβλιοθήκης Δημή- p. 350 τριος ὁ Φαληρεὺς ἐχρηματίσθη πολλὰ διάφορα πρὸς τὸ συναγαγεῖν ἅπαντα τὰ κατὰ τὴν οἰκουμένην βιβλία, καὶ ποιούμενος ἀγορασμοὺς καὶ μεταγραφὰς ἐπὶ τέλος ἤγαγεν ὅσον b
2 ἐφ' ἑαυτῷ τὴν τοῦ βασιλέως πρόθεσιν. Παρόντων οὖν ἡμῶν, ἐρωτηθεὶς πόσαι τινὲς μυριάδες τυγχάνουσι βιβλίων, εἶπεν, ὑπὲρ τὰς εἴκοσι, βασιλεῦ· σπουδάσω δ' ἐν ὀλίγῳ χρόνῳ πρὸς τὸ πληρωθῆναι πεντήκοντα μυριάδας τὰ λοιπά. Προσ-

c 10. ἐπί τε] τε om. B. τῇ om. D. qui mox δεδοκιμασμένον. καὶ τῇ—γράφει δὲ F. παιδείᾳ] παιδείῳ I. 11. μεταβληθέντων] μεταβληθέντος B. -θέντα C.G. d 2. τὰ] καὶ τὰ C.F.G. 6. τόνδε] τάδε I.

p. 350. 6. διάφορα om. B.C.D.F.G. Sed habet Aristeas Hodii p. 11. 7. τὰ κατὰ] τὰ om. G. b 4. τυγχάνουσι βιβλίων] βιβλ. τυγχ. B.C.F.G. εἶπεν om. I.

illis ipsis, qui plurimum apud eos cum prudentia, tum gentilitiarum
8 quoque literarum scientia præstabant, elaboratam. Atque hæc testatur Aristæus, vir cum eruditus in primis, tum etiam is, qui rebus Ptolemæi secundi, cognomento Philadelphi, tempore gestis interfuit. Eo enim regnante, imo id agente præterea studiose, sacra Judæorum monimenta Græce translata sunt, et Alexandrinis in bibliothecis reposita. Sed illum ipsum audire præstiterit, rem verbis totidem hunc in modum enarrantem :

2 Demetrius Phalereus, inquit, regiæ bibliothecæ præfectus, ad libros ex orbe terrarum universo congerendos, magna vi pecuniarum a rege accepta, coëmi alios, alios exscribi vertique curavit, ut quantum in se erat, ejus
2 faceret voluntati satis. Ac nobis aliquando præsentibus, quærenti ex eo regi, quam multa jam librorum millia corrogasset, amplius ducenta respondens, addidit continuo, daturum se operam, ut brevi post tempore quingentorum millium numerus impleretur. Cæterum audire se, Judæo-

ΑΡΙΣΤΑΙΟΥ

ἤγγελται δέ μοι καὶ τὰ τῶν Ἰουδαίων νόμιμα μεταγραφῆς
3 ἄξια καὶ τῆς παρά σοι βιβλιοθήκης εἶναι. Τί τὸ κωλύον
οὖν, εἶπεν, ἐστί σε τοῦτο ποιῆσαι; Πάντα γὰρ ἀποτέτακταί
σοι τὰ πρὸς τὴν χρείαν. Ὁ δὲ Δημήτριος εἶπεν· Ἑρμηνείας c
προσδεῖται· χαρακτῆρσι γὰρ ἰδίοις κατὰ τὴν Ἰουδαίαν χρῶνται, καθάπερ Αἰγύπτιοι τῇ τῶν γραμμάτων θέσει, καθὸ καὶ φωνὴν ἰδίαν ἔχουσιν. Ὑπολαμβάνονται δὲ Συριακῇ χρῆ-
4 σθαι· τὸ δ' οὐκ ἔστιν, ἀλλ' ἕτερος τρόπος. Μεταλαβὼν δὲ ἕκαστα ὁ βασιλεύς, εἶπε γραφῆναι πρὸς τὸν ἀρχιερέα τῶν Ἰουδαίων, ὅπως τὰ προειρημένα τελείωσιν λάβῃ.

Καὶ μεθ' ἕτερα ἐπιλέγει·

5 Ὡς δὲ κατεπράχθη ταῦτα, τὸν Δημήτριον ἐκέλευσεν ἐκδοῦναι περὶ τῆς τῶν Ἰουδαϊκῶν βιβλίων ἀναγραφῆς. Πάντα d
γὰρ διὰ προσταγμάτων καὶ μεγάλης ἀκριβείας τοῖς βασιλεῦσι τούτοις διῳκεῖτο, καὶ οὐδὲν ἀπερριμμένως οὐδὲ εἰκῇ.

b 8. καὶ om. D. 9. καὶ τῆς] καὶ om. F.G. 10. εἶπεν ἐστὶ] ἐστὶ εἶπεν B. ἐστιν εἰπεῖν C.D.F.G. 11. ἀποτέτακται] ὑποτέτακται Arist. c 3. τὴν τ. γ. θέσιν (ῆ, ει superscr.) D. 5. συριακῇ] συριακαῖς B. 9. λάβῃ] λάβοι F.G. 10. ὡς δὲ om. C. Tum καταπεπρᾶχθαι B. καταπράχθη F. 11. ἐκδοῦναι] εἰσδοῦναι B.C.D.F.G. Arist. Sed ἐκδοῦναι Josephus Ant. XII. 2, 3. d 4. διῳκεῖτο] διοικεῖται C.F.G. διωκεῖται (ο superscr.) D. ἀπεριμερίμνως] ἀπερριμμένως B.C.F.G.I. Arist.

rum quoque monimenta, quæ describerentur, ac regiam bibliothecam
αὐτοῦ πρὸς τὰ δι᾽ ἡμῶν ἐπιζητηθέντα· νομίζειν γὰρ τοῖς πολλοῖς περιεργίαν ἔχειν τινὰ τῶν ἐν τῇ νομοθεσίᾳ, λέγω δὲ περί τε βρωτῶν, καὶ ποτῶν, καὶ τῶν νομιζομένων ἀκαθάρτων

a 4. ἐπεσκιασμένης καὶ om. B.C.D.F.G. 6. ἀπαρκεῖν] ἐπαρκεῖν B.C.D.F.G. καὶ Ἀριστοβούλου—Ἐλεάζαρος om. B. 7. ἀνδρῶν τ. μ. γένος om. C.F.G. 9. Πτολεμαίου] Πτολεμαίων Valckenær. de Aristobulo p. 28. vid. supra p. 323 d 9. 10. τῷ—ἀξιώματι] τῶν—ἀξιωμάτων C.F.G. 11. ἡμῖν] ὑμῖν C. b 3. ἐπὶ τὴν] εἰς τὴν B.C.F.G. 6. λόγου τὴν διδασκαλίαν] τὴν λόγου διάσκεψιν B. τὴν τοῦ λόγου C.F.G. τοῦ λ. τ. δ. I. c 3. βραχέων] Vigerus conj. διὰ βραχέων. 4. ὑποδειχθέντων] ἐπιδειχ. I.

tuta. Jam vero, cum multa de adumbrato quodam et allegorico sancitarum ab eo legum sensu commemorare possim, Eleazari tamen et Aristobuli explicatione contentus ero, qui ambo et genus ab Hebræis suum longissime repetunt, et Ptolemæi regis tempore floru-
57 erunt. Eleazarus igitur, is quem sacerdotii dignitate præstitisse paulo ante docuimus, legatis ad sese ab rege missis, Hebraicas literas Græca lingua donandi rationem informans, de allegorica sententia divinarum legum verbis inclusa eam quæ sequitur disputationem instituit:

9 Atque hic, inquit Aristæus, operæ pretium fuerit, eorum quæ ad propositas a nobis quæstiones ipse respondit, paucis meminisse: quippe cum minutam nimis quibusdam in rebus legislatoris diligentiam fuisse plerique arbitrentur: cujusmodi sunt, quæ de esculentorum ac poculentorum dis- Arist. p. xvi. ed. Hod.

ΑΡΙΣΤΑΙΟΥ

2 εἶναι κνωδάλων. Πυνθανομένων γὰρ ἡμῶν διὰ τί, μιᾶς κατα-
βολῆς οὔσης, τὰ μὲν ἀκάθαρτα νομίζεται πρὸς βρῶσιν, τὰ d
δὲ καὶ πρὸς τὴν ἀφήν· (δεισιδαιμόνως γὰρ τὰ πλεῖστα τὴν
νομοθεσίαν ἔχειν, ἐν δὲ τούτοις πάλιν δεισιδαιμόνως·) πρὸς
3 ταῦτα οὕτως ἐνήρξατο· Θεωρεῖς, ἔφη, τὰς ἀναστροφὰς καὶ
τὰς ὁμιλίας, οἷον ἐνεργάζονται πρᾶγμα, διότι κακοῖς ὁμιλή-
σαντες διαστροφὰς ἐπιλαμβάνουσιν ἄνθρωποι, καὶ ταλαίπω-
ροι δι' ὅλου τοῦ ζῆν εἰσίν· ἐὰν δὲ σοφοῖς καὶ φρονίμοις συζῶ-
4 σιν, ἐξ ἀγνοίας ἐπανορθώσεως εἰς τὸν βίον ἔτυχον. Διαστει-
λάμενος οὖν τὰ τῆς εὐσεβείας καὶ δικαιοσύνης πρῶτον ὁ
νομοθέτης ἡμῶν, καὶ διδάξας ἕκαστα περὶ τούτων, οὐκ ἀπα-
γορευτικῶς μόνον ἀλλ' ἐνδεικτικῶς, καὶ τὰς βλάβας προδή-
λους, καὶ τὰς ὑπὸ Θεοῦ γενομένας ἐπιπομπὰς τοῖς αἰτίοις. p. 371
5 Προϋπέδειξε γὰρ πρῶτον πάντων, ὅτι μόνος ὁ Θεός ἐστι, καὶ
διὰ πάντων ἡ δύναμις αὐτοῦ φανερὰ γίνεται, πεπληρωμένου
παντὸς τόπου τῆς δυναστείας, καὶ οὐθὲν αὐτὸν λανθάνει τῶν
ἐπὶ γῆς γινομένων ὑπ' ἀνθρώπων κρυφίως, ἀλλ' ὅσα ποιεῖ τις

d 4. ἐνήρξατο B.F.G. post δεισιδαιμόνως. θεωρεῖν] θεωρεῖς I. Arist. 5. ἐνεργάζονται] ἐργ. C.D.F. 7. ἄνθρωποι] ἀνθρώποις C.F.G. 8. διὰ τοῦ ζῆν] διόλου τὴν ζωὴν B.C.F.G. δι' ὅλου τ. ζ. D. 10. βίον] νόμον F.G. 15. ὑπὸ] ἐπὶ C.F.G. γενομένας] γιγνομένας I.

p. 371. 3. διὰ πάντων B.C.D.F.G. post αὐτοῦ. 6. κρυφίως] κρυφαίως E.I.

2 crimine, itemque de impurarum animantium conditione statuuntur. Nobis ergo percontantibus, quam ob rem, cum una omnium esset eademque molitio, aliis tamen vesci, alia vel attingere, piaculum haberetur: hæc enim superstitiose ut plurimum lege sancita esse, quæ non minus superstitiose a Judæis observentur: ille hunc in modum respondere cœpit.
3 Vides, inquit, ipse, quanta vis sit, mutuæ consuetudinis atque societatis: cum et improborum ex commercio, morum corruptelam ejusmodi, quæ in totius vitæ pestem redundet, auferre vulgo soleant; et prudentium ac maturorum hominum familiaritas, pulsis ignorantiæ tenebris, longe saniorem
4 instituendæ vitæ rationem edoceat. Quare legislator noster, quæ ad religionem justitiamque pertinebant, ante omnia sigillatim et enucleate constitutis, atque ita, ut non modo criminis genus omne conceptis verbis prohiberet, sed etiam pœnas divinitus a scelerum auctoribus expetitas
5 quasi digito indicaret. Primum enim hoc posuit, Deum unum esse, cujus sese rebus in omnibus potestas exerat, cum vis ipsius omnia permeet: nihil eum prorsus latere, quod in terris ab hominibus obscure licet occulteque fiat: imo non ea tantum, quæ re ipsa fiant, sed etiam quæ futura

6 αὐτῷ φανερὰ καθέστηκε, καὶ τὰ μέλλοντα γίνεσθαι. Ταῦτ' ΑΡΙΣΤΑΙΟΥ
οὖν ἐξεργαζόμενος ἀκριβῶς, καὶ πρόδηλα θεὶς, ἔδειξεν ὅτι καὶ
ἐὰν ἐννοηθῇ τις κακίαν ἐπιτελεῖν οὐκ ἂν λάθοι, μὴ ὅτι καὶ
πράξας, δι' ὅλης τῆς νομοθεσίας τὸ τοῦ Θεοῦ δυνατὸν ἐν-
7 δεικνύμενος. Ποιησάμενος οὖν τὴν καταρχὴν ταύτην, καὶ δεί- b
ξας ὅτι πάντες οἱ λοιποὶ παρ' ἡμᾶς ἄνθρωποι πολλοὺς θεοὺς
εἶναι νομίζουσιν, αὐτοὶ δυναμικώτεροι πολλῷ καθεστῶτες ὧν
σέβονται ματαίως. Ἀγάλματα γὰρ ποιήσαντες ἐκ λίθων, ἢ
ξύλων, εἰκόνας φασὶν εἶναι τῶν ἐξευρόντων τι πρὸς τὸ ζῆν
αὐτοῖς χρήσιμον, οἷς προσκυνοῦσι, παρὰ πόδας ἔχοντες τὴν
8 ἀναισθησίαν. Εἴτε γὰρ κατ' ἐκεῖνό τις θείη, κατὰ τὴν ἐξεύρε-
σιν, παντελῶς ἀνόητον. Τῶν γὰρ ἐν τῇ κτίσει λαβόντες τινὰ
συνέθηκαν καὶ προσυπέδειξαν εὐχρηστοτάτην τὴν κατασκευὴν c
αὐτῶν, οὐ ποιήσαντες αὐτοί· διὸ κενὸν καὶ μάταιον τοὺς ὁμοί-
9 ους ἀποθεοῦν. Καὶ γὰρ ἔτι καὶ νῦν εὑρετικώτεροι καὶ πολυμα-
θέστεροι τῶν ἀνθρώπων τῶν πρὶν εἰσι πολλοὶ, καὶ οὐκ ἂν
10 φθάνοιεν αὐτοὺς προσκυνοῦντες. Καὶ νομίζουσιν οἱ ταῦτα δια-

a 8. ἐργασάμενος D. ἐξεργασάμενος F.G. ἀκριβῶς om. B.F.G. Mox ἂν B.C. non ἐάν. 11. δι' ὅλης] ἐξ ὅλης B.C.D.F.G. b 4. ἐσέβοντο D. 5. γὰρ om. B.C.F.G. 9. εἴτε γὰρ—ματαίων δοξῶν om. B. ἀνόητοι Arist. c. προσαπέδειξαν] προσυπέδειξαν C.F.G.I. Mox τὴν om. I. 2. οὐ ποιήσ. αὐτοὶ om. C.F.G. 3. ὁμοίως D. 4. καὶ om. D. et infra.

6 sint, ei cognita jam esse atque perspecta. Quæ cum ille tam accurate
persequeretur, et in omnium oculis collocaret, simul hoc profecto docuit,
nullum omnino scelus, vel animo tantum et cogitatione conceptum, ne
dum ut re ipsa patratum, divini oculi aciem effugere posse: quem in finem,
7 summi Numinis potestatem tota passim lege commonstrat. Inde igitur
auspicatus, ostendit continuo, si nos tantum excipias, invectam ab reliquis
omnibus, deorum esse multitudinem, cum tamen ista colluvie longe
potentiores illi ipsi sint, qui divinos eidem honores frustra stolideque tri-
buant. Nam quæ vel ex lapide, vel ex ligno simulacra conflaverint, ima-
gines illorum esse dictitant, qui aliquid ducendæ vitæ commodum invene-
rint, quosque suis ipsimet oculis omni sensu carere vident, eos flexo
8 quoque genu venerantur. Et quidem eo potissimum, quod alicujus rei
auctores fuerint, ad hanc divinitatis opinionem adduci, prorsus insani
capitis est: quippe qui ex iis duntaxat, quæ procreata jam erant, inter sese
nonnulla conjunxerint, atque utilitatis aliquid afferre posse ostenderint, at
molitionem eorum ne attigerint quidem. Vecordis igitur ac dementis
9 fuerit, huic hominum generi divinitatem affingere. Enimvero superioribus
illis longe solertiores hodie quamplurimos, ac rerum cognitione præstan-
10 tiores invenias, quos ab istis proinde tanquam Deos coli oportebit. Atque

ΑΡΙΣΤΑΙΟΥ

πλάσαντες καὶ μυθοποιήσαντες τῶν Ἑλλήνων οἱ σοφώτατοι
καθεστάναι. Τῶν μὲν γὰρ ἄλλων πολυματαίων τί δεῖ λέγειν,
Αἰγυπτίων τε καὶ τῶν παραπλησίων, οἵτινες ἐπὶ θηρία καὶ d
τῶν ἑρπετῶν τὰ πλεῖστα καὶ κνωδάλων τὴν ἀπέρεισιν πε-
ποίηνται, καὶ ταῦτα προσκυνοῦσι, καὶ θύουσι τούτοις καὶ
11 ζῶσι καὶ τελευτήσασι; Συνθεωρήσας τοιγαροῦν ἕκαστα σο-
φὸς ὢν ὁ νομοθέτης, καὶ ὑπὸ Θεοῦ κατεσκευασμένος εἰς ἐπί-
γνωσιν τῶν ἁπάντων, περιέφραξεν ἡμᾶς ἀδιακόποις χάραξι
καὶ σιδηροῖς τείχεσιν, ὅπως μηδενὶ τῶν ἄλλων ἐθνῶν ἐπιμισ-
γώμεθα κατὰ μηδὲν, ἁγνοὶ καθεστῶτες κατὰ σῶμα καὶ κατὰ
ψυχὴν, ἀπολελυμένοι ματαίων δοξῶν, τὸν μόνον Θεὸν καὶ
12 δυνατὸν σεβόμενοι παρ' ὅλην τὴν πᾶσαν κτίσιν. Ὅθεν Αἰ-
γυπτίων οἱ καθηγεμόνες ἱερεῖς ἐγκεκυφότες εἰς πολλὰ, καὶ p. 372
[219] μετεσχηκότες πραγμάτων, ἀνθρώπους Θεοῦ προσονομάζου-
σιν ἡμᾶς· ὃ τοῖς λοιποῖς οὐ πρόσεστιν, εἰ μή τις σέβεται τὸν
κατ' ἀλήθειαν Θεόν· ἀλλ' εἰσὶν ἄνθρωποι βρωτῶν καὶ ποτῶν
καὶ σκέπης· ἡ γὰρ πᾶσα διάθεσις αὐτῶν ἐπὶ ταῦτα κατα-

c 10. λέγειν] καὶ λ. I. d. οἵ τινες ἐπὶ θηρία] οἱ ἐπὶ θηρίων C. τινες om. F.G. 2. ἐπὶ κν.] ἐπὶ om. F.G. Arist. 3. ταῦτα om. C.F.G. 5. τοιγαροῦν] οὖν C.D.F.G. 6. κατεσκευασμένος] κατεσκευασμένα C. D.F.G. 11. κατὰ σῶμα] καὶ σ. C.F.G. et mox καὶ ψ. et similiter fere ni fallor D. 12. τὸν μόνον— ἐγκεκυφότες] ἡμεῖς δὲ τὸν μόνον θεὸν σεβόμενοι. Αἰγυπτίων δὲ οἱ ἱερεῖς ἐκκεκυφότες B. τὸν μόνον θεὸν σεβόμενοι. ὅθεν αἰγυπτίων οἱ ἱερεῖς ἐκκεκ. C.F.G. 13. καὶ δυνατὸν om. D. ult. οἱ καθηγεμόνες om. D. qui mox ἐκκεκ.

p. 372. 6. ἡ γὰρ πᾶσα—καὶ ποτῶν om. C.F.G. πᾶσα om. D. πᾶσα διάθεσις αὐτῶν] αὐτῶν διάθεσις B.

hi numinum fictores et architecti, Græcorum sapientissimi audire volunt, (quid enim Ægyptiorum dicam, aliorumque similium, qui in feris, serpentibus, ac spurcissimis animantibus spe omni collocata, eas divinis honoribus atque sacrificiis non viventes modo, sed etiam mortuas prosequuntur?)
11 His, inquam, omnibus legislator ille noster, uti sapientissimus erat, atque a Deo rerum ad omnium cognitionem factus, diligenter expensis, inexpugnabili quodam vallo, et ferreis quasi mœnibus septos esse nos munitosque voluit, ne cum aliis gentibus vel minimo rei cujusque commercio jungeremur, sed corpore simul animoque casti, futiliumque opinionum erroribus expediti, unum supra creaturas omnes ac præpotentem Deum
12 coleremus. Itaque nos ipsi quoque principes Ægyptiorum sacerdotes, qui altius in rerum nostrarum arcana penetrarunt, proprio quasi nomine, Dei homines, appellarunt. Id quod in alios, qui a veri Numinis cultu alieni sunt, nullo modo convenire potest. Eos enim potius cibi, potus, ac vestimenti homines appellaris, quippe quorum animus in rerum istarum cura

ΑΡΙ-ΣΤΑΙ-ΟΥ

13 φεύγει. Τοῖς δὲ παρ' ἡμῖν ἐν οὐδενὶ ταῦτα λελόγισται, περὶ δὲ τῆς τοῦ Θεοῦ δυναστείας δι' ὅλου τοῦ ζῆν ἡ σκέψις αὐτοῖς ἐστί. Ὅπως οὖν μηδενὶ συναλισγόμενοι μηδὲ ὁμιλοῦντες φαύλῳ διαστροφὰς λαμβάνοιμεν, πάντοθεν ἡμᾶς περιέφραξαν ἁγνείαις, καὶ διὰ βρωτῶν, καὶ ποτῶν, καὶ ἁφῆς, καὶ b
14 ἀκοῆς, καὶ ὁράσεως νομικῆς. Τὸ γὰρ καθόλου πάντα πρὸς τὸν φυσικὸν λόγον ὅμοια καθέστηκεν, ὑπὸ μιᾶς δυνάμεως οἰκονομούμενα, καὶ καθ' ἓν ἕκαστα ἔχει λόγον βαθὺν, ἀφ' ὧν
15 ἀπεχόμεθα κατὰ τὴν χρῆσιν, καὶ οἷς συγχρώμεθα. Χάριν δὲ ὑποδείγματος, ἓν ἢ δεύτερον ἐπιδραμὼν σοι σημανῶ. Μὴ γὰρ εἰς τὸν καταπεπτωκότα λόγον εἰσέλθῃς, ὅτι μυιῶν καὶ γαλῆς ἢ τῶν τοιούτων χάριν περιεργίας ποιούμενος ἐνομοθέτει ταῦτα Μωσῆς, ἀλλὰ πρὸς ἁγνὴν ἐπίσκεψιν, καὶ τρό- c
πων ἐξαρτισμὸν, δικαιοσύνης ἕνεκεν σεμνῶς πάντα ἀνατέτα-
16 κται. Τῶν γὰρ πετεινῶν οἷς χρώμεθα πάντα ἥμερα καθέστηκε, καὶ διαφέρει καθαριότητι, πυροῖς καὶ ὀσπρίοις χρώ-

a 7. ἡμῖν] ἡμῶν I. qui mox om. τῆς τοῦ. 10. συναλισγόμενοι μηδὲ om. D. qui mox συνομιλοῦντες—διαστρεφώμεθα cum V. 11. φαύλῳ] φαύλοις I. et mox περιέφραξεν. b. ἁφῆς] ἀφῶν E.I. 2. νομικῆς] νομικῶς I. τὸ γὰρ] τῷ γὰρ C.I. 5. ἕκαστα] ἕκαστον E.I. ἔχει λόγον] λόγον ἔχει C.F.G. καθ' ἓν ex Arist. I. pro καθ' ὅν. 6. ἀπεχώμεθα D. 9. εἰσέλθῃς ὅτι μυιῶν καὶ γαλῆς] ἔλθῃς ὅτι μυῶν καὶ γαλῶν C.F.G. ἔλθῃς D. c. ἐξαρτισμὸν] ἐξαίρετον C.F.S. τρόπον ἐξαίρετον ἐξαρτισμὸν καὶ δικ. D. τρόπον ἐξέρεται ἐξαρτισμὸν δ' F. 2. δικαιοσύνης] ὅτι μωσῆς δικαιοσύνης B. Tum ἕνεκεν B.C.F.I. Tum σεμνῶς F. 4. καὶ διαφέρει καθαριότητι] καὶ καθαρὰ πυροῖς B.C.F.G.

13 totus et cogitatione versetur. Apud nostros autem, qui vitæ tempus universum in una divinæ potestatis contemplatione defigunt, cuncta ista jacent. Ergo ne ex ullius improbi usu et familiaritate vitii quicquam et contagionis hauriamus, certis nos ac legitimis esculentorum, poculentorum, tactus, auditus, aspectus, legibus ac religionibus vallatos undique ac mu-
14 nitos esse voluit. Ut enim, si naturæ duntaxat rationem habueris, et similis universe conditionis omnia sint, et una eademque potestate gubernentur: singula tamen, quibus aut abstinemus, aut utimur, alto quodam
15 consilio, et ratione nituntur. Atque, ut ex paucis, æstimes cætera, unum aut alterum cursim attingam. Cave enim, te humilis adeo subeat indignaque cogitatio, quasi murium, aut mustellarum, aut cæterarum ejusmodi rerum caussa valde sollicitus, ea Moses instituerit; caste omnia sancteque provisa sunt, atque ut ad morum conformationem integre, sic ad æqui-
16 tatem stabiliendam graviter matureque sancita. Nam ex avibus quidem, vescas tantum eas esse voluit, quæ cum cicures essent ac mansuetæ, tum

ΑΡΙΣΤΑΙΟΥ

μενα πρὸς τροφὴν, οἷον, περιστεραὶ, τρυγόνες, ἀττακοὶ, πέρδικες, ἔτι δὲ χῆνες, καὶ τὰ ἄλλα ὅσα τοιαῦτα· περὶ ὧν δὲ ἀπηγόρευται πετεινῶν, εὑρήσεις ἄγριά τε καὶ σαρκοφάγα, καὶ καταδυναστεύοντα τῇ περὶ αὐτὰ δυνάμει τὰ λοιπὰ, καὶ τὴν τροφὴν ἔχοντα τὴν δαπάνησιν τῶν προειρημένων ἡμέρων μετὰ ἀδικίας. Οὐ μόνον δὲ ταῦτα, ἀλλὰ καὶ τοὺς ἄρνας καὶ d ἐρίφους ἁρπάζουσι, καὶ τοὺς ἀνθρώπους δὲ ἀδικοῦσι, νεκρούς
17 τε καὶ ζῶντας. Παράσημον οὖν ἔθετο διὰ τούτων, ἀκάθαρτα προσονομάσας, ὅτι δέον ἐστὶ κατὰ ψυχὴν, οἷς ἡ νομοθεσία διατέτακται, δικαιοσύνῃ συγχρῆσθαι, καὶ μηδένα καταδυναστεύειν πεποιθότας ἰσχύϊ τῇ ἑαυτῶν, μὴ δ' ἀφαιρεῖσθαι μήθ' ἓν, ἀλλ' ἐκ δικαιοτάτου βίου διακυβερνᾶν, ὡς τὰ τῶν προειρημένων πετεινῶν ἥμερα ζῷα τὰ φυόμενα τῶν ὀσπρίων ἐπὶ γῆς δαπανᾷ, καὶ οὐ καταδυναστεύει πρὸς τὴν ἐπαναίρεσιν

c 6. τροφὴν] τὴν τροφὴν E.I. ἀτταγαὶ] ἀττακοὶ B.C.D.F.G. Arist. ἀτταγοὶ I. Mox ἔτι δὲ om. B.C.F.G. Tum καὶ ὅσα τοιαῦτα B.C.F.G. 8. περὶ ὧν δὲ ἀπηγόρευται] περὶ δ' ὧν ἀπηγόρευκεν B.C.D.F.G. περὶ ὧν δὲ ἀπηγόρευκεν V. Tum πετεινῶν om. B.D. 11. τὴν τροφὴν—ἄρνας] καὶ δαπανῶντα τὰ προειρημένα ἥμερα τὰ (μετὰ C.F.V.) ἀδικίας. ἀλλὰ καὶ ἄρνας B.C.F.G. et sic fere D.S.V. d 2. ἀνθρώπους δὲ] δὲ om. B.C. F.G. 3. παράσημον] παράσημον om. D. Inserunt h. l. B.C.F.G. ἀκάθαρτα γοῦν αὐτὰ προσονόμασαν (προσωνόμασεν C.F.G.) ὅτι δέον οἷς ἡ νομοθεσία συντέτακται. 4. οὖν—προονομάσας] γοῦν αὐτὰ—προσονόμασεν D. 5. ὅτι δέ ἐστι κατὰ ψυχὴν οἷς ἡ ν. διατέτακται] ὅτι δέον οἷς ἡ νομ. συντέτακται D. 8. ἑαυτῶν] καθ' ἑαυτοὺς E. καθ' item I. Mox μηδὲν I. 9. διακυβερνᾶν] κυβερνᾶν I. ὡς τὰ τῶν—συγγενικῶν om. B.C.F.G. 11. δαπανᾶν D.

cæteris longe puriores, non nisi tritico et leguminibus vescerentur; cujusmodi sunt columbæ, turtures, attagenæ, perdices, anseres, ac reliquæ id genus. Contra vero, quarum nobis esu interdictum est, eas immanes esse, carnibusque pasci reperies, nec in alias modo vim ac tyrannidem exercere, sed earum etiam, quas cicures jam ante diximus, laniena injuriose saginari. Quanquam non illas tantum, sed agnos etiam hœdosque rapiunt,
17 hominesque mortuos pariter, viventesque lædunt. Itaque, dum impuras illas appellaret, eos simul quibus leges ferebantur, ipsarum notis ac symbolis admonebat, æquitatem animo fovendam ac retinendam esse, potentia viribusque suis ad opprimendam aliorum libertatem, aut eos ullo rei genere spoliandos nunquam abutendum: sed potius summa cum æquitate vitam instituendam ac ducendam esse: quemadmodum cicures istæ ac mansuetæ volucres, leguminibus ex terra satis contentæ, nec in minoris turbæ, nec in earum quæ generis ejusdem naturæque sint, perniciem ullo modo sæ-

18 οὔτε τῶν ὑποβεβηκότων, οὔτε τῶν συγγενικῶν. Διὰ τούτων p. 373
οὖν παρέδωκεν ὁ νομοθέτης σημειοῦσθαι τοῖς συνετοῖς, εἶναι ΑΡΙ-ΣΤΑΙ-ΟΥ
δικαίους τε, καὶ μηδὲν ἐπιτελεῖν βίᾳ, μηδὲ τῇ περὶ αὐτοὺς
19 ἰσχύϊ πεποιθότας ἑτέρους καταδυναστεύειν. Ὅπου γὰρ οὐδ᾽
ἅψασθαι καθῆκε τῶν προειρημένων διὰ τὴν περὶ ἕκαστα διά-
θεσιν, πῶς οὐ φυλακτέον παντάπασι τοὺς τρόπους εἰς τοῦτο
20 κατακλασθῆναι; Πάντα οὖν τὰ συγχωρηθέντα ἐπὶ τούτων
καὶ τῶν κτηνῶν τροπολογῶν ἐκτέθεικε. Τὸ γὰρ διχηλεύειν
καὶ διαστέλλειν ὁπλῆς ὄνυχας, σημεῖόν ἐστι τοῦ διαστέλλειν b
21 ἕκαστα τῶν πράξεων ἐπὶ τὸ καλῶς ἔχον. Ἡ γὰρ ἰσχὺς τῶν
ὅλων σωμάτων μετὰ ἐνεργείας ἀπέρεισιν ἐπὶ τοὺς ὤμους ἔχει
καὶ τὰ σκέλη. Μετὰ διαστολῆς οὖν ἅπαντα ἐπιτελεῖν πρὸς
δικαιοσύνην ἀναγκάζει, τῷ σημειοῦσθαι διὰ τούτων. Ἔτι δὲ
22 καὶ διότι παρὰ πάντας ἀνθρώπους διεστάλμεθα. Οἱ γὰρ
πλείονες τῶν λοιπῶν ἑαυτοὺς μολύνουσιν ἐπιμισγόμενοι, συν-
τελοῦντες μεγάλην ἀδικίαν, καὶ χῶραι καὶ πόλεις ὅλαι ἐπὶ

p. 373. τούτων] τῶν τοιούτων E.I. σημειοῦσθαι τοῖς συν. om. B. C.D.F.G. 2. τε καὶ] τε om. B.C. 3. μηδὲ τῇ—μηρυκισμὸν om. B. 7. κατακλεισθῆναι] κατακλασθῆναι I. Arist. 8. πάντα] πάντα μὲν C.F.G. συγχωρηθέντα] τῆς συγχωρήσεως ἡμῖν E.I. 9. ἐκτέθεικε] ἐκτέθηκε D. ἐκτέθειται E.I. b 4. μετὰ διαστολῆς οὖν] Inserunt C.F.G. h. l. βιώσκομεν· τῷ σημειοῦσθαι ὅτι παρὰ πάντας ἀνθρώπους διαστελλόμεθα· οἱ γὰρ ἄλλοι μολύνουσιν ἑαυτούς. βιώσκομεν D. de ceteris tacet collator præter ὅτι—διαστελλόμεθα et ἄλλοι. 6. διὰ τούτων] καὶ διὰ τ. E.I. 10. χῶραι] χῶρα E. qui mox σεμ. ἐπὶ τ. cum I.

18 viunt. His igitur atque similibus id legislator egit, ut qui aliquid sensus
haberent, colendam esse justitiam, nihil per vim unquam moliendum, nec
19 suas opes in tyrannidem vertendas esse intelligerent. Nam si ejusmodi
volucres, ob impetum naturæ singularem ac proprium, ne attingi quidem
fas putavit; quis non sibi longe diligentius cavendum esse statuet, ne in
20 earum similitudinem moribus vitaque degeneret? Quarum ergo nobis ille,
non avium modo, sed etiam pecudum usum concessit, eas ad morum
informationem omnes revocavit. Nam quod fissam ac bisulcam eorum
pecorum ungulam esse vult, id nobis laborandum monet, ut actiones sin-
gulas, ad id quod rectum atque honestum est, prudenti adhibito discri-
21 mine, referamus. Vis enim corporum universorum, cum opere ipso con-
juncta, in humeros sese totam et crura colligit. Ergo figurarum istarum
similitudo, nostra omnia diligenti examine ad æquitatem dirigendi, quan-
dam nobis necessitatem imposuit. Quanquam eo quoque illa pertinet,
22 quod ingenti ab cæteris hominibus intervallo disjuncti simus. Nam ple-
rique omnes infandis ac sceleratis ex congressionibus labem maculamque
suscipiunt longe teterrimam; regionesque passim et urbes integræ simili-

ΑΡΙΣΤΑΙΟΥ τούτοις σεμνύνονται. Οὐ μόνον γὰρ πρὸς ἄρρενας προσά-
γουσιν, ἀλλὰ καὶ τεκούσας, ἔτι δὲ καὶ θυγατέρας μολύνουσιν. c
23 Ἡμεῖς δὲ ἀπὸ τούτων διεστάλμεθα. Περὶ ὃν δέ ἐστιν ὁ
προειρημένος τῆς διαστολῆς τρόπος, περὶ τοῦτον καὶ τὸν
τῆς μνήμης εἶναι κεχαρακτήρικε. Πάντα γὰρ ὅσα διχηλεῖ
καὶ μηρυκισμὸν ἀνάγει, σαφῶς τοῖς νοοῦσιν ἐκτίθεται τὸ τῆς
μνήμης. Ἡ γὰρ ἀναμηρύκισις οὐδὲν ἕτερον ἀλλ' ἢ τῆς ζωῆς
24 καὶ συστάσεως ὑπόμνησίς ἐστι. Τὸ γὰρ ζῆν διὰ τῆς τροφῆς
συνεστάναι νομίζει. Διὸ παρακελεύεται διὰ τῆς γραφῆς λέ-
γων οὕτως, Μνείᾳ μνησθήσῃ Κυρίου τοῦ Θεοῦ, τοῦ ποιήσαντος d
[220] 25 ἐν σοι τὰ μεγάλα καὶ θαυμαστά. Κατανοούμενα γὰρ ἔνδοξα
φαίνεται, πρῶτα μὲν ἡ τοῦ σώματος σύμπηξις, καὶ ἡ τῆς
τροφῆς διοίκησις, καὶ ἡ περὶ ἕκαστον μέρος διαστολή, πολλῷ
δὲ μᾶλλον ἡ τῶν αἰσθήσεων διακόσμησις, διανοίας ἐνέργημα,
καὶ κίνησις ἀόρατος, ἥ τε ὀξύτης τοῦ πρὸς ἕκαστόν τι πράσ-
26 σειν, καὶ τεχνῶν εὕρεσις, ἐπέραστον περιέχει τρόπον. Διὸ
παρακελεύεται μνείαν ἔχειν, ὡς συντηρεῖται τὰ προειρημένα

c. ἔτι δὲ καὶ] καὶ om. I. 2. ἡμεῖς δὲ ἀ. τ. δ. om. C.D.F.G. ὧν D. 4. εἶναι καὶ τ. τ. μ. E.I. πάντα] εἶπας E.I. 5. μηρυκισμὸν] μυρικ. C.F.G. et sic mox διχηλῆ D. 7. ἀλλ' ἢ] ἀλλὰ I. d 2. ἔνδοξα καὶ μεγάλα φαίνεται E.I. 3. πρῶτα] πρῶτον I. ἡ σύμπηξις ἡ τοῦ σώματος E.I. 4. μέρος] μέλος C.F.G.I. 5. αἰσθήσεως] τῶν αἰσθήσεων I. 9. ἐπέραστον] ἀπέραστον Arist. ἀπέρατον conj. Viger. 10. προειρημένα] εἰρημένα C.F.G. omisso statim συνεχόμενα.

bus flagitiis maxime gloriantur, dum et marium commercia invehunt, et
23 puerperas simul filiasque suas contaminant. A quibus sane distamus
quam longissime. Jam ubi discriminis hujus ratio locum haberet, ibi
suum etiam memoriæ signum et characterem impressit. Nam quæcunque
animantes cum ungula bifida conjunctam habent ruminandi vim, eæ vero,
saltem iis qui aliquid intelligunt, memoriæ conditionem manifeste repræ-
sentant: nec enim ruminatio quicquam aliud est, quam aliqua vitæ et
24 consistentis naturæ recordatio, cum ex alimento vita consistat. Itaque
nos idem ille sacris literis ita cohortatur, *Recordando recordaberis Domini*
25 *Dei, qui fecit in te magna et mirabilia.* Etenim, magna certe quidem et
illustria, si cum animo ipse tuo reputaveris, hæc esse intelliges: corporis
totius conformationem, dispensationem alimenti, ejusdem partes in omnes
ac singulas divisionem æquabilem: tametsi cum elegans sensuum collo-
catio, tum vis illa mentis, ejusdemque motus aspectum fugiens, acris et
expedita, quicquid demum occurrerit, agendi solertia, artiumque omnium
excogitatio, longe verius immensum aliquid et infinitum complectuntur.
26 Nos igitur ipse cohortatur, uti perpetuo meminerimus, vi ac potestate

ΑΡΙΣΤΑΙΟΥ

συνεχόμενα θείᾳ δυνάμει. Πάντα γὰρ τόπον καὶ χρόνον ὥρικε, πρὸς τὸ διαπαντὸς μνημονεύειν τοῦ κρατοῦντος Θεοῦ, συντηροῦντας καὶ τὰς ἀρχὰς, καὶ μεσότητας, καὶ τελευτάς.
27 Καὶ γὰρ ἐπὶ τῶν βρωτῶν καὶ ποτῶν ἀπαρξαμένους εὐθέως p. 374 τότε συγχρῆσθαι κελεύει. Καὶ μὴν καὶ ἐκ τῶν περιβολαίων παράσημον ἡμῖν μνείας δέδωκεν· ὡσαύτως δὲ [καὶ ἐπὶ τῶν πόλεων καὶ οἰκήσεων διὰ τὸ σκεπάζεσθαι,] καὶ ἐπὶ τῶν πυλῶν καὶ θυρῶν προστέταχεν ἡμῖν τιθέναι τὰ λόγια, πρὸς τὸ μνείαν εἶναι Θεοῦ· καὶ ἐπὶ τῶν χειρῶν δὲ διαρρήδην τὸ σημεῖον κελεύει περιῆφθαι, σαφῶς ἀποδεικνὺς, ὅτι πᾶσαν ἐνέρ- b γειαν μετὰ δικαιοσύνης ἐπιτελεῖν δεῖ, μνήμην ἔχοντας τῆς ἑαυτῶν κατασκευῆς, ἐπὶ πᾶσι δὲ, τὸν περὶ Θεοῦ φόβον.
28 Κελεύει δὲ καὶ κοιταζομένους, καὶ διανισταμένους, καὶ πορευομένους μελετᾶν τὰς τοῦ Θεοῦ κατασκευὰς, οὐ λόγῳ μόνον, ἀλλὰ καὶ διαλήψει θεωροῦντας τὴν κίνησιν, καὶ τὴν ὑπόληψιν ἑαυτῶν, ὅταν εἰς ὕπνον ἔρχωνται, καὶ τὴν ἔγερσιν, ὡς θεία τίς ἐστι καὶ ἀκατάληπτος ἡ τούτων μετάθεσις.

d 10. δυνάμει] δυνάμει συγκατασκευῇ E.I.S.V. δ. σὺν κατ. Arist. 11. τόπον καὶ χρόνον] χρ. καὶ τόπ. C.F.G. 12. συντηροῦντας—κελεύει om. C.F.G. 13. καὶ μεσότητας om. D.

p. 374. γὰρ] γὰρ καὶ D. 4. μνείαν δέδωκεν] μνείας ἔδωκεν C.G. μνηίας ἔδ. F. μνείας I. 6. θυρῶν] ἐπὶ τῶν θυρῶν C.F.G. b 3. περὶ θεοῦ] περὶ om. C.F.G. τοῦ θεοῦ F.G.S.V. 4. δὲ καὶ] καὶ om. C.F.G. 7. τὴν κίνησιν] τὰ κινήματα C.F.G. 9. ὡς θεία] καὶ θεία E.

divina hæc omnia contineri pariter atque conservari. Nullum enim non locum ipse, non tempus constituit, ad eam cuncta complectentis ac moderantis Dei memoriam assidue usurpandam, rerum initia, progressiones, et
27 exitus diligenter observando. Nam in mensa quidem, tum demum cibis appositis uti jubet, si prius Deo libatum fuerit. In ipsis quoque vestibus expressa quædam et obvia hujus memoriæ signa esse voluit. Nec summis tantum in vestibulis ac januis divinorum præceptorum oracula, quibus Dei memoria foveatur, collocanda: sed ipsis etiam manibus illigatum ejusmodi signum conceptis verbis circumferendum edicit: quo perspicue omnibus ostendat, nullam non esse nobis cum æquitate functionem obeundam, ita quidem, ut cum nostræ ipsorum molitionis recordemur, tum
28 etiam divinum rebus in omnibus timorem conservemus. Quinetiam nos, seu lectum petimus, seu surgimus, seu iter facimus, divina simul opera nobiscum reputare jubet, atque ita, ut non ratione modo, verum etiam ipso temporis intervallo motum ipsi nostrum sensumque cogitemus, dum nos aut somno dedimus, aut ex eodem evigilamus, uti divina quædam est, quamque mens nostra capere non possit, utriusque rei vicissitudo.

ΑΡΙΣΤΑΙΟΥ

29 Δέδεικται δέ σοι καὶ τὸ περισσὸν τῆς λογίας τῆς κατὰ
τὴν διαστολὴν καὶ μνείαν, ὡς ἐξεθέμεθα τὴν διχηλίαν καὶ τὸν c
μηρυκισμόν. Οὐ γὰρ εἰκῆ, καὶ κατὰ τὸ ἐμπεσὸν εἰς ψυχὴν
νενομοθέτηται· πρὸς δ' ἀλήθειαν καὶ σημείωσιν ὀρθοῦ λόγου.
30 Διατάξας γὰρ ἐπὶ βρωτῶν καὶ ποτῶν καὶ τῶν κατὰ τὰς
ἁφὰς ἕκαστα, κελεύει μηθὲν εἰκῆ μήτε πράσσειν, μήτε ἀκού-
ειν, μήτε τῇ τοῦ λόγου δυναστείᾳ συγχρωμένους ἐπὶ τὴν
31 ἀδικίαν τρέπεσθαι. Καὶ ἐπὶ τῶν κνωδάλων δὲ ταυτόν ἐστιν
εὑρεῖν. Κακοποιητικὸς γὰρ ὁ τρόπος ἐστὶ καὶ γαλῆς, καὶ d
μυῶν, καὶ τῶν τούτοις ὁμοίων, ὅσα διηγόρευται. Πάντα γὰρ
λυμαίνονται καὶ κακοποιοῦσι μύες, οὐ μόνον πρὸς τὴν ἑαυτῶν
τροφὴν, ἀλλὰ καὶ εἰς τὸ παντελῶς ἄχρηστον γίνεσθαι ἀν-
32 θρώπῳ ὅ τι ἂν δή ποτ' οὖν ἐπιβάλληται κακοποιεῖν. Τό τε
τῆς γαλῆς γένος ἰδιάζον ἐστί· χωρὶς γὰρ τοῦ προειρημένου
ἔχει λυμαντικὸν κατάστημα. Διὰ γὰρ τῶν ὤτων συλλαμ-
βάνει· τεκνοποιεῖ δὲ τῷ στόματι. Καὶ διὰ τοῦτ' οὖν ὁ
τοιοῦτος τρόπος τοῖς ἀνθρώποις ἀκάθαρτός ἐστιν. Ὅσα γὰρ
δι' ἀκοῆς λαβόντες, ταῦτα τῷ λόγῳ σωματοποιήσαντες,

b 11. πέριττον F.G. c. ἐξεθέμεθα] ἐξεθέσθαι E.I. 2. οὐ γὰρ εἰκῆ καὶ κατὰ τὸ ἐμπ.] ταῦτα οὐκ εἰκῆ B. 3. κατὰ τὸ] τὸ om. F.G. 5. καὶ ποτῶν om. B.C.F.G. 11. ὁ τρόπος ἐστὶ] ἐστιν ὁ τρόπος B.C.F.G. Tum γαλῶν C.F.G. d 4. εἰς τὸ om. B.C.D.F.G. 6. ἐπιβάλληται] ἐπιβάλλεται C. 10. τοῦτ' οὖν] τοῦτο B. Supra τῷ om. G. 11. ἀνθρώποις] τῶν ἀνθρώπων B.C.D.F.G.

29 Vidisti præterea, distinctionis ac memoriæ quam eximia sit excellensque ratio, cum bisulcæ ungulæ, ruminationisque vim et significationem aperiremus. Neque enim temere, ac prout casu in mentem veniret, sed veritatis adumbrandæ, rectæque rationis insinuandæ gratia, cautum id lege
30 est. Singulis enim, quæ vel ad cibum atque potum, vel ad contactum ipsum pertinerent, jam constitutis, quicquam deinceps vel agere temere, vel audire, vel etiam orationis facultate in aliorum injuriam abuti vetat.
31 Quod idem similiter in prohibitarum animantium natura et conditione reperias. Mustelarum enim et murium, ac cæterarum id genus, quibus haud vesci fas est, maleficum per sese ingenium est. Nam mures quidem, cum nihil non alimenti captandi caussa inficiant ac deterant, tum etiam homini deinceps inutile prorsus quicquid demum arroserint, efficiunt.
32 Mustelarum vero singulare quoddam ac proprium genus est. Nam præter id quod paulo ante diximus, exitialem habent nativæ constitutionis rationem, cum et semen auribus suscipiant, et ore catulos pariant. Quo fit, ut similis hominum natio impura similiter et obscœna habeatur. Quicquid enim auditione acceperint, ei dum oratione corpus et robur induunt, eadem

κακοῖς ἑτέρους ἐνεκύλισαν, ἀκαθαρσίαν τε οὐ τὴν τυχοῦσαν ἀπετέλεσαν, μιανθέντες αὐτοὶ παντάπασι τῷ τῆς ἀσεβείας ΑΡΙΣΤΑΙΟΥ
33 μολυσμῷ. Καλῶς δὲ ποιῶν ὁ βασιλεὺς ὑμῶν τοὺς τοιούτους p. 375 ἀναιρεῖ, καθὼς μεταλαμβάνομεν. Ἐγὼ δὲ εἶπα, Τοὺς ἐμφανιστὰς οἴομαί σε λέγειν· καὶ γὰρ αἰκίαις καὶ θανάτοις ἐπαλγέσιν αὐτοὺς παραβάλλει συνεχῶς. Τούτους γὰρ (καὶ λέγω·) ἐπαγρύπνησις γὰρ εἰς ἀνθρώπων ἀπώλειαν, ἀνόσιος. Ὁ δὲ νόμος ἡμῶν κελεύει μήτε λόγῳ μήτε ἔργῳ κακοποιεῖν μηδένα.
34 Καὶ περὶ τούτων οὖν ὅσον ἐπὶ βραχὺ διεξελθεῖν, προσυποδείξαντά σοι, διότι πάντα κεκανόνισται πρὸς δικαιοσύνην, καὶ οὐδὲν εἰκῇ κατατέτακται διὰ τῆς γραφῆς οὐδὲ μυθωδῶς· ἀλλ' b ἵνα δι' ὅλου τοῦ ζῆν καὶ ἐν ταῖς πράξεσιν ἀσκῶμεν δικαιοσύνην πρὸς πάντας ἀνθρώπους, μεμνημένοι τοῦ δυναστεύοντος Θεοῦ.
35 Περὶ βρωτῶν οὖν καὶ τῶν ἀκαθάρτων, ἑρπετῶν καὶ κνωδάλων,

d 14. συνεκάλεσαν E. pro ἐνεκύλισαν ni fallor. τε οὐ] δὲ οὐ C.F.G. 15. ἀπετέλεσαν] ἐπετέλεσαν B.F.G. αὐτοὶ om. B.C.F.G. 16. ἀσεβείας] εὐσεβείας C.F. statim μολισμῷ C.

p. 375. ὑμῶν] ἡμῶν D. 2. ἐγὼ δὲ—σε λέγειν om. B. 3. εἶπον C.D.F.G. pro εἶπα. 4. ἐπ' ἄλγεσιν om. B.C.F.G. ἐπαλγέσιν Arist. παραβ.] περιβ. C.D.F.G. 5. τούτοις γὰρ ἐπιγρύπνουσι] ἐπιγρυπνοῦσι γὰρ B.F. ἐπαγρ. γ. G. τούτους om. D. (καὶ λέγω) ex Arist. addita. ἐπαγρύπνησις E.I. 6. ἀνόσιον] ἀνόσιος I. 8. ὅσον ἐπὶ βραχὺ etc.] διεξῆλθον βραχὺ δεικνύων σοι ὅτι πάντα κεκανόνισται πρὸς δικαιοσύνην πρὸς ἅπαντας μεμνήμενοι B. et C.F.G. usque ad κεκαν. Et ita ni fallor D. διεξελθεῖν βραχὺ, δεικνύω σοι ὅτι πάντα κεκανόνισται S.V. 9. προσυποδείξαντα] ἴσ. προσυπόδειξα Vigeri margo. 11. διὰ τῆς γραφῆς om. C.F.G. b 2. πάντας ἀνθρώπους] ἅπαντας C.F.G. 4. περὶ βρωτῶν—δικαίαν om. B.C.F.G.

contagione cæteros involvere, adeoque omnibus ipsi maculis ac sordibus impietatis notatissimi, non vulgarem utique colluviem efficere consue-
33 verunt. Quam hominum sectam jure profecto rex ipse vester, ut fama est, funditus exterminare conatur. Hic ego, Delatores, inquam, ni fallor, intelligis, cum eos perpetuo non tantum verberibus, sed etiam capitalibus iisque admodum gravibus suppliciis insequatur. Ego vero illos ipsos, inquit: scelerate enim hominum in perniciem invigilant. Atqui vel re
34 ipsa quenquam, vel etiam verbo violari lex nostra vetat. Et quidem, hoc tibi adhuc quam brevissime fieri potuit ostendimus, quemadmodum certis ad æquitatem regulis conformata sint omnia, nihilque omnino vel temere, vel fabulose scriptura statuerit; sed eum duntaxat in finem, ut quicquid agamus, justitiæ officiis omne genus hominum toto vitæ nostræ tempore prosequamur, jugem ac perennem Dei præpotentis memoriam retinentes.
35 Enimvero quicquid seu de ciborum delectu, seu de rebus immundis, seu

ΑΡΙ-ΣΤΑΙ-ΟΥ ὁ πᾶς λόγος ἀνατείνει πρὸς δικαιοσύνην, καὶ τὴν τῶν ἀνθρώ-
36 πων συναναστροφὴν δικαίαν. Ἐμοὶ μὲν οὖν καλῶς ἐνόμιζε
[221] περὶ ἑκάστων ἀπολελογῆσθαι. Καὶ γὰρ περὶ τῶν προσ-
φερομένων ἔλεγε μόσχων, καὶ κριῶν, καὶ χιμάρων, ὅτι δεῖ
ταῦτ' ἐκ βουκολίων καὶ ποιμνίων λαμβάνοντας ἥμερα κατα- c
σκευάζειν, καὶ μηθὲν ἄγριον, ὅπως οἱ προσφέροντες τὰς θυ-
σίας μηθὲν ὑπερήφανον ἑαυτοῖς συνιστορῶσι, σημειώσει κεχρη-
37 μένοι τοῦ διατάξαντος. Τῆς γὰρ ἑαυτοῦ ψυχῆς τοῦ παντὸς
τρόπου τὴν προσφορὰν ποιεῖται, ὁ τὴν θυσίαν προσάγων.
Καὶ περὶ τούτων οὖν νομίζω τὰ τῆς ὁμιλίας ἄξια λόγου
καθεστάναι, διὰ τὴν σεμνότητα τοῦ νόμου, ἣν προῆγμαι δια-
σαφῆσαί σοι, Φιλόκρατες, δι' ἣν ἔχεις φιλομάθειαν.

38 Ταῦτα μὲν ὁ ἀρχιερεὺς τοῖς ἥκουσιν ὡς αὐτὸν Ἕλ-
λησι περὶ τῆς ἀλληγορουμένης ἐν τοῖς ἱεροῖς νόμοις
ἰδέας διεστείλατο, ὡς ἂν μέλλουσι ταῖς ἐκδοθησομέναις d

b 7. ἀναστροφὴν D. qui infra ἀπολελογεῖσθαι. 8. περὶ] καὶ περὶ B.C.D.F. 9. περὶ] ἐπὶ E. 10. καὶ κρ.] τε καὶ κρ. B.C.F.G. χιμάρρων] χιμάρων B.C.G. κιμάρων F. χειμάρων I. δεῖ τοὺς] τοὺς om. B.C.D.F.G.I. c 3. μηθὲν ὑπ.] μηδὲν ὑπ. B.C.F.G. 7. νομίζω—νόμου ἣν om. B. 8. κατὰ] τὰ C.F.G.I. qui mox καθεστάναι λόγου. 10. σοι om. B.C.D.F.G. 11. ἀρχιερεὺς] ἀρχ. διετείλατο B.C.D.F.G. 12. ὡς αὐτὸν] εἰς αὐτὸν C.F.G. 13. διεστείλατο πῶς ἂν μ.] πῶς μ. B.C.D.F.G. Tum ἐν ταῖς ἐκδ. αὐτῶν ἑρμ. περιτ. (ἐπιτ. C.F.G.) B.C.F.G. αὐτῶν item D. d. πῶς] ὡς I.

de serpentibus aliisve animantibus præcipitur, eo tantum spectat, ut antiquissimis legibus hominum inter sese societas communioque teneatur.
36 Sane quidem Eleazarus sapienter omnino rationem de singulis reddere videbatur. Nam de vitulis, arietibus, hircis qui offerendi essent, idem adjungebat, providendum esse diligenter, ut ex armentis et gregibus mansuetissima quæque legerentur, ferumque nihil et immane sacrificaretur: eo nimirum, ut qui sacrificium offerebant, ii de præcepto divino cogitantes,
37 nullius superbiæ conscientia tenerentur. Qui enim hostiam immolaturus est, is aliquod simul offerendum omnium animi sensuum munus instituit. Quam illius, in mutuo congressu nostro, susceptam his de rebus disputationem, commemoratione dignam putavi: ac propterea, ut ardori quoque discendi tuo, mi Philocrates obsecundarem, augustiorem illam divinæ legis speciem, naturalemque sententiam tibi aperire decrevi.

38 Hæc sunt, quæ Græcis ad se missis, de sensu legum sacrarum allegorico pontifex enucleavit, ut quemadmodum susceptam earum interpretationem ab sese tractari oporteret, intelligerent. Jam vero,

περιτεύξεσθαι τῶν γραφῶν ἑρμηνείαις. Ὁ δὲ Ἀριστόβουλος, καὶ τῆς κατ᾽ Ἀριστοτέλην φιλοσοφίας πρὸς τῇ πατρίῳ μετειληχώς, (ὁποῖα περὶ τῶν ἐν ταῖς ἱεραῖς βίβλοις φερομένων ὡς περὶ Θεοῦ μελῶν διῆλθεν, ἐπακοῦσαι καιρός· οὗτος δ᾽ αὐτὸς ἐκεῖνος, οὗ καὶ ἡ δευτέρα τῶν Μακκαβαίων ἐν ἀρχῇ τῆς βίβλου μνημονεύει·) ἐν τῷ πρὸς Πτολεμαῖον τὸν βασιλέα συγγράμματι τοῦτον καὶ αὐτὸς διασαφεῖ τὸν τρόπον·

p. 376 ΑΡΙΣΤΟΒΟΥΛΟΥ

10 Πλὴν ἱκανῶς εἰρημένων πρὸς τὰ προκείμενα ζητήματα,
ἐπεφώνησας καὶ σύ, βασιλεῦ, διότι σημαίνεται διὰ τοῦ νόμου
τοῦ παρ᾽ ἡμῖν, καὶ χεῖρες, καὶ βραχίων, καὶ πρόσωπον, καὶ
πόδες, καὶ περίπατος ἐπὶ τῆς θείας δυνάμεως· ἃ τεύξεται λό- b
γου καθήκοντος, καὶ οὐκ ἀντιδοξήσει τοῖς προειρημένοις ὑφ᾽
2 ἡμῶν οὐδέν. Παρακαλέσαι δέ σε βούλομαι πρὸς τὸ φυσικῶς
λαμβάνειν τὰς ἐκδοχάς, καὶ τὴν ἁρμόζουσαν ἔννοιαν περὶ
Θεοῦ κρατεῖν, καὶ μὴ ἐκπίπτειν εἰς τὸ μυθῶδες καὶ ἀνθρώπινον
3 κατάστημα. Πολλαχῶς γὰρ ὃ βούλεται λέγειν ὁ νομοθέτης

d 5. ἐν ταῖς ἱεραῖς βίβλοις φερ. etc.] ἐμφερ. τοῦ θεοῦ μελῶν ἐν ταῖς ἱεραῖς βίβλοις διασαφῆσαι καιρὸς, οὗτος δ᾽ (καιρὸς δ᾽ οὗτος F.G.) ἐστιν B.C.D.F.G. 9. μνημονεύει] μέμνηται B.F.G.S.V. Tum ἐν τῷ πρὸς—τρόπον om. B.C.

p. 376. 6. νόμου τοῦ παρ᾽ ἡ.] παρ᾽ ἡ. νόμου B.F.G. b 7. μυθῶδες] μυθῶδες παράστημα E.I. om. κατάστ. infra.

tempus est, uti Aristobulum, qui ad domesticam sapientiam, Aristotelicæ philosophiæ studium adjunxerat, de membris, quæ Deo passim in scriptura tribui videantur, disputantem audiamus. Ille autem ipse est, cujus liber Maccabæorum secundus sub initium mentionem facit. Is igitur in eo quem ad Ptolemæum regem scripsit libello, hunc in modum ea de re disserit :

10 Sed quoniam, inquit ille, cum propositis quæstionibus satis a nobis
factum esset, succlamasti, o rex, deinceps ipse quoque ; quorsum tandem
lex ipsa nostra, manus, brachia, vultum, pedes, ambulationem divino Nu-
mini attribuat : hanc præterea juverit superioribus disputationem adjun-
2 gere, quæ cum iis nullo modo pugnet. Quo quidem in genere, hoc te in
primis exoratum velim, uti traditiones istas physice accipias, dignamque
Dei notionem constanter retineas, ne in fabulosam quandam humanique
3 similem corporis speciem delabare. Solet enim Moses legislator noster,

ΑΡΙΣΤΟΒΟΥΛΟΥ

ἡμῶν Μωσῆς, ἐφ' ἑτέρων πραγμάτων λόγους ποιούμενος,
λέγω δὲ τῶν κατὰ τὴν ἐπιφάνειαν, φυσικὰς διαθέσεις ἀπαγ-
4 γέλλει καὶ μεγάλων πραγμάτων κατασκευάς. Οἷς μὲν οὖν c
πάρεστι τὸ καλῶς νοεῖν, θαυμάζουσι τὴν περὶ αὐτὸν σοφίαν,
καὶ τὸ θεῖον πνεῦμα, καθ' ὃ καὶ προφήτης ἀνακεκήρυκται·
ὧν εἰσὶν οἱ προειρημένοι φιλόσοφοι, καὶ πλείονες ἕτεροι καὶ
ποιηταὶ παρ' αὐτοῦ μεγάλας ἀφορμὰς εἰληφότες, καθὸ καὶ
5 θαυμάζονται. Τοῖς δὲ μὴ μετέχουσι δυνάμεως καὶ συνέσεως,
ἀλλὰ τῷ γραπτῷ μόνον προσκειμένοις, οὐ φαίνεται μεγα-
6 λεῖόν τι διασαφῶν. Ἄρξομαι δὲ λαμβάνειν καθ' ἕκαστον
σημαινόμενον, καθόσον ἂν ᾧ δυνατός. Εἰ δὲ μὴ τεύξομαι d
τἀληθοῦς, μηδὲ πείσω, μὴ τῷ νομοθέτῃ προσάψῃς τὴν ἀλο-
γίαν, ἀλλ' ἐμοὶ τῷ μὴ δυναμένῳ διαιρεῖσθαι τὰ ἐκείνῳ νενοη-
7 μένα. Χεῖρες μὲν οὖν νοοῦνται προδήλως καὶ ἐφ' ἡμῶν κοι-
νότερον. Ὅταν γὰρ δυνάμεις ἐξαποστέλλῃς σὺ βασιλεὺς

b 11. ἀπαγγέλλει] ἀπαγγέλει B. ἐπαγγέλλει F. c 2. οὖν om. F. 3. αὐτὸν] αὐτῶν B. 8. δυνάμεως καὶ om. I. 9. μόνον] μόνῳ F.G. 11. σημαινόμενον καθόσον] σημαίνων καθὼς B.C.F.G. om. ἄν. σημαίνειν (ω supra) D. d. τἀληθοῦς] τἀληθεῖ B. τοῦ πράγματος E.I. 2. μὴ τῷ] οὐ τοῦ B.C.D.F.G.V. Tum νομοθέτου C.D.F.G.V. Tum προσάψῃς τὴν ἀλογίαν om. B.C.D.F.G.V. 3. ἀλλ' ἐμοὶ—νενοημένα] ἀλλ' ἐμοῦ ὁ μῶμος (ὦ μῶμοι S.) τοῦ ἀτονοῦντος περὶ τὸ ἀληθὲς B.C.D.F.G.S.V. 4. ἐκείνων] ἴσ. ἐκείνῳ Vigeri marg. 5. νοοῦνται προδήλως] προδ. νο. B. προδήλως ὡς καὶ conj. Valckenær. de Aristob. p. 65. 6. ὅταν γὰρ] γὰρ om. C.F.G.

animi sensa multimodis exprimere, dum rerum aliarum, quatenus in
sensum cadunt, voces ac nomina mutuatus, naturales quasdam affectiones,
4 magnarumque rerum molitiones commemorat. Et quidem, quorum acrior
intelligendi vis est, ii cum sapientiam hominis singularem, tum divinum
illum spiritum, cujus afflatu prophetæ nomen et famam assequutus est,
magnopere admirantur. Quorum in numero cum abs me jam commemo-
rati philosophi, tum alii plerique sunt, nec non et poëtæ, qui haustis ab eo
5 maximis scribendi argumentis, in hominum admiratione versantur. At
quibus facultas et ingenium angustius est, ii dum ad unum scripturæ cor-
ticem adhærescunt, nihil augusti admodum et excellentis ab eo narrari
6 arbitrantur. Singulorum ergo significationem aperire, quantum in me
situm erit, aggrediar. Qui si minus aut rem tetigero, aut aliis fidem
fecero; maxime velim, uti ne hanc in legislatorem, sed in me duntaxat
imperitiæ culpam derives, qui res ab eo sapienter excogitatas nequaquam
7 explicare potuero. Manuum igitur, etiam apud nos latius, ut constat,

ΑΡΙΣΤΟΒΟΥΛΟΥ

ὤν, βουλόμενός τι κατεργάσασθαι, λέγομεν, μεγάλην χεῖρα ἔχει ὁ βασιλεύς, φερομένων τῶν ἀκουόντων ἐπὶ τὴν δύναμιν
8 ἣν ἔχεις. Ἐπισημαίνεται δὲ τοῦτο καὶ διὰ τῆς νομοθεσίας ἡμῶν λέγων ὁ Μωσῆς οὕτως, Ἐν χειρὶ κραταιᾷ ἐξήγαγεν ὁ Θεός σε ἐξ Αἰγύπτου. Καὶ πάλιν, Ἀποστελῶ, φησὶν ὁ Θεός, τὴν χεῖρά μου, καὶ πατάξω τοὺς Αἰγυπτίους. Καὶ ἐπὶ τοῦ τῶν κτηνῶν θανάτου φησὶ τῷ Φαραῷ ὁ Μωσῆς, Ἰδοὺ χεὶρ Κυρίου p. 377 ἔσται ἐν τοῖς κτήνεσί σου, καὶ ἐν πᾶσι τοῖς ἐν τοῖς πεδίοις θάνατος μέγας. Ὥστε αἱ χεῖρες ἐπὶ δυνάμεως νοοῦνται Θεοῦ. Καὶ γάρ ἐστι νοῆσαι τὴν πᾶσαν ἰσχὺν τῶν ἀνθρώπων καὶ
[222] 9 τὰς ἐνεργείας ἐν ταῖς χερσὶν εἶναι. Διόπερ καλῶς ὁ νομοθέτης ἐπὶ τὸ μεγαλεῖον μετενήνοχε, λέγων τὰς συντελείας χεῖρας εἶναι Θεοῦ. Στάσις δὲ θεία καλῶς ἂν λέγοιτο κατὰ
10 τὸ μεγαλεῖον ἡ τοῦ κόσμου κατασκευή. Καὶ γὰρ ἐπὶ πάντων ὁ Θεός, καὶ πάνθ' ὑποτέτακται, καὶ στάσιν εἴληφεν· b ὥστε τοὺς ἀνθρώπους καταλαμβάνειν ἀκίνητα εἶναι ταῦτα.

d 9. ἐπὶ τὴν—ἔχεις] ἐφ' ἣν ἔχει δύναμιν B.C.F.G. 10. τοῦτο] τουτὶ C. Mox ἡμῶν om. B.C. Tum ὁ M. λέγων B.C.F.G. 12. καὶ πάλιν εἰρηκέναι αὐτῷ φησιν τὸν θεὸν E.I. 14. καὶ ἐπὶ τοῦ γεγονότος θανάτου τῶν κτηνῶν καὶ τῶν ἄλλων φησὶ τῷ βασιλεῖ τῶν Αἰγυπτίων λέγων E.I. ult. τῷ Φ. ὁ M.] ὁ M. τῷ Φ. B.

p. 377. ἔσται] ἐπέσται E.I. 3. ὥστε δηλοῦσθαι τὰς χεῖρας ἐπὶ δυνάμεως εἶναι θεοῦ. καὶ γάρ ἐστι μεταφέροντας νοῆσαι τὴν πᾶσαν ἰσχὺν τῶν ἀνθ. E.I. 4. νοεῖσθαι] νοῆσαι B.C.D.F.G. 6. διόπερ—θεοῦ om. B.C.F.G. 9. κατὰ τὸ] τὸ om. F.G. 10. καὶ γὰρ ἐπὶ—ταῦτα om. B.

significatio patet. Nam cum tu ipse, o rex, confecturus aliquid, copias mittis, regem tum ingentem manum habere dicimus, quam vocem qui
8 audiunt, de tuo exercitu omnes accipiunt. Quem in sensum utique Moses in lege nostra subinde loquitur, ut cum ait, *In manu robusta eduxit te Deus ex Ægypto.* Ex. 3,20. Itemque, *Mittam,* inquit Deus, *manum meam, et percutiam Ægyptios.* Exo. 9,3. Et de jumentorum morte sic Moses Pharaoni, *Ecce manus Domini erit super jumenta tua, et super omnia quæ sunt in agris, interitus magnus.* Itaque manus ad divinæ potestatis vim pertinent, quandoquidem universum quoque robur hominum ac vis agendi tota manibus continetur.
9 Recte igitur omnino legislator hanc vocem, ad aliquam majestatis significationem transtulit, cum divinæ potestatis opera manus appellavit. Jam quod stare dicatur Deus, id augustiore quodam sensu, de mundi molitione
10 accipi queat. Nam et omnibus Deus ipse præest, et omnia cum Deo subsunt, tum ab eo gradum in quo consisterent acceperunt: ut eadem homines

ΑΡΙΣΤΟΒΟΥΛΟΥ

Λέγω δὲ τὸ τοιοῦτον, ὡς οὐδέποτε γέγονεν οὐρανὸς γῆ, γῆ δ' οὐρανὸς, οὐδ' ἥλιος σελήνη λάμπουσα, οὐδὲ σελήνη πάλιν
11 ἥλιος, οὐδὲ ποταμοὶ θάλασσα, οὐδὲ θάλασσα ποταμοί. Καὶ πάλιν ἐπὶ τῶν ζῴων ὁ αὐτός ἐστι λόγος. Οὐ γὰρ ἄνθρωπος ἔσται θηρίον, οὐδὲ θηρίον ἄνθρωπος. Καὶ ἐπὶ τῶν λοιπῶν δὲ ταυτὸν ὑπάρχει φυτῶν τε καὶ ἐπὶ τῶν ἄλλων· ἀμετάβλητα μέν ἐστι, τὰς αὐτὰς δ' ἐν αὐτοῖς τροπὰς λαμβάνει καὶ
12 φθοράς. Ἡ στάσις οὖν ἡ θεία κατὰ ταῦτα ἂν λέγοιτο, c
πάντων ὑποκειμένων τῷ Θεῷ. Λέγεται δὲ κατάβασις ἐπὶ τὸ ὄρος θεία γεγονέναι διὰ τῆς γραφῆς τοῦ νόμου, καθ' ὃν ἐνομοθέτει καιρὸν, ἵνα πάντες θεωρήσωσι τὴν ἐνέργειαν τοῦ Θεοῦ. Κατάβασις γὰρ αὕτη σαφής ἐστι· καὶ περὶ τούτων οὖν οὕτως ἄν τις ἐξηγήσαιτο, βουλόμενος συντηρεῖν τὸν περὶ
13 Θεοῦ λόγον. Δηλοῦται γὰρ ὡς τὸ ὄρος ἐκαίετο πυρὶ, καθώς φησιν ὁ νομοθέτης, διὰ τὸ τὸν Θεὸν καταβεβηκέναι, σαλπίγγων τε φωνὰς, καὶ τὸ πῦρ φλεγόμενον ἀνυποστάτως
14 εἶναι. Τοῦ γὰρ παντὸς πλήθους μυριάδων οὐκ ἔλαττον ἑκα- d

b 6. θάλασσαι] θάλασσα C.D.F.G. Tum pergunt B.C.D.F.G. οὐδ' ἀνάπαλιν καὶ ἐπί. 7. ἐστι om. C.G. 9. ἐπὶ—φυτῶν τε] ἐπὶ τῶν φυτῶν (φοιτῶν C.) δὲ καὶ τῶν B.C.F.G. λοιπῶν] τῶν λοιπῶν E.I. c 2. δὲ] δὲ καὶ I. 4. ἐνομοθέτησε D.S.V. Mox θεωρήμωσι E. 6. οὕτως] οὕτως ἐρεῖ τις. δηλοῦται B.C.F.G. 9. πολὺ] πυρὶ B.C.D.F.G.I. νομοθέτης] ἡ νομοθεσία B.C.D.F.G.S.V. d. οὐκ ἔλασσον—πάντων om. B.

propterea, loco statuque suo moveri non posse intelligant. Enimvero neque cœlum in terram, nec in cœlum unquam terra mutata est: adeoque nec solis in lunam est, nec lunæ in solem, nec fluviorum in maria, nec
11 maris in fluvios facta conversio. Quod ipsum in animantibus quoque locum habet. Nec enim aut homo bellua, aut bellua homo futura est. Quo etiam modo cum de plantis et arboribus, tum de reliquis omnibus philosophari liceat, quæ cum in alia mutari non possint, tum easdem semper in se ipsis mutationis et interitus vicissitudines constantissime pa-
12 tiuntur. Hac ergo sententia, quod divino Numini cuncta obsecundent, stare Deus ipse non immerito dici possit. Idem, quo tempore legem hanc sanciebat, eo tum in montem legis ipsius verbis descendisse fertur, ut omnibus divinum opus illucescat. Nam descensus quidem manifestus per sese ac perspicuus est: quæ vero cum eodem conjuncta sunt, ea, qui cohærenter et consentanee de Deo loqui voluerit, eundem in modum ex-
13 plicare debeat. Montem enim, quoniam Deus eo descenderat, passim arsisse, tubarum clangorem insonuisse, ac sine propria naturæ ratione,
14 tantum ignis incendium perstitisse legislator ipse commemorat. Quippe,

ΑΡΙΣΤΟΒΟΥΛΟΥ

τὸν, χωρὶς τῶν ἀφηλίκων, ἐκκλησιαζομένων κυκλόθεν τοῦ
ὄρους, οὐκ ἔλασσον ἡμερῶν πέντε οὔσης τῆς περιόδου περὶ
αὐτὸ, κατὰ πάντα τόπον τῆς ὁράσεως πᾶσιν αὐτοῖς κυκλόθεν,
ὡς ἦσαν παρεμβεβληκότες, τὸ πῦρ φλεγόμενον ἐθεωρεῖτο.
15 Ὥστε τὴν κατάβασιν μὴ τοπικὴν εἶναι· πανταχοῦ γὰρ ὁ
Θεός ἐστιν. Ἀλλὰ τὴν τοῦ πυρὸς δύναμιν παρὰ πάντα
θαυμάσιον ὑπάρχουσαν, διὰ τὸ πάντα ἀναλίσκειν, ἔδειξε
φλεγομένην ἀνυποστάτως, μηδὲν ἐξαναλίσκουσαν, εἰ μὴ τὸ
16 παρὰ τοῦ Θεοῦ δυναμικὸν αὐτῇ προσείη. Τῶν γὰρ φυομέ- p. 378
νων ἐν τῷ ὄρει ἐκείνῳ ἀναλισκομένων σφοδρῶς, οὐδὲν ἐξανά-
λωσεν· ἀλλ' ἔμεινεν τῶν ἁπάντων ἡ χλόη πυρὸς ἄθικτος,
σαλπίγγων τε φωναὶ σφοδρότερον συνηκούοντο σὺν τῇ τοῦ
πυρὸς ἀστραπηδὸν ἐκφάνσει, μὴ προκειμένων ὀργάνων τοι-
ούτων, μηδὲ τοῦ φωνήσαντος, ἀλλὰ θείᾳ κατασκευῇ γινομέ-
17 νων πάντων. Ὥστε σαφὲς εἶναι διὰ ταῦτα τὴν κατάβασιν
τὴν θείαν γεγονέναι, διὰ τὸ τοὺς συνορῶντας ἐκφαντικῶς

d 5. δὲ τὸ πῦρ G. 7. πανταχοῦ] πάντη E. πάντι I. 10. ἔδειξε] οὐκ ἂν ἔδειξε cum Vigero Valckenærius de Aristob. p. 71. 11. μηδὲν δὲ] δὲ om. C.F.G. et delet Valckenærius. εἰ μὴ—προσείη om. F.G.
p. 378. ἐν τῷ ὄρει] κατὰ τὸ ὄρος E.I. Tum τόπων φλεγομένων I. pro ἐξαναλισκομένων. ἐξαναλ.] ἀναλ. F.G. 2. ἐξανάλωσεν] ἀναλ. C.D.F.G. In Exod. 3, 2. καίεται et οὐ κατεκαίετο. ἐκκαιομένων conj. Valckenærius. 6. ἐκφάνσει] ἐκφαύσει D.F.G. 7. φωνήσαντος] φωνήσοντος C.F.G.I. Mox γενομένων C.

cum enim multitudo circum universa, quæ (præteritis licet omnibus qui
justam necdum ætatem attigerant) decies centenis millibus haud minor
erat, dierum quinque spatio montem undiquaque cinxisset; quacunque
prospectus e castris, quibus sese continebant, in orbem patebat, ignem
15 omnes succensum intuebantur. Quare descensus ille ad propriam veram-
que loci rationem pertinere non potest, cum Deus ubique sit. At vero
vim illam ignis, quæ quod omnia conficiat, tantum præ cæteris omnibus
admirabilitatis habet, nunquam propria natura spoliatam, et flagrasse ve-
hementius, nec quicquam tamen absumpsisse diceret, nisi ea divini Nu-
16 minis potestate cieretur. Nam ex iis omnibus quæ toto passim monte
pullulabant, facileque admodum comburi potuissent, nihil omnino con-
sumpsit, sed nativa cunctorum viriditas flammis intacta permansit. Quin
etiam acutissimus tubarum clangor audiebatur, cum fulgurantis ignis
coruscatione conjunctus, cum tamen nec instrumentum id genus ullum,
nec ullus ibi tubicen appareret, sed divino quodam artificio cuncta fierent.
17 Ita vel eo præsertim descensum illum plane divinum esse constabat, quod
præsentes quotquot intererant, specie tenus singula perciperent, nec ignis,

ΑΡΙΣΤΟΒΟΥΛΟΥ

ἕκαστα καταλαμβάνειν, μήτε τὸ πῦρ κεκαυκὸς, ὡς προείρηται,
μηδὲν, μήτε τὰς τῶν σαλπίγγων φωνὰς δι' ἀνθρωπίνης ἐνερ- b
γείας ἢ κατασκευῆς ὀργάνων γίνεσθαι, τὸν δὲ Θεὸν ἄνευ τινὸς
δεικνύναι τὴν ἑαυτοῦ διὰ πάντων μεγαλειότητα.

18 Ταῦτα ὁ Ἀριστόβουλος. Ἐπεὶ δὲ διεληλύθαμεν τά
τε τῶν ἱερῶν νόμων παραγγέλματα, τόν τε τρόπον τῆς
ἀλληγορουμένης παρ' αὐτοῖς ἰδέας, ἑξῆς ἂν εἴη καὶ τόδε
ἐπισημήνασθαι, ὡς τὸ πᾶν Ἰουδαίων ἔθνος εἰς δύο τμή-
ματα διῄρηται· καὶ τὴν μὲν πληθὺν ταῖς τῶν νόμων
κατὰ τὴν ῥητὴν διάνοιαν παρηγγελμέναις ὑποθήκαις c
ὑπῆγε, τὸ δ' ἕτερον τῶν ἐν ἕξει τάγμα ταύτης μὲν ἠφίει,
θειοτέρᾳ δέ τινι καὶ τοὺς πολλοὺς ἐπαναβεβηκυίᾳ φιλο-
σοφίᾳ προσέχειν ἠξίου, θεωρίᾳ τε τῶν ἐν τοῖς νόμοις
19 κατὰ διάνοιαν σημαινομένων. Ἦν δὲ τοῦτο φιλοσόφων
Ἰουδαίων γένος, ὧν τὴν τοῦ βίου ἄσκησιν καὶ τῶν ἔξω-

b. σαλπίγγων] τῶν σαλ. C.E.F.G.I. Supra μηθὲν μὴ δὲ I. 3. τὴν ἑαυτοῦ om. B.C.F.G. 4. παντὸς] πάντων B.C.F.G.I. ταῦτα] ταῦτα καὶ I. 5. ἐπεὶ—ἰδέας om. B.C.F.G. 7. αὐτοῦ D. 8. ἑξῆς δ' D.F.G. 9. ἔθνος] γένος B.C.F.G.S.V. Mox τμήματα om. B.C.F.G. 10. διῄρηται καὶ] διαίρων ὁ λόγος E.I. 11. παρηγγελμέναις om. B.C. D.F.G. c 2. ταύτης μὲν ἠφίει om. B.C.F.G. et mox om. δέ. 5. κατὰ διάνοιαν om. C.

ut jam dictum est, reculam ullam absumeret, nec tubarum clangor aut hominum arte, aut similium instrumentorum opera personaret, sed Deus ipse, rejectis omnibus, suam per sese unus ac proprie majestatem ostenderet.

18 Hactenus Aristobulus. Nunc vero, quoniam et sacrarum legum mandata, et ipsorum allegoriis inclusum aliquando sensum expressimus; operæ pretium deinceps fuerit, illud etiam animadvertere, gentem hanc Judæorum universam duas in partes sectam ac divisam fuisse. Nam multitudinem quidem, ritibus illis omnibus, quomodo legum ipsarum verbis concepti erant, obstrictam Moses teneri jussit. At cæteros, quorum mens esset virtusque constantior, cum eo cortice liberatos esse, tum ad diviniorem aliquam et hominum vulgo superiorem philosophiam assuescere, atque in altiorem legum senten-
19 tiam mentis oculo penetrare voluit. Atque hæc fuit Judæorum philosophorum natio, cujus vitæ morumque rationes infinitos etiam

θεν κατεπλάγησαν μυρίοι, τῶν δ' οἰκείων οἱ περιφανέστατοι καὶ μνήμης ἀλήστου τούτους ἠξίωσαν, Ἰώσηπός τε καὶ Φίλων, καὶ ἕτεροι πλείους· ὧν τὰ πολλὰ παρεὶς, δείγματος αὐτὸ μόνον ἕνεκα, τῇ τοῦ Φίλωνος ἐπὶ τοῦ d παρόντος ἀρκεσθήσομαι μαρτυρίᾳ, ἣν περὶ τῶν δηλου-
[223] μένων κατὰ πολλὰ τῶν οἰκείων ὑπομνημάτων τέθειται. Τούτων δ' ἀπὸ τῆς Ὑπὲρ Ἰουδαίων Ἀπολογίας λαβὼν σύ γε, ἀνάγνωθι ταῦτα·

11 Μυρίους δὲ τῶν γνωρίμων ὁ ἡμέτερος νομοθέτης ἤλειψεν p. 379 ΦΙΛΩΝΟΣ ἐπὶ κοινωνίαν, οἱ καλοῦνται μὲν Ἐσσαῖοι, παρὰ τὴν ὁσιότητα, μοὶ δοκῶ, τῆς προσηγορίας ἀξιωθέντες. Οἰκοῦσι δὲ πολλὰς μὲν πόλεις τῆς Ἰουδαίας, πολλὰς δὲ κώμας, καὶ με- b
2 γάλους καὶ πολυανθρώπους ὁμίλους. Ἔστι δ' αὐτοῖς ἡ προαίρεσις, οὐ γένει· (γένος γὰρ ἐφ' ἑκουσίοις οὐ γράφεται·)
3 διὰ δὲ ζῆλον ἀρετῆς, καὶ φιλανθρωπίας ἵμερον. Ἐσσαίων γοῦν κομιδῇ νήπιος οὐδεὶς, ἀλλ' οὐδὲ πρωτογένειος, ἢ μειρά-

c 9. ἀλήστου] ἀλήκτου E.I. Tum κατηξίωσαν I. pro τούτους ἠξ. 10. Ἰώσηπος—πλείους om. B.C.D.F.G. 11. τὰ πολλὰ] τοὺς πολλοὺς B.C.G. ὧν ἱερῶν τοίνυν νόμων τοὺς πολλοὺς D. 12. δείγματος—ἕνεκα om. B.C.F.G. αὐτὸ] ἴσ. αὐτοῦ E. αὐτὸ μόνον] Vide Abreschii Diluc. Thucyd. p. 56. d 2. ἣν περὶ et seqq. om. B.C.D.

p. 379. b. καὶ μεγάλους om. B.C. et mox iidem om. ὁμίλους. κώμας καὶ μεγάλας καὶ πολ. sine ὁμίλους F.G. μεγάλας item D. 3. ἐφ' ἑκ.] ἐπ' ἑκ. B.F.G. 5. κομιδῇ] καὶ κομιδῇ D.

alienigenas admiratione complerunt. At gentilium suorum clarissimi Josephus et Philo, aliique complures, eosdem memoriæ posteritatis sempiternæ suis etiam operibus commendare voluerunt. Ego vero plerisque omnibus prætermissis, uno duntaxat in præsentiarum Philonis testimonio, dicis caussa, contentus ero, quod suis ille passim monimentis inspersit. Primum ergo lege tu mihi, quæ de illis, in sua pro Judæis defensione, hunc in modum ipse commemorat:

11 Maximam, inquit, eorum multitudinem, qui in ejus sese disciplinam tradiderunt, legislator noster ad mutuæ societatis communionem informavit, qui Essæorum nomine, παρὰ τὴν ὁσιότητα, ut mihi quidem videtur, hoc est a sanctitate, appellantur. Plurimas illi Judææ civitates, pagosque permultos habitant, ingentesque admodum et copiosas hominum sodalitates (Philo Jud. T. II. p. 632. ed. Mang.)
2 instituunt. Sua illis vitæ ratio, non genere constat; (nec enim eorum qui voluntarie conveniunt, genus proprie vocari solet,) sed quadam æmulatione
3 virtutis, et humanitatis studio perficitur. Nullus inter eos aut puer admodum est, aut in prima adhuc vel pubertate, vel etiam adolescentia con-

ΦΙΛΩΝΟΣ

κιον· ἐπεὶ τά γε τούτων ἀβέβαια ἤθη τῷ τῆς ἡλικίας ἀτελεῖ
συννεωτερίζονται· τέλειοι δ' ἄνδρες, καὶ πρὸς γῆρας ἀποκλί-
ναντες ἤδη, μηκέθ' ὑπὸ τῆς τοῦ σώματος ἐπιρροῆς ἐπικλυ-
ζόμενοι, μὴ δ' ὑπὸ τῶν παθῶν ἀγόμενοι, τὴν ἀψευδῆ δὲ καὶ c
4 μόνην ὄντως ἐλευθερίαν καρπούμενοι. Μάρτυς δὲ τῆς ἐλευ-
θερίας αὐτῶν ὁ βίος. Ἴδιον οὐδεὶς οὐδὲ ὑπομένει κτήσασθαι
τὸ παράπαν οὐδὲν, οὐκ οἰκίαν, οὐκ ἀνδράποδον, οὐ χωρίον, οὐ
βοσκήματα, οὐχ ὅσα ἄλλα παρασκευαὶ καὶ χορηγίαι πλού-
του· πάντα δ' εἰς μέσον ἀθρόα καταθέντες, κοινὴν καρποῦν-
5 ται τὴν ἁπάντων ὠφέλειαν. Οἰκοῦσι δ' ἐν ταυτῷ, κατὰ
θιάσους ἑταιρίας καὶ συσσίτια ποιούμενοι, καὶ πάνθ' ὑπὲρ
6 τοῦ κοινωφελοῦς πραγματευόμενοι διατελοῦσιν. Ἀλλ' ἑτέ-
ρων ἕτεραι πραγματεῖαι, αἷς ἐπαποδύντες ἀόκνως διαθλοῦσιν, d
οὐ κρυμὸν, οὐ θάλπος, οὐχ ὅσα ἀέρος νεωτερίσματα προφα-
σιζόμενοι· πρὶν δ' ἥλιον ἀνασχεῖν ἐπὶ τὰ συνήθη τρεπόμενοι,

b 8. συννεωτερίζονται] συννεωτερίζουσαι C. συννεωτερίζοντα E.I. τέλειοι—κατατιθέντες om. B. 9. ἀποκλ.] ὑποκλ. C.F.G. ἀποκλίνοντες I. 10. ἐπικλυζ.] κατακλυζ. E.I. 11. μήθ'] μὴ δ' C.D.F.G. c 2. αὐτῶν ὁ βίος] ὁ β. αὐτ. C.D.F.G. qui mox om. οὐδέ. 4. οὐδὲν om. E.I. 5. βοσκήματα] βόσκημα D. 6. πάντα δ' εἰς μέσον ἀθρόα κατατιθέντες] πάντα δ' ἀθρόον εἰς μέσον καταθέντες C.F.G. ἀθρόον εἰς μέσον D. Tum καὶ κοινὴν B. 7. κατατιθέντες] καταθέντες E.I. 8. οἰκοῦσι δ'] οἰκοῦσι καὶ C.G. 9. ποιούμενοι] πεποιημένοι E.I. 10. κοινωφελοῦς] κοινοῦ B. d 2. κρυμνὸν F. 4. πρὶν δ' ἥλιον—παθεῖν om. B.

stitutus: quod similium fere versatiles adhuc flexibilesque mores infirmioris ætatis mutabilitatem imitentur: at viri jam perfecti, quique nonnihil in senectam vergentes, ut non amplius aut corporis æstu ac fluctibus hauriuntur, aut perturbationum impetu rapiuntur, ita plane vera illa solaque
4 libertate potiuntur. Ac testis quidem hujus libertatis ipsa vitæ ratio est. Peculiare cujusquam ac proprium nihil est, non domus, non servus, non prædium, non pecus, non aliud quidquam eorum, unde opes ac divitiæ comparantur. At ex promiscua rerum inter sese omnium communione,
5 omnium etiam in singulos fructus atque utilitas redundat. Eodem in loco domicilium habent, suorum hominum cœtu in aliquot sodalitates et contubernia distributo, consiliaque sua omnia in publicum et communem usum
p. 389. ἐκπωμ.] ἐκπομ. C.G. Mox ἢ om. B.C.F. ἢ φασμάτων E. 2. ἄλλον] ἄλλων B. 3. ἔτι δὲ om. B.C.F.G. 4. καὶ τὴν φιλ.—ἀλογήσαντες om. B. ἢ συγγ.] καὶ συγγ. F. ὑπηκόων τῶν ἐν τέλει om. C.F.G. qui ni fallor om. τῶν σωματοφ.—ἀλογήσαντες. Sic certe F.G. 5. ἄξαντες] Vigerus conj. ἐάσαντες. 9. λίθῳ γεγραφημέναι] λιθογραφημέναι B.C.G.I. λινορραφεῖς Mangeius. 12. ἀπαμφιέσαντες] ἀπαμφιάσαντες B.C.D.F.I.

fuerint, et meditatione simul atque usu naturam ipsam excoluerint, cujus 17 utriusque parens et artifex legitima philosophia est. At qui doctrinæ genus spurium adulterinumque sectantur, ne ipsos quidem medicos animæ famulo corpori curationem adhibentes imitentur, cum tamen sanandos ipsius Dominæ morbos susceperint. Illi enim, si ex beatulis quispiam adversa valetudine laboraverit, ut rex ipse maximus fuerit, porticus tamen et ambulationes omnes, omnia virorum mulierumque septa prætergressi; picturis, argento, auroque tam facto quam infecto, poculorum, textique operis copia, cæteroque per insigni regum apparatu neglecto: quinetiam cuncto satellitio, et amicorum pariter, aut sanguine conjunctorum, aut virorum etiam principum, ac præsidiariorum quoque militum comitatu perrupto, ad ipsum usque lectum aspirant; adeoque nulla rerum illarum, quæ adjunctæ corpori sunt, ratione habita, nihilque vel cubilis aurei ac gemmis unionibusque distincti, vel stragulorum aut subtilissime aranearum more textorum, partim lineo aut subtemine pictorum, vel denique vestium coloris figuræque multiplicis aspectu commoti, detractis etiam aliquando

ΦΙΛΩ-ΝΟΣ

πιεζοῦντες ἀκριβοῦσι τοὺς παλμούς, εἰ σωτήριοι· πολλάκις
δὲ καὶ τοὺς χιτωνίσκους ἀναστείλαντες, εἰ περιπληθής ἐσθ' ἡ
γαστὴρ ἐξετάζουσιν· εἰ πεπυρωμένος ὁ θώραξ, εἰ ἄτακτα ἡ
καρδία πηδᾷ· κἄπειτα τὴν οἰκείαν προσφέρουσι θεραπείαν.
18 Ἔδει δὲ καὶ τοὺς φιλοσόφους ἰατρικὴν ὁμολογοῦντας ἐπι-
τηδεύειν τῆς φύσει βασιλίδος ψυχῆς, καταφρονεῖν μὲν ἁπάν-
των ὅσα αἱ κεναὶ δόξαι τυφοπλαστοῦσιν, εἴσω δὲ προσιόντας
ἅπτεσθαι διανοίας αὐτῆς, εἰ ὑπ' ὀργῆς ἀνισοταχεῖς καὶ παρὰ
φύσιν κεκινημένοι παλμοί· ἅπτεσθαι καὶ γλώττης, εἰ τρα- c
χεῖα καὶ κακήγορος, εἰ πεπορνευκυῖα καὶ ἀταμίευτος· ἅπτε-
σθαι καὶ γαστρός, εἰ ἀπλήστῳ σχήματι ἐπιθυμίας διῴδηκε·
καὶ συνόλως παθῶν καὶ νοσημάτων καὶ ἀρρωστημάτων, εἰ
κεκρᾶσθαι δοκεῖ, διερευνᾶν ἕκαστον, ἵνα μὴ διαμαρτάνωσι τῶν
19 προσφόρων εἰς τὸ σώζειν. Νυνὶ δὲ ὑπὸ τῆς τῶν ἔξω περι-
αυγασθέντες λαμπρότητος, ἅτε νοητὸν φῶς ἰδεῖν ἀδυνατοῦν-
τες, πλαζόμενοι διετέλεσαν εἰς τὸν αἰῶνα, πρὸς μὲν τὸν βα- d
σιλέα λογισμὸν φθάσαι μὴ δυνηθέντες, ἄχρι δὲ τῶν προπυ-

b 3. χιτῶνας] χιτωνίσκους C.D.E.F.G. 4. ἐσθ' om. B. 7. καὶ τοὺς] καὶ om. C. 10. τυφοπλαστοῦσιν] τυφλοπλαστοῦσιν F.G. ms. apud Viger. 11. διανοίας—ἅπτεσθαι om. B. c 3. πεπορνευκυῖα] πεπορνευκεία C. πεπονηρευκυῖα Mangeius. 4. σχήματι] φυσήματι vel ῥεύματι Mangeius. 5. καὶ συνόλως—πέλεκυν om. B. 6. καὶ ἀρρωστημάτων om. C.F.G. Mox ἃ ἐγκεκράσθαι Mangeius. 8. τῶν om. D. 9. τῶν ἔξω] τῶν om. E. d. τὸν αἰ.] εἰς τὸν αἰ. D.E. 3. προσπυλαίων F.

lænis, manus ipsas tractant, pressisque venis, pulsusne ratio salutaris sit diligenter explorant: imo reductis nonnunquam interulis, alvusne gravior sit, an inflammatum pectus, an cor præpostero ac perturbato motu subsi-
18 liat: tum suam adhibent propriamque morbo curationem. Sic plane philosophos oporteret, qui sese animæ suapte natura reginæ medicos profitentur, contemptis ac despectis omnibus, quæ stolidæ hominum opiniones, cæcorum more confingunt, interius subeundo mentem ipsam attentare, num ea forte motibus iracundiæ inæquali celeritate vibrantibus, ac præter naturam incitatis ageretur: attentare linguam, num asperior, et in maledicta proclivior, num sese profundat intemperantius, custodiæ silentiique prorsus impatiens: attentare ventrem, num insaturabili cupiditate fœdum in modum intumuerit: singulas denique perturbationes, morbos, ægritudinesque singulas, si quibus affecta videatur, solertius attentiusque scrutari,
19 ne quibus restitui salus possit, remedii ignoratione prætereant. Nunc vero rerum exteriorum luce perstricti, quod spiritale lumen ferre non possent, perpetuo quodam errore jactati, nunquam ad reginam usque rationem

ΦΙΛΩΝΟΣ

λαίων μόλις ἀφικνούμενοι, καὶ τοὺς ἐπὶ θύραις ἀρετῆς, πλοῦ-
τόν τε καὶ δόξαν καὶ ὑγείαν καὶ τὰ συγγενῆ τεθαυμακότες,
20 προσεκύνουν. Ἀλλὰ γὰρ ὡς ὑπερβολὴ μανίας χρωμάτων
κριταῖς χρῆσθαι τυφλοῖς, ἢ κωφοῖς τῶν κατὰ μουσικὴν
φθόγγων· οὕτω καὶ φαύλοις ἀνδράσι τῶν πρὸς ἀλήθειαν
ἀγαθῶν. Καὶ γὰρ οὗτοι τὸ κυριώτατον τῶν ἐν αὐτοῖς διά-
21 νοιαν πεπήρωνται, ἧς βαθὺ σκότος ἀφροσύνη κατέχεεν. Εἶτα
νῦν θαυμάζομεν, εἰ Σωκράτης καὶ ὁ δεῖνα ἢ ὁ δεῖνα τῶν
σπουδαίων ἐν πενίᾳ διετέλεσαν, ἄνθρωποι μηδὲν πώποτε τῶν p. 390
εἰς πορισμὸν ἐπιτηδεύσαντες, ἀλλὰ μηδ᾽ ὅσα ἢ παρὰ φίλων
πολυχρημάτων ἢ παρὰ βασιλέων δωρεὰς μεγάλας προτεινόν-
των [παρῆν] λαβεῖν ἀξιώσαντες, ἕνεκα τοῦ μόνου ἀγαθὸν καὶ
καλὸν τὴν τῆς ἀρετῆς κτῆσιν ἡγεῖσθαι, περὶ ἣν πονούμενοι
22 τῶν ἄλλων ἀγαθῶν πάντων ἠλόγουν; Τίς δ᾽ οὐκ ἂν ἀλογήσαι
νόθων ἕνεκα προνοίας τῶν γνησίων; Εἰ δὲ σώματος θνητοῦ
μεταλαχόντες, καὶ κηρῶν γέμοντες ἀνθρωπίνων, καὶ μετὰ b

d 4. τε καὶ om. C.F.G. qui mox om. προσεκύνουν. Hoc D. ἔτι καὶ I. 7. χρωμάτων κριταῖς χρῆσθαι] χρωμάτων ἢ ἀκουσμάτων χρῆσθαι κριταῖς C. F.G. statim C. κωφοῖς ἢ (καὶ F.G.) τυφλοῖς omissis τῶν κατὰ μουσικὴν φθόγγων, et sic ni fallor D.F.G. χρωμάτων καὶ ἀκουσμάτων S. 10. τῶν ἐν αὐτοῖς] τὴν C.D.F.G. 12. εἶτα] ἔτι G. ut conj. Mangeius.

p. 390. διετέλεσαν] διῆγον C.D.F.G. 3. μηδ᾽ ὅσα] μηδὲ λαβόντες C.F.G. ὅσα λαβόντες ἢ D. πολυχρημάτων] πλουσίων C.D.F.G. 4. μεγάλας et παρῆν λαβεῖν ἀξιώσαντες om. C.F.G. παρῆν λ. ἀ. om. D. 5. παρῆν om. E.I. quod a Stephano adjectum videtur. 9. τίς δ᾽] δ᾽ om. C.G. Supra ἠμέλουν D.E.F.G.S. pro ἠλόγουν.

aspirarunt, sed ubi ægre admodum vestibulum attigissent, quæ pro vir-
tutis foribus occurrerunt, opes, gloriam, sanitatem, ac cætera id genus
20 mirati adorarunt. At enimvero summæ est extremæque dementiæ, uti vel
colorum cæcos, vel sonorum modulatorum surdos, sic etiam improbos
homines verorum bonorum judices adhibere; cum principe sui parte, hoc
21 est mente, capti sint, cui stultitia densissimas tenebras offuderit. Et
miramur deinceps, aut Socratem, aut alium quemlibet morum integritatis
studiosum continenti penuria laborasse: homines qui nihil unquam ad
vitæ lautitias quærere voluerunt, ac ne illa quidem, quorum sibi vel ab
amicis locupletioribus, vel ab ipsis aliquando regibus, magnam ultro vim
munerum ingerentibus, copia fieret, accipere voluerunt? cum enim unam
illam virtutis possessionem boni honestique nomine dignam esse sta-
tuerent, deque una comparanda laborarent, reliquam bonorum turbam
22 valere jusserunt. Et sane, quis non, ut vera germanaque consequatur,
spuria facile adulterinaque contempserit? Jam vero, si et mortale corpus
sortiti, et humanis casibus involuti cum essent, et in tanta sceleratorum

ΦΙΛΩ-ΝΟΣ

τοσούτου πλήθους ἀδίκων ζῶντες, ὧν οὐδ' ἀριθμὸν εὑρεῖν εὔπορον, ἐπεβουλεύθησαν, τί τὴν φύσιν αἰτιώμεθα, δέον τὴν
23 τῶν ἐπιθεμένων κακίζειν ὠμότητα; Καὶ γὰρ εἰ ἐν ἀέρι γεγένηντο λοιμικῷ, πάντως ὤφειλον νοσῆσαι· καταστάσεως δὲ λοιμικῆς μᾶλλον, ἢ οὐχ ἧττον, φθοροποιός ἐστιν ἡ κακία. Ὡς δ' ὁπόταν ὑετοῦ μὲν ὄντος, ἀνάγκη τὸν σοφὸν, εἰ ἐν ὑπαίθρῳ διάγοι, καταβρέχεσθαι, Βορέου δὲ ψυχροῦ καταπνέοντος ῥίγει πιέζεσθαι [καὶ ψυχεῖ,] θέρους δ' ἀκμάζοντος c ἀλεαίνεσθαι, (ταῖς γὰρ ἐτησίοις τροπαῖς τὰ σώματα συμπάσχειν νόμος φύσεως,) τὸν αὐτὸν τρόπον τὸν ἐν τοῖς τοιούτοις χωρίοις ἐνοικοῦντα, ἔνθα φόνοι τελοῦνται καὶ ἄλλων ἔθνεα κηρῶν, ἐναλλάττεσθαι τὰς ἀπὸ τῶν τοιούτων τιμὰς
24 ἀναγκαῖον. Ἐπεὶ Πολυκράτει γε, ἐφ' οἷς δεινοῖς ἠδίκησε καὶ ἠσέβησε, χορηγὸς ἀπήντησε, χείρων μὲν ἡ τοῦ βίου βαρυδαιμονία· πρόσθες δ' ὡς ὑπὸ μεγάλου βασιλέως ἐκολάζετο, καὶ

b 2. ὧν οὐδ'—εὔπορον F.G. 4. αἰτιώμεθα] αἰτιῶνται Mangeius. 5. κακίζειν] καμίζειν C. 6. γεγένηντο] γεγένηνται C.G. γεγένηται D. E.F. 10. ἐν ὑπαίθρῳ διάγοι] ὑπαίθρῳ διάγει C.D.F.G. Mox βρέχεσθαι D. c. πιεσθῆναι] πιέζεσθαι C.D.E.F.G. om. statim καὶ ψύχει C.E.F. 2. ταῖς γὰρ—φύσεως om. C.F.G. 4. τρόπον] δὲ τρόπον D. τοῖς ante τοιούτοις om. E.I. 5. φόνοι λιμοί τε] φθόνοι τελοῦνται C. F.G. φ. τελοῦνται D. φόνοι τελοῦνταί τε καὶ E.I. Nescio unde arripuerit illud λιμοί τε Stephanus. Versus Empedocleus Hierocli et Synesio citatus sic se habet: ἔνθα φόνος τε κοτός τε καὶ ἄ. ἔ. κ. 6. τὰς ἀπὸ τ. τ. τιμὰς om. C.F.G. 7. τίμας] τιμωρίας vel λύμας Mangeius. ἐπεὶ] ἐπὶ C.E.I. Mox δὲ pro γε C.D.I. 11. βραχυδαιμονία F. πρόσθες] πρόσθεν E.I.

multitudine viverent, ut facile numerus iniri non posset, nonnullorum insidiis odiisque patuere; quid caussæ est, quamobrem cum eorum a quibus oppressi sunt, crudelitatem accusare oporteat, naturam ipsam inju-
23 riose criminemur? Quippe si pestilenti cœlo uterentur, hujus illis plane foret subeunda contagio. Atqui vel magis, vel nihilo certe minus, quam pestifera quædam lues, exitialis improbitas est. Et quemadmodum, imbre decidente perplui, si sub dio versabitur, virum sapientem oportebit, eundemque vel frigidiore Borea spirante, frigoris vim subire, vel æstate ardentiori æstuare: (ut enim annuas mutationes corpora sentiant, lex naturæ quædam est.) ita quisquis in ejusmodi locis habitat, ubi cædes, ubi fames, ubi tot casuum ac miseriarum examina, varias illum ac multi-
24 plices earum subinde mulctas subire necesse est. Quippe, Polycrates enim ille, ad ea scelera quæ cum injuriose, tum impie perpetravit, deteriorem iniquæ fortunæ manum operamque sortitus est: sed adde tu porro, qualem

ΦΙΛΩΝΟΣ

προσηλοῦτο, χρησμὸν ἐκπιπλὰς, Οἶδα, ἔφη, κἀμαυτὸν οὐ πρὸ d πολλοῦ θεωρῆσαι δόξαντα ὑπὸ μὲν ἡλίου ἀλείφεσθαι, λούεσθαι δ' ὑπὸ Διός. Αἱ γὰρ διὰ συμβόλων αἰνιγματώδεις [230] αὗται φάσεις, ἀδηλούμεναι τὸ πάλαι, τὴν διὰ τῶν ἔργων ἀρι- 25 δηλοτάτην ἐλάμβανον πίστιν. Οὐκ ἐπὶ τελευτῇ δὲ μόνον, ἀλλὰ παρὰ πάντα τὸν ἐξ ἀρχῆς βίον, ἐλελήθει πρὸ τοῦ σώματος τὴν ψυχὴν κρεμάμενος. Αἰεὶ γὰρ φοβούμενος καὶ τρέμων τὸ πλῆθος τῶν ἐπιτιθεμένων ἐπτόητο, σαφῶς ἐξεπιστάμενος ὅτι εὔνους μὲν ἦν οὐδεὶς, ἐχθροὶ δὲ πάντες δυσπραξίᾳ ἀμείλικτοι.

26 Τῆς δὲ ἀνηνύτου καὶ συνεχοῦς εὐλαβείας μάρτυρες οἱ τὰ Σικελικὰ συγγράψαντες, οἵ φασιν, ὅτι καὶ τὴν θυμηρεστά- p. 391 την ὕποπτον εἶχε γυναῖκα. Σημεῖον δέ· τὴν εἰς τὸ δωμάτιον εἴσοδον, δι' ἧς φοιτήσειν ἔμελλεν ὡς αὐτὸν, ἐκέλευσε στορεσθῆναι σανίσιν, ἵνα μὴ λάθῃ ποτὲ παρεισερπύσασα, ψόφῳ δὲ καὶ κτύπῳ τῆς ἐπιβάσεως προμηνύῃ τὴν ἄφιξιν· εἶτ' οὐκ

d. *υἶδα ἐφῆκα ἐμαυτὸν*] *οἶδ' ἔφη κἄματον* C. *οἶδ' ἐφῆκ' ἐμαυτὸν* E. *οἶδ' ἐφῆκ' ἁμαυτὸν* F. *οἶδ' ἐφῆκα* G. *οἶδ' ἐφῆκ' ἀμαυτὸν* I. 5. *αἰνιγματώδεις*] *αἰνιγματώδης* C. Tum *φύσεις* E. *φείσεις* I. 6. *ἀριδηλοτάτων* F.G. 7. *τέλει*] *τελευτῇ* C.D.E.F.G.I. 9. *ἐλελήθει λελήθει* C.E. F.G.I. 11. *ἐπτόητο*] *ἐπτιεῖτο* C. *ἐπτοεῖτο* D.F. 13. *δυσπραξίᾳ*] *δυσπράξειν* C.F. *δυσπράξειαν* G. 14. *συνεχοῦς*] *οὐ συν.* C. Post *συνεχοῦς* nomen *Διονυσίου* excidisse suspicatur Mangeius.

p. 391. 3. *ἧς*] *ἣν* C. *οὗ—εἰς* D. *οὗ* F.G. *ἔμελλεν*] *ἔμελλον* C.F.G. *ὡς αὐτὸν ἐκέλευσε στορεσθῆναι*] *εἰς αὐτὸν στορεσθεῖσι* C. *εἰς αὐτὸν στορεσθῆναι* E. *εἰς αὐτὸν στορεισθεῖσι* F.G. 6. *προμηνύῃ*] *προμηνύει* C.D.I.

ipse regis maximi jussu pœnam sustinuerit, cum ad stipitem clavis affigebatur, expletoque oraculo, Memini, inquiebat, mihi etiam me paulo ante visum, inungi a sole, a Jove lavari. Denuntiationes enim istæ symbolis, ænigmatum in morem adumbratæ, ut ante hominum intelligentiam fuge- 25 rent, re ipsa tamen exituque fidem sui fecerunt longe certissimam. Quanquam non sub exitum modo, sed etiam toto illo quo imperavit tempore, clam ipse quidem, vere tamen animo prius quam corpore suspensus hæsit. Assiduo enim conjuratorum densa manu irruentium terrore percellebatur, cum probe intelligeret, qui bene sibi vellet neminem, infestos sibi omnes esse, ac nulla unquam sua calamitate placandos.

26 Et vero, quam sibi anxie perpetuoque metueret, ex rerum Sicularum scriptoribus quivis auferre possit, qui vel ipsam ei quoque observantissimam licet ac suavissimam conjugem suspectam fuisse tradunt. Nam interioris cubiculi vestibulum, quo ipsi aditus ad sese foret, tabulato sterni jussit, ne quando furtim irreperet, sed illius adventus ipso subeuntis sonitu strepituque proderetur. Eam deinde, non modo sine vestibus, sed omnibus

ΦΙΛΩΝΟΣ

ἀνείμονα μόνον, ἀλλὰ καὶ πᾶσι τοῖς μέρεσι γυμνὴν, ἃ μὴ
θέμις ὑπ᾽ ἀνδρῶν ὁρᾶσθαι, παρέρχεσθαι· πρὸς δὲ τούτοις, τὸ
συνεχὲς τοῦ κατὰ τὴν ὁδὸν ἐδάφους εἰς τάφρου γεωργικῆς
εὖρος καὶ βάθος διακοπῆναι, κατὰ δέος μή τι πρὸς ἐπιβουλὴν b
ἀφανῶς ἐπικρύπτηται, ὅπερ ἢ ἅλμασιν ἢ μακραῖς διαβάσεσιν
27 ἔμελλε διελέγχεσθαι. Πόσων ἄρα κακῶν ὁ ταῦτα παρατηρῶν
καὶ τεχνάζων ἐπὶ γυναικὸς, ᾗ πρὸ τῶν ἄλλων ὤφειλε πιστεύ-
ειν, μεστὸς ἦν; Ἀλλὰ γὰρ ἐῴκει τοῖς δι᾽ ἀπορρῶγος ὄρους
ἐπὶ τῷ τὰς ἐν οὐρανῷ φύσεις ἀριδηλοτέρας κατανοῆσαι κρη-
μνοβατοῦσιν, οἳ μόλις φθάνοντες ἄχρι προνενευκότος αὐχέ-
νος, οὔτ᾽ ἀναχωρεῖν ἔτι δύνανται, πρὸς τὸ λειπόμενον ὕψος
ἀπειρηκότες, οὔτε καταβαίνειν θαρροῦσι, πρὸς τὴν ὄψιν τῶν c
28 χασμάτων ἰλιγγιῶντες. Ἐρασθεὶς γὰρ, ὡς θείου πράγματος
καὶ περιμαχήτου, τυραννίδος, οὔτε μένειν οὔτε ἀποδιδράσκειν
ἀσφαλὲς εἶναι ὑπελάμβανε. Μένοντι μὲν γὰρ ἀλλεπάλληλα
ἐπέρρει κακὰ ἀμύθητα· βουλομένῳ δ᾽ ἀποδιδράσκειν ὁ περὶ

a 6. ἀνείμονα] ἂν εἰ μόνα C. Mox μόνον om. E. 9. παρέρχεσθαι] παρέχεσθαι F. f. προσέρχεσθαι Mangeius. 10. τοῦ om. F. τάφρου] τάφου D.E. 11. καὶ β.] ἢ β. F. δέος] δὲ I. b. μήτι] μήτε C. ἐπικρύπτηται] ἐπικέκρυπται C.D.E.F.G.I. 3. ἔμελλε διελέγ.] ἤμελλεν ἐλέγχ. C.F.G. 4. τεχνάζων] παρατεχνάζων D.E. 7. ἐν .. ἀνθρώπου D. ἐν τῷ τὰς ἐν ἀνθρ. E. ἀριδηλοτέρας] ἀριδηλοτέρως Vigeri margo. ἀρδηλωτ. F. 8. κρημνοβατοῦσιν οἳ] κρημνοβαθέσιν ἢ C. κρημνοβαθέσιν F.G. 10. ἀναχωρεῖν] ἴσ. ἄνω χωρεῖν Vigeri margo, probante Mangeio. c 4. εἶναι om. C.D.F.G. 6. ἀμύθητα om. C.F.G. ἀμύθατα βουλομένων D.

etiam, quas a viris videri nefas est, partibus nudam intrare voluit. Præterea continens illud, quod viæ objacebat, regii liminis solum in rusticæ fossæ latitudinem altitudinemque deprimi, ne quid moliendis clam insidiis comparatum latere posset, cum aut saltibus, aut longioribus trajiciendi
27 moris facile detegeretur. Quot obsecro scatebat ille miseriis, qui adversus uxorem, cui præ cæteris omnibus fidem habere debuisset, tam multa compararet atque moliretur? Iis utique persimilis erat, qui naturas illas quæ in cœlo versantur, clarius nosse cupientes, per abruptum præcipitemque montem ingressi, ubi vix demum ad prominentem usque cervicem evaserunt, nec ultra progredi ea quæ superest jugi altitudine fracti debilitatique possunt, nec descendere audent, dum ad tantæ subjectarum labium
28 hiatuumque vastitatis aspectum attoniti obstupescunt. Nam qui semel tyrannidem, perinde ac divinum aliquid, atque omni contentione dignum affectasset, nec in ea se tuto hærere, nec se illi subducere secure posse statuebat: quippe si hæreret, confertas et inexplicabiles in sese quotidie calamitates confluere; sin aufugere conaretur, certissimum vitæ sibi peri-

ΦΙΛΩ-ΝΟΣ

τοῦ ζῆν ἐπεκρέματο κίνδυνος, ὡπλισμένων, εἰ καὶ μὴ τοῖς σώ-
29 μασιν, ἀλλά τοι ταῖς διανοίαις κατ᾽ αὐτοῦ. Δηλοῖ δὲ καὶ τὸ
ἔργον, ᾧ πρὸς τὸν μακαρίζοντα τὸν τῶν τυράννων βίον φασὶ
χρήσασθαι Διονύσιον. Καλέσας γὰρ αὐτὸν ἐπὶ λαμπροτά- d
του καὶ πολυτελεστάτου δείπνου παρασκευὴν, ἐκ μηρίνθου
πάνυ λεπτῆς προσέταξεν ἠκονημένον ὑπεραιωρηθῆναι πέλεκυν.
Ἐπεὶ δὲ κατακλιθεὶς εἶδεν αἰφνίδιον, οὔτ᾽ ἐξαναστῆναι θαρ-
ρῶν διὰ τὸν τύραννον, οὔτ᾽ ἀπολαῦσαί τινος τῶν παρεσκευα-
σμένων διὰ δέος οἷός τε ὤν, ἀφθόνων καὶ πλουσίων ἀλογήσας
ἡδονῶν, ἀνατείνας τὸν αὐχένα καὶ τὰς ὄψεις ἐκαραδόκει τὸν
30 οἰκεῖον ὄλεθρον. Συνεὶς δ᾽ ὁ Διονύσιος, Ἆρ᾽ ἤδη κατανοεῖς,
ἔφη, τὸν ἀοίδιμον καὶ περιμάχητον ἡμῶν βίον; Ἔστι γὰρ
τοιοῦτος, εἰ μὴ βούλοιτό τις ἑαυτὸν φενακίζειν· ἐπειδὴ περι-
έχει παμπληθεῖς μὲν χορηγίας, ἀπόλαυσιν δ᾽ οὐδενὸς χρη-
στοῦ· φόβους δ᾽ ἐπαλλήλους, καὶ κινδύνους ἀνηκέστους, καὶ p. 392
νόσον ἑρπηνώδους καὶ φθινάδος χαλεπωτέραν, ἀθεράπευτον
31 ἀεὶ φέρουσαν ὄλεθρον. Οἱ δὲ πολλοὶ τῶν ἀνεξετάστων ὑπὸ

c 8. τοῖς σώμασιν] τοῖς om. C.F.G. ὡπλισμένον . . ἢ D. 9. τε ταῖς D. d. καλέσας] κελεύσας E. qui mox ἐπὶ τὸ λαμπρότατον καὶ πολυτελὲς δεῖπνον. 2. πολυτελεστάτου δείπνου παρασκευὴν] πολυτελὲς δεῖπνον C.F.G. qui mox ἠκονημένον ponunt post πέλεκυν. 5. κατακλιθεὶς] κατακληθεὶς B. 15. ἀπόλαυσιν] ἀπολαύουσι C.F.G.

p. 392. 2. καὶ νόσον ἑρπηνώδους om. B. νόσον ἑρπηνάδος C.F.G. vid. Mangeium T. II. p. 64. n. [1]. φθινώδους] φθινάδος B.C.D.F.G.I.

culum imminere, cum tot suum in caput, si minus corporibus, at animis
29 certe quidem armatos esse intelligeret. Atque id ex ipsomet Dionysii facto
satis superque constat, quo ipsum ad eum refellendum, qui felicem tyran-
norum vitam esse dictitabat, usum esse ferunt. Hominem cum ad lautum
valde opiparumque convivium invitasset, peracutam securim, quæ summis
ejus cervicibus immineret, tenuissimo funiculo suspendi jussit. Quam ille
ubi accubuisset, repente suspiciens, cum nec surgere præsente tyranno
auderet, nec sibi ullius suavitatem degustare præ nimio timore posset, vim
tantam exquisitissimarum deliciarum aspernatus, supina cervice intentoque
30 vultu, momentis singulis interitum expectabat suum. Hic Dionysius
sensum hominis animumque pervidens, Jamne nosti, inquit, vitæ hujus
nostræ tam splendidæ tamque expetitæ conditionem? talis enim profecto
illa est, nisi si quis fucum ipse sibi facere voluerit. Abundat opibus illa
quidem, bono tamen penitus frui nullo potest: sed assiduis continuisque
terroribus, inextricabilibus periculis, morbo denique agitatur, qui cancro
31 tabeque omni dirior, perpetuum et insanabile importat exitium. At impe-

Dionysii tyranni factum, deque tyrannorum vita sensus et oratio.

ΦΙΛΩΝΟΣ

τῆς λαμπρᾶς φανερότητος ἀπατώμενοι, ταὐτὸν πεπόνθασι
τοῖς ἀγκιστρευομένοις ὑπὸ τῶν εἰδεχθῶν ἑταιρίδων, ἃ τὴν
δυσμορφίαν ἐσθῆτι καὶ χρυσῷ καὶ ταῖς τῆς ὄψεως ὑπογρα-
φαῖς ἐπισκιάζοντα, γνησίου κάλλους ἀπορίᾳ, νόθον ἐπ' ἐν-
32 έδρᾳ τῶν θεωμένων δημιουργεῖ. Τοιαύτης γέμουσι βαρυδαι-
μονίας οἱ λίαν εὐτυχεῖς, ἧς τὰς ὑπερβολὰς αὐτοὶ δικάσαντες b
παρ' ἑαυτοῖς οὐ στέγουσιν, ἀλλ' ὥσπερ οἱ τὰ ἀρρωστήματα ὑπ'
ἀνάγκης ἐκλαλοῦντες, ἀφιᾶσι τὰς ἐκ πάθους ἀψευδεστάτας
φωνάς, ἐπὶ συνουσίᾳ τιμωριῶν καὶ παρουσῶν καὶ προσδοκω-
μένων ζῶντες, καθάπερ τῶν θρεμμάτων τὰ πρὸς ἱερουργίαν
[231] πιαινόμενα. Καὶ γὰρ ταῦτα τῆς πλείστης ἐπιμελείας ἐπὶ τῷ
33 σφαγῆναι τυγχάνει διὰ πολύκρεων εὐωχίαν. Εἰσὶ δ' οἳ καὶ
περὶ χρημάτων ἀσεβῶν οὐκ ἀδήλους ἀλλὰ φανερὰς ἔδοσαν
δίκας, ὧν τὰ πλήθη καταλέγεσθαι περιττὸς πόνος, ἀπόχρη c
δ' ἓν ἔργον παράδειγμα πάντων ἑστάναι. Λέγεται τοίνυν
ὑπὸ τῶν ἀναγεγραφότων τὸν ἱερὸν πόλεμον τὸν ἐν Φωκίδι,

a 7. ἑταιριδίων] ἑταιρίδων D.E. 12. οἷς D. b 3. ἄρρητα] ἀρρωστήματα B.C.F.G. ὥσπερὶ τὰ ἀρρωστήματα D. ὡς περὶ τὰ ἀρρωστήματα E. 4. ἐκκαλοῦντες D. 5. ἀψ. φω.] φω. ἀψ. B.C.F. ἀψευδεστάτους E. 8. καὶ γὰρ—τυγχάνει] καὶ γὰρ ἐπιμελοῦνται ἐπὶ τῷ σφαγῆναι B.C.F.G. ἐπιμελοῦνται et om. τυγχάνει D. 11. ἀσεβῶν] ἀσεβοῦντες Mangeius. c. καταλέγεσθαι] καταλέγειν B.C.D.F.G. 3. ἀναγεγραφότων] ἀναγραφομένων B. 4. πόλεμον τὸν] τὸν om. B.C.E.F. G.I.

riti plerique ac stolidi, illustri nescio qua specie pompaque decepti, persimiles iis sunt, qui se a putidis meretriculis inescari patiuntur, quæ deformitatem corporis cultu, auro, multisque medicamentis obtegentes, dum nihil habent veræ pulchritudinis, adulterinam ac spuriam irretiendis spec-
32 tatoribus moliuntur. Eadem homines nimium beati fortunæ laborant iniquitate, cujus ipsi vim et magnitudinem, quam suopte sibi arbitrio sensuque finxerunt, premere taciti ac dissimulare non possunt, sed (quemadmodum arcana pandere nonnulli solent, necessitate compulsi) voces illi quasdam emittunt longe verissimas, atque acerbitate calamitatis extortas: dum in suppliciorum partim præsentium, partim impendentium consortio vivunt, altilium pecudum simillimi, quæ ad sacrificium saginantur. Illis enim ad lanienam curæ plurimum ac solicitudinis impenditur, quo epulum
33 ex sese lautius præbere possint. Quinetiam pœnas a quibusdam sacrilegiorum suorum palam ac manifeste persolutas fuisse constat. Quorum et hoc loco seriem texere, quia inutilis operæ fuerit, exemplum unum duntaxat omnium instar proferre contentus ero. Igitur sacri Phocensis belli scriptores memoriæ prodiderunt, cum lex sacrilegum aut dari præcipitem,

Lex in sacrilegos: triumque sacrilegorum pœnæ.

ΦΙΛΩ-ΝΟΣ

νόμου κειμένου τὸν ἱερόσυλον κατακρημνίζεσθαι ἢ καταποντοῦσθαι ἢ καταπίμπρασθαι, τρεῖς συλήσαντας τὸ ἐν Δελφοῖς ἱερὸν, Φιλόμηλον καὶ Ὀνόμαρχον καὶ Φάϋλλον, διανείμασθαι τὰς τιμωρίας. Τὸν μὲν γὰρ διὰ λόφου τραχέος καὶ λιθώδους ῥαγείσης πέτρας κατακρημνισθῆναί τε καὶ καταλευσθῆναι· τὸν δὲ, ἀφηνιάσαντος τοῦ κομίζοντος ἵππου καὶ μέχρι θαλάσσης καταβάντος, ἐπιδραμόντος τοῦ πελάγους, d εἰς ἀχανῆ βυθὸν αὐτῷ ζώῳ καταδῦναι· Φάϋλλον δὲ φθινάδι νόσῳ, (διττὸς γὰρ ὁ περὶ αὐτοῦ λόγος,) συντακῆναι, ἢ ἐν τῷ

34 ἐν Ἄβαις ἱερῷ συνεμπρησθέντα ἀπολέσθαι. Ταῦτα γὰρ φιλονεικότατον λέγειν ἀποβῆναι κατὰ τύχην. Εἰ μὲν γάρ τινες ἢ ἐν διαφέρουσι καιροῖς ἢ ἑτέραις ἐκολάσθησαν τιμωρίαις, εἰκὸς ἦν τὸ ἄστατον τῆς τύχης προφασίζεσθαι· πάντων δ᾽ ἀθρόως καὶ ὑφ᾽ ἕνα καιρὸν καὶ μὴ ἑτέραις τιμωρίαις ἀλλὰ ταῖς περιεχομέναις ἐν τοῖς νόμοις κολασθέντων, εὔλογον φάσκειν ὅτι Θεοῦ δικάσαντος ἑάλωσαν.

35 Εἰ δέ τινες τῶν ὑπολειφθέντων βιαίων, καὶ τοῖς πλήθεσιν p. 393

c 6. καταπίμπρασθαι] καταπιπράσκεσθαι E.I. 8. Φάϋλλον] Φύαλον B.F.G. Φύλλον C. φιάλον D. 9. τὸν μὲν γὰρ—μετέρχεσθαι om. B. τραχέως] τραχέος C.I. 10. κατακρημνησθῆναι] κατακρημνισθῆναι F.G. 12. θαλάσσης] θαλάττης C.F.G. d 3. Φάϋλλον] φύαλον C.F.G. φθινώδει] φθινάδι C.F.G.I. 6. γὰρ] Mangeius malit δέ, et infra εἰκὸς ἂν ἦν. 10. καὶ ὑφ᾽] ἐφ᾽ C.F.G. καὶ om. D.

aut in mare demergi, aut igne cremari juberet, tres illos qui Delphicum templum spoliaverant, Philomelum, Onomarchum, et Phayllum, inter se tria illa suppliciorum genera divisisse. Quippe unum enim illorum, cum per difficilem ac salebrosum montem incederet, disrupto saxo præcipitem actum, ejusque mole obrutum periise. Alterum, equo cui tum insidebat, habenis excussis, in mare ipsum desiliente, inundantis æstus impetu abreptum, et immenso gurgite una cum ipso quadrupede haustum fuisse. Phayllum denique aut fœda tabe consumptum esse, aut simul cum Abensi templo conflagrasse: duplex enim ejus de morte fama circumfertur.

34 Enimvero, casu ista contigisse, nemo unquam nisi contentiosissimus dixerit. Nam si unus aut alter, si diversis temporibus, si alia pœnarum genera subiissent, fortunæ mutabilitas et inconstantia prætexi fortasse posset. Nunc vero, cum et simul omnes, et sub idem tempus, nec aliis quam lege sancitis affecti pœnis fuerint, utique fatendum est reos illos divino judicio peractos damnatosque periisse.

35 Quod si ex tyrannis reliquis, nonnulli cum multitudinem oppressissent,

ΦΙΛΩΝΟΣ

ἐπαναστάντων, καὶ δουλωσαμένων οὐ μόνον δήμους ἑτέρους
ἀλλὰ καὶ πατρίδας τὰς ἑαυτῶν, ἀτιμώρητοι διετέλεσαν, θαυ-
μαστὸν οὐδέν. Πρῶτον μὲν γὰρ οὐχ ὁμοίως ἄνθρωπος δικά-
ζει καὶ Θεός· διότι τὰ μὲν φανερὰ ἡμεῖς ἐρευνῶμεν, ὁ δὲ ἄχρι
μυχῶν ψυχῆς εἰσδυόμενος ἀψοφητὶ, καθάπερ ἐν ἡλίῳ λαμ-
πρὰν διάνοιαν αὐγάζει, ἀπαμπίσχων μὲν τὰ περίαπτα, οἷς
ἐγκατείληπται, γυμνὰ δὲ περιαθρῶν τὰ βουλήματα, καὶ δια- b
36 γινώσκων εὐθὺς τά τε παράσημα καὶ δόκιμα. Μηδέποτ᾿ οὖν
τὸ οἰκεῖον δικαστήριον τοῦ θείου προκρίναντες, ἀψευδέστερον
αὐτὸ καὶ εὐβουλότερον εἶναι φῶμεν· οὐ γὰρ ὅσιον. Ἐν ᾧ
μὲν γὰρ πολλὰ τὰ σφάλλοντα, ἀπατηλαὶ αἰσθήσεις, πάθη
ἐπίβουλα, κακιῶν ὁ βαρύτατος ἐπιτειχισμὸς, ἐν ᾧ δὲ οὐδὲν
μὲν τῶν ἐπ᾿ ἐξαπάτῃ, δικαιότης δὲ καὶ ἀλήθεια, αἷς ἕκαστον
37 βραβευόμενον ἐπαινετῶς ἐξορθοῦσθαι πέφυκεν. Ἔπειτ᾿, ὦ
γενναῖε, μὴ νομίσῃς ἀλυσιτελὲς ἐπίκαιρον εἶναι τυραννίδα. c
Οὐδὲ γὰρ ἡ κόλασις ἀλυσιτελὲς, ἀλλὰ τιμωρίας διδόναι τοῖς
ἀγαθοῖς ἢ ὠφελιμώτερον ἢ οὐκ ἀποδέον. Οὗ χάριν ἐν ἅπασι

p. 333. 3. *οὐ μόνον* et *ἑτέρους ἀλλὰ* om. C.F.G. 4. *ἀτιμώρητοι*] *ἀτιμώτεροι* F. 5. *ὁμοίως ἄνθρωπος*] *ὡς ἄνθρωποι* C.D.F.G. qui mox *ὁ θεός*. 8. *ψυχῆς*] *ψυχῶν* C.F.G. om. D. 9. *αὐγάζει*] *διαυγ.* C.D.F.G. 10. *ἐγκεκάλυπται*] *ἐγκατείληπται* C.D.E.F.G.I. Supra *ἀμπαμπίσχων* D. 11. *βουλήματα*] *βουλεύματα* Mangeius. b 5. *σφάλλοντα*] *σφάλματα* C.D.F.G. 8. *μὲν* om. C.G. Mox *ἐξαπάτη* C. 10. *ἐξορθοῦσθαι*] f. *κατορθοῦσθαι* Mangeius. c. *νομίσεις* D. *ἐπίκαιρον*] *ἐπὶ καιρῶν* Mangeius.

Cur tyranni plerique nullam perdiu pœnam sustineant.

nec alios tantum populos, sed patriam quoque suam in servitutem rede-
gissent, nullas tamen pœnas subiere, nihil profecto mirum. Primum
enim, longe aliud hominis est, aliud Dei judicium: cum obvia solum ac
manifesta quæque rimari et explorare soleamus, Deus autem in intimas
usque animorum latebras atque recessus absque ullo strepitu subiens ac
penetrans, mentem ipsam perinde ut in sole conspicuam illustremque per-
videat, ac subductis quibus tegebatur involucris omnibus, consilia sensus-
que nudos contempletur, et quicquid fucatum adulterinumque fuerit a
36 probo legitimoque secernat. Caveamus ergo, ne judicium ipsi nostrum,
divino illi, tanquam verius ac sapientius anteferre unquam velimus. Nefas
enim id prorsus. In nostro quippe fraudis multi sunt errorisque fontes,
sensuum fallaciæ, perturbationum insidiæ, objectæ scelerum moles gra-
vissimæ. In divino autem, quod decipiat, omnino nihil: æquitas contra
veritasque regnant, quibus expensa constitutaque singula, laudabiliter
37 solent feliciterque succedere. Deinde vero, cave sis, mi homo, inutilem,
in tempus saltem aliquod, tyrannidem arbitrere: neque enim punitio
supervacaneum quiddam est, sed potius expeti exigique pœnas, aut viris

ΦΙΛΩΝΟΣ

μὲν τοῖς ὀρθῶς γραφεῖσι παρείληπται νόμοις· οἱ δὲ γρά-
ψαντες ὑπὸ πάντων ἐπαινοῦνται. Ὅπερ γὰρ ἐν δήμῳ τύ-
38 ραννος, τοῦτ᾽ ἐν νόμῳ κόλασις. Ἐπειδὰν οὖν ἔνδεια μὲν καὶ
σπάνις δεινὴ καταλάβῃ τὰς πόλεις ἀρετῆς, ἀφθονία δ᾽ ἀφρο-
σύνης ἐπιπολάσῃ, τηνικαῦτα ὁ Θεὸς, ὥσπερ ῥεῦμα χειμάρρου
τὴν φορὰν τῆς κακίας ἀποχετεῦσαι γλιχόμενος, ἵνα καθάρῃ
τὸ γένος ἡμῶν, ἰσχὺν καὶ κράτος δίδωσι τοῖς τὰς φύσεις ἀρ- d
39 χικοῖς. Ὠμῆς γὰρ δίχα ψυχῆς οὐ καθαίρεται κακία. Καὶ
ὅνπερ τρόπον αἱ πόλεις ἐπ᾽ ἀνδροφόνοις καὶ προδόταις καὶ
θεοσύλαις δημίους ἀνατρέφουσιν, οὐ τὴν γνώμην ἀποδεχό-
μεναι τῶν ἀνδρῶν, ἀλλὰ τὸ τῆς ὑπηρεσίας χρήσιμον ἐξετά-
ζουσαι· τὸν αὐτὸν τρόπον καὶ ὁ τῆς μεγαλοπόλεως τοῦδε
τοῦ κόσμου κηδεμὼν, οἷα δημίους κοινοὺς ἐφίστησι τοὺς τυ-
ράννους ταῖς πόλεσιν, ἐν αἷς ἂν αἴσθηται βίαν, ἀδικίαν, ἀσέ-
βειαν, τὰ ἄλλα κακὰ πλημμύροντα, ὅπως ἤδη ποτὲ σπάντα
40 λωφήσῃ. Τηνικαῦτα καὶ τοὺς αἰτίους, ὡς ἐκ δυσκαθάρτου καὶ
ἀνηλεοῦς ψυχῆς ὑπηρετήσαντας, ἐφ᾽ ἅπασιν, ὥσπερ τινὰς p. 394

c 5. νόμοις παρείληπται I. 6. γράφοντες D. γραφέντες F.G. 9. καταλάβει D. d. τὰς φύσεις om. C.D.F.G. post ἀρχικοῖς I. 3. ὅνπερ] ὃν D. 4. θεοσύλοις] θεοσύλαις E.I. 5. ἀνατρ.] ἀναστρ. D. 9. κηδεμὼν] διοικητὴς C.D.F.G. Mox δημοκοίνους Mangeius pro δημίους κοινούς. 13. τηνικαῦτα μὲν καὶ τοὺς αἰτίους ἅτ᾽ οὐκ ἀπὸ γνώμης ὑγιοῦς, ἀλλ᾽ ἐκ δυσκ. I. ult. ὡς ἐκ] ἐκ om. C. δυσκαθάρτου] Mangeius δυσκαθέκτου. Male.

p. 394. ἐφ᾽ ἅπασιν om. C.D.F.G.

etiam probis utilius est, aut ab iis certe non alienum. Itaque cum id
optimis quibusque legibus comprehensum esse, tum ipsos quoque illarum
auctores ab omnibus laudari videmus. Enimvero quod tyrannus in
38 populo, hoc ipsum in lege punitio est. Ubi ergo ingens quædam urbes
virtutis penuria solitudoque pervadit, ubi existit passim abundatque ve-
cordia: tum Deus hanc improbitatis colluviem, non secus ac cursum
aliquem impetumque torrentis, derivare cupiens, omnem ut generi nostro
labem eximat, homines natura sua imperiosos vi ac potestate armat. Nec
39 enim purgari scelus nisi ab animo acerbiore potest. Et quemadmodum
respublicæ adversus homicidas, proditores, et sacrilegos, carnifices alunt,
non quod eam vitæ rationem institutumque laudent, sed quod utilem
eorum operam esse intelligant; ita summus ille magnæ mundi hujus
reipublicæ moderator, tyrannos iis nonnunquam civitatibus, perinde ac
tortores publicos præficit, quas vi, injuriis, impietate, ac cæteris criminibus
redundare intelligat, ut compressa mali contagio tandem aliquando sopia-
40 tur. Tum enimvero illos ipsos pœnarum auctores, quod in iis infligendis
improbitatem ipsi suam, et propriam animi crudelitatem sequuti fuerint,

ΦΙΛΩΝΟΣ

[232] κορυφαίους, ἀξιοῖ μετέρχεσθαι. Καθάπερ γὰρ ἡ τοῦ πυρὸς δύναμις, ὅταν παραβληθεῖσαν ὕλην ἀναλώσῃ, τελευταῖον αὑτὴν ἐπινέμεται· τοῦτον τὸν τρόπον καὶ οἱ ἐπὶ τοῖς πλήθεσι δυναστείας εἰληφότες, ὅταν δαπανήσαντες τὰς πόλεις κενὰς ἀνδρῶν ἐργάσωνται, τὰς ὑπὲρ ἁπάντων τίνοντες δίκας ἐπιδια-
41 φθείρονται. Καὶ τί θαυμάζομεν, εἰ διὰ τυράννων ὁ Θεὸς κακίαν ἀναχυθεῖσαν ἐν πόλεσι καὶ χώραις καὶ ἔθνεσιν ἀποδιο- b
πομπεῖται; Πολλάκις γὰρ μὴ χρώμενος ὑπηρέταις ἄλλοις αὐτὸς δι' ἑαυτοῦ τοῦτ' ἐργάζεται, λιμὸν ἐπάγων ἢ λοιμὸν ἢ σεισμὸν καὶ ὅσα ἄλλα θεήλατα, οἷς ὅμιλοι μεγάλοι καὶ πολυάνθρωποι καθ' ἑκάστην ἡμέραν ἀπόλλυνται, καὶ πολλὴ μοῖρα τῆς οἰκουμένης ἐρημοῦται διὰ προμήθειαν ἀρετῆς.

42 Ἱκανῶς μὲν οὖν εἴς γε τὰ παρόντα περὶ τοῦ μή τινα τῶν φαύλων εὐδαιμονεῖν, ὡς οἶμαι, λέλεκται· δι' οὗ μάλιστα παρίσταται τὸ εἶναι πρόνοιαν. Εἰ δὲ μηδέπω πέπεισαι, τὸν c
ἔθ' ὑποικουροῦντα ἐνδοιασμὸν εἰπὲ θαρρῶν· ἀμφότεροι γὰρ ᾗ τἀληθὲς ἔχει συνδιαπορήσαντες εἰσόμεθα.

a 2. καθάπερ] καὶ καθ. B. Statim γὰρ om. C.F.G. 3. παραβληθεῖσαν] παραβληθῆσαν F. 10. πόλεσι καὶ om. B.C.F.G. Tum καὶ om. C.F. b 3. λιμὸν—λοιμὸν] λοιμὸν—λιμὸν B.C.F.G. 6. ἡμέραν om. B.C.F.G. 9. εἰς] οἷς C.F.G. τὰ παρόντα] τὸν παρόντα D.E. 11. δι' ὧν] δι' οὗ B.D.F.I. c 2. ἀμφότεροι—παρέχεται om. B. 3. συνδιαπονήσαντες] συνδιαπορήσαντες Mangeius. Vid. infra p. 399 d 12.

Tyrannus ignis.

præ cæteris omnibus tanquam sceleris ac nequitiæ principes severe graviterque punit. Quemadmodum enim vis ignis ejusmodi est, quæ objectam depasta materiam, sese tandem ipsa conficiat atque consumat: ita qui sibi auctoritatem in populos imperiumque sumpsere, ii spoliatis, et hominibus exhaustis civitatibus, pœnas ipsi denique luentes universorum,
41 digno insuper tolluntur exitio. Quid mirum autem, si hominum improbitatem in urbibus passim, regionibus, populisque grassantem, tyrannorum manu Deus exterminet; cum ipsemet nulla cujusquam usus opera, id ipsum per sese nonnunquam efficiat, famem, pestilentiam, terræ motus, ac cæteras id genus calamitates cœlitus immittendo, quibus vis hominum ingens quotidie tollitur, parsque magna terrarum, dum virtuti consultum esse vult, incolis exhauritur?

42 Verum, satis opinor, quantum saltem postulabat hic locus, improbum neminem vere beatum esse ostendimus: quo potissimum argumenti genere providentiam esse conficitur. Si tamen necdum omnino facta tibi fides est, age quicquid adhuc hæret scrupuli, fidenter eloquere: ambo enim conjuncta opera studioque facilius, utra ex parte stet veritas cognoscemus.

43 Καὶ μεθ' ἕτερα πάλιν φησίν·

ΦΙΛΩΝΟΣ

Ἀνέμων καὶ ὑετῶν φορὰς οὐκ ἐπὶ λύμῃ τῶν πλεόντων, ὡς
ἐνόμιζες, ἢ γεωργούντων, ἀλλ' ἐπ' ὠφελείᾳ τοῦ παντὸς ἡμῶν
γένους ὁ Θεὸς εἰργάζετο. Ὕδασι μὲν γὰρ τὴν γῆν καθαίρει,
τὸν δ' ὑπὸ σελήνην ἅπαντα χῶρον πνεύμασιν· ἀμφοτέροις δὲ
44 ζῷα καὶ φυτὰ τρέφει, καὶ αὔξει, καὶ τελειοῖ. Εἰ δὲ τοὺς μὴ
ἐν καιρῷ πλωτῆρας ἢ γεωπόνους ἐστὶν ὅτε βλάπτει, θαυ- d
μαστὸν οὐδέν· βραχὺ γὰρ οὗτοι μέρος, ἡ δ' ἐπιμέλεια τοῦ
παντὸς ἀνθρώπων γένους. Ὥσπερ οὖν τὸ ἐν τῷ γυμνασίῳ
ἄλειμμα τίθεται μὲν ἐπ' ὠφελείᾳ, πολλάκις δ' ὁ γυμνασίαρ-
χος ἕνεκα πολιτικῶν χρειῶν ὥρας τῆς ἐν ἔθει μετέθηκε τὴν
τάξιν, δι' ἧς ὑστέρησαν ἔνιοι τῶν ἀλειφομένων· οὕτω καὶ ὁ
Θεός, οἷα πόλεως τοῦ παντὸς ἐπιμελούμενος κόσμου, θέρη
χειμαίνοντα καὶ χειμῶνας ἐαρίζοντας εἴωθε ποιεῖν ἐπὶ τῇ τοῦ
παντὸς ὠφελείᾳ, κἂν εἰ ναύκληροί τινες ἢ γῆς ἐργάται μέλ-
45 λοιεν ταῖς τούτων ἀνωμαλίαις ζημιοῦσθαι. Τὰς οὖν τῶν στοι-
χείων εἰς ἄλληλα μεταβολάς, ἐξ ὧν ὁ κόσμος ἐπάγη καὶ συν-
έστηκεν, εἰδὼς ἀναγκαιότατον ἔργον, ἀκωλύτους παρέχεται·

c 7. ἐργάζεται] εἰργάζετο C.D.E.F.G.I. d. γεωπόνους] γεηπόνους C.F. 2. ἡ δ'] εἰ δ' C. 6. ὥρας D. (sic coll.) 10. θέρη] θέρει E. qui mox ἀερίζοντας. 15. συνέστηκεν] συνέστη C.D.F.G. ἐπάγει supra D.

Tum aliquot interjectis:

Ventorum et imbrium utilitas.

43 Vim, inquit, illam impetumque ventorum et imbrium, non jam in nau-
tarum, ut putabas, agricolarumque perniciem, sed in generis hominum
universi utilitatem ac fructum Deus excitare solet. Aquis enim terras,
ventis totam illam quæ infra lunam est regionem purgat: utroque vero
44 animantes ac plantas alit, auget, ac perficit. Quod autem, qui alieno
tempore, sive navigant, sive terram colunt, aliquid inde nonnunquam
detrimenti capiant, mirum nihil: pars enim hominum perexigua sunt,
cura vero ac providentia generis est universi. Quemadmodum igitur
athletis inungendis utilis olei copia in gymnasio est, cum tamen exigen-
tibus aliquando reipublicæ temporibus, certaminis solenne tempus gymnasii
moderator immutet, quo fit, ut serius athletæ nonnulli conveniant: sic
Deus, mundum hunc totum, perinde ut civitatem aliquam gubernans,
æstates interdum hyemi persimiles, verique geminas hyemes universi com-
modo invehere consuevit, tametsi nautis colonisve quibusdam infestior ea
45 tempestatum inæqualitas sit futura. Nam mutuas illas quidem elemen-
torum mutationes, ex quibus mundus iste coaluit, etiamque consistit ac
viget, quod summam earum necessitatem pervideat, nunquam fieri pro-

Athletarum in gymnasio inungendorum mos utilissimus est.

πάχναι δὲ καὶ χιόνες καὶ ὅσα ὁμοιότροπα ἀέρος ἐπακολουθεῖ p. 395
καταψύξει, καὶ πάλιν προσαράξει καὶ παρατρίψει νεφῶν, ΦΙΛΩΝΟΣ
ἀστραπαί τε καὶ βρονταί· ὧν οὐδὲν ἴσως κατὰ πρόνοιαν,
ἀλλ' ὑετοὶ καὶ πνεύματα ζωῆς καὶ τροφῆς καὶ αὐξήσεως τοῖς
46 περὶ γῆν αἴτια, ὧν ταῦτα ἐπακολουθήματα. Οἷα, γυμνα-
σιάρχου φιλοτιμίαις πολλάκις ἀνειμένας ποιουμένου δαπάνας,
ἀνθ' ὕδατος ἐλαίῳ καταιονούμενοί τινες τῶν ἀπειροκάλων εἰς
τοὔδαφος ῥανίδας ἀποστάζουσιν, ὁ δ' ὀλισθηρότατος αὐτίκα b
γίνεται πηλός· ἀλλ' οὐκ ἄν τις εὖ φρονῶν εἴποι, τὸν πηλὸν
καὶ τὸν ὄλισθον προμηθείᾳ τοῦ γυμνασιάρχου γεγονέναι,
παρηκολουθηκέναι δὲ ἄλλως τῇ ἀφθονίᾳ τῶν χορηγιῶν ταῦτα.
47 Ἶρις δὲ καὶ ἅλως καὶ ὅσα ὁμοιότροπα πάλιν ἐστὶν αὐτῶν
ἐγκιρναμένων τοῖς νέφεσιν ἐπακολουθήματα, οὐκ ἔργα φύσεως
προηγούμενα, φυσικοῖς δ' ἐπισυμβαίνοντα ἔργοις· οὐ μὴν
ἀλλὰ παρέχει τινὰ καὶ ταῦτα χρείαν ἀναγκαίαν τοῖς φρονι-
μωτέροις· νηνεμίας γὰρ καὶ πνεύματα, εὐδίας τε καὶ χειμῶνας c
48 ἀπὸ τούτων τεκμαιρόμενοι προλέγουσι. Τὰς κατὰ πόλιν

p. 395. 2. προσαράξει] προσράξει B.D. προσρράξει C.F.G. 6. γῆν] γῆς F. 9. καταιον.] καταιων. B. Vigerus malit καταιονώμενοι, quem sequitur Mangeius. b 2. εἴποι] εἴπη C.F.G. 3. γυμνασιάρχου] γυμνασιάρχης E. 5. τῇ ἀφθ.] τῇ om. E. Ἶρις δὲ καὶ ἅλως] ἴρης δὲ καὶ ἄλλως C. ἄλλως D. δὲ ἄλλως καὶ F.G. 7. αὐτῶν] Mangeius αὐγῶν. ἐγκιρναμ.] ἐγκιρνομ. C.D.F.G. νέφεσιν] ἐνέφ. C. 11. πνεύματα] πνεύματος C.F.G.

hibet: at vero pruinæ, nives, atque id genus reliqua, cœli refrigerationem,
quemadmodum et nubium collisionem attritumque fulgura atque tonitrua
consequuntur. Quorum adeo, providentiæ consilio existit fortasse nihil; Caute legenda sequentia, de operum naturæ primariorum ac secundariorum, ut vocant, discrimine.
sed pluviæ solum atque venti; quibus ea quæ terræ sinu continentur,
vivunt, aluntur, et crescunt; quibusque antegressis cætera illa vulgo sub-
46 sequuntur. Ut enimvero, si qui forte minus elegantes ac politi, cum
gymnasii moderator voluptarios, ut sæpe accidit, magnificentiæ studio,
sumptus fecerit, unguentis pro aqua perfusi, labentibus guttis subjectum
solum irrigarint, unde lutum admodum lubricum oriatur: nemo quidem,
si sapiat modo, gymnasiarchæ consilio lutum istud lubricumve contigisse
dixerit, sed utrumque casu quodam ex tanta unguentorum copia conse-
47 quutum fuisse. Iris similiter, corona, et cætera id genus, ex radiis sese
medias in nubes immiscentibus consequuntur, eoque non principalia quæ-
dam naturæ opera sunt, sed potius ad res naturales accedunt. Quanquam
et solertioribus ipsa quoque, necessario cuidam usui esse solent, qui ex
illorum aspectu, aut sudum fore serenumque cœlum, aut ventos ac tem- Porticus obversæ austro.
48 pestates imminere præsentiunt, atque prænuntiant. Num tu porticus illas

ΦΙΛΩΝΟΣ

στοὰς οὐχ ὁρᾷς; Τούτων αἱ πλείους πρὸς μεσημβρίαν νενεύκασιν, ὑπὲρ τοῦ τοὺς ἐμπεριπατοῦντας χειμῶνι μὲν ἀλεαίνεσθαι, θέρους δὲ καταπνεῖσθαι. Παρακολουθεῖ δέ τι καὶ ἕτερον, ὃ μὴ τῇ γνώμῃ τοῦ κατεσκευακότος ἐπιγίνεται. Τί δὲ τοῦτ' ἔστιν; Αἱ ἀπὸ τῶν ποδῶν ἐκπίπτουσαι σκιαὶ τὰ
[233] 49 μέτρα διασημαίνουσι ταῖς ὥραις. Καὶ μὲν δὴ τὸ πῦρ φύσεως
ἀναγκαιότατον ἔργον· ἐπακολούθημα δὲ τούτου, καπνός· ἀλλ' d
ὅμως παρέχεταί τινα ὠφέλειαν ἔστιν ὅτε καὶ αὐτός. Ἐν γοῦν ταῖς μεθημεριναῖς πυρσείαις, ἡνίκα τὸ πῦρ ὑπὸ τῶν ἡλιακῶν καταλαμπόμενον αὐγῶν ἐξαμαυροῦται, καπνῷ μηνύε-
50 ται πολεμίων ἔφοδος. Οἷός γ' οὖν ἐπὶ τῆς Ἴριδος, τοιοῦτος καὶ ἐπὶ τῶν ἐκλείψεων ὁ λόγος· θείαις γὰρ φύσεσιν ἡλίου καὶ σελήνης ἐπακολουθοῦσιν ἐκλείψεις· αἱ δὲ μηνύματά εἰσιν ἢ βασιλέων τελευτῆς, ἢ πόλεων φθορᾶς· ὃ καὶ Πίνδαρος ἠνίξατο γενομένης ἐκλείψεως διὰ τῶν πρόσθεν εἰρημένων.
51 Ὁ δὲ δὴ τοῦ γάλακτος κύκλος τῆς μὲν αὐτῆς οὐσίας τοῖς ἄλλοις ἄστροις μετέσχηκε, δυσαιτιολόγητος δ' εἴπερ ἐστὶ, μὴ

c 5. χειμῶνος] χειμῶνι C.D.E.F.G.I.S. Mox θέρει S. 9. τῇ—πείρᾳ—τὰς ὥρας] τὰ—μέτρα—ταῖς ὥραις C. τὰ ἡμέτερα μέτρα D.F.G.I. τῇ ἡμετέρᾳ πέτρᾳ—ταῖς ὥραις E. ταῖς ὥραις I. 10. δὲ] δὴ D.G.
d 7. γ' οὖν] γ' om. C.D.F.G. 12. Πίνδαρος] Apud Dionys. Hal. de Demosth. T. II. p. 273. Vid. Schneider. Fr. Pind. ap. Heyn. T. III. p. 59. seqq. 15. οὐσίας om. D. Mox ἄστρασι F.G. 16. ἐστησαν D.

tota urbe vides? spectant pleræque omnes meridiem, ut inambulantes hyeme quidem incalescant, æstate vero, aura vehementiore perflentur. Cæterum aliud quiddam ex eo situ consequitur, quod omnino præter ejus qui porticum molitus est, animum mentemque contingit. Quid tandem illud? quod projectæ pedibus umbræ, horas nobis quotidiana quadam
49 experientia denotent. Sic ignis opus est naturæ pernecessarium; fumus autem, ut ejus quædam quasi accessio sit, habet tamen interdum commoditatis aliquid ipse quoque: cum enim faces interdiu tolluntur e speculis, solisque radii splendorem ignis extingunt, fumo saltem indidem prorum-
50 pente hostium adventus indicatur. Porro quod de Iride statuimus, idem etiam de solis ac lunæ defectionibus sentiendum est. Quæ quidem ita divinioribus utriusque astri naturis accidunt, ut simul imminentem aut regibus interitum, aut civitatibus pestem denuntient. Id quod etiam Pindarus, cum similis defectio contigisset, laudatis supra carminibus indi-
51 cavit. Lacteus item circulus, cum ejusdem plane, cujus astra cætera naturæ sit, ut caussas habeat explicatu difficiles, absit tamen ut animum hoc in genere despondeant, qui rerum naturalium rationes indagare solent.

ἀποκνείτωσαν οἱ τὰ φύσεως ἐρευνᾶν εἰωθότες. Ὠφελιμώτα- p. 396 ΦΙΛΩΝΟΣ
τον γὰρ ἡ εὕρεσις, ἥδιστος δὲ καὶ καθ' αὑτὸ τοῖς φιλομαθέσιν
52 ἡ ζήτησις. Ὥσπερ οὖν ἥλιος καὶ σελήνη προνοίᾳ γεγόνασιν,
οὕτω καὶ τὰ ἐν οὐρανῷ πάντα, κἂν ἡμεῖς τὰς ἑκάστων φύσεις
53 τε καὶ δυνάμεις ἰχνηλατεῖν ἀδυνατοῦντες ἡσυχάζωμεν. Σει-
σμοί τε καὶ λοιμοὶ, καὶ κεραυνῶν βολαὶ, καὶ ὅσα τοιαῦτα,
λέγεται μὲν εἶναι θεήλατα, πρὸς δ' ἀλήθειαν οὐκ ἔστι, (Θεὸς
γὰρ οὐδενὸς αἴτιος κακοῦ τοπαράπαν,) ἀλλ' αἱ τῶν στοιχείων
μεταβολαὶ ταῦτα γεννῶσιν, οὐ προηγούμενα ἔργα φύσεως, b
ἀλλ' ἑπόμενα τοῖς ἀναγκαίοις, καὶ τοῖς προηγουμένοις ἐπα-
54 κολουθοῦντα. Εἰ δέ τινες τῶν χαριεστέρων συναπολαύουσι
τῆς ἀπὸ τούτων βλάβης, οὐκ αἰτιατέον τὴν διοίκησιν. Πρῶ-
τον μὲν γὰρ, οὐκ εἴ τινες ἀγαθοὶ παρ' ἡμῖν νομίζονται, καὶ
πρὸς ἀλήθειάν εἰσιν, ἐπειδὴ τὰ Θεοῦ κριτήρια τῶν κατὰ τὸν
ἀνθρώπινον νοῦν πάντων ἀκριβέστερα· δεύτερον δὲ, τὸ προ-
μηθὲς ἐπὶ τὰ τῶν ἐν κόσμῳ συνεκτικώτατα ἐφορᾶν ἀγαπᾷ·

p. 396. ἥδιστον] ἥδιστος C.D.E.F.G.I. καὶ πάλιν ἥδιστος B. 2. αὐτὸ] ἑαυτὸ C.F.G. φιλομαθέσιν] φιλομαθοῦσιν D.F.G. 5. ἑκάστων] ἑκάστῳ B. 6. ἡσυχάζωμεν] ἀστοχήσωμεν Mangeius. 8. λέγεται] λέγονται B.C.F.G. γῆς D. 9. οὐδενὸς αἴτιος] αἴτιος οὐδαμῶς C. οὐδαμῶς αἴτιος F.G. 11. προηγούμεναι D. b 3. συναπολαύουσι] συναπολάβουσι B. 4. ἀπὸ τούτων] ἀπὸ om. B.C.D.F.G. 7. τῶν om. D. 8. ἀκριβέστερα] ἀκριβέστατα B.C.D.F.G.I. πάντως Mangeius pro πάντων. 9. τὰ τῶν] τὰ om. B.C.D.E.F. 10. συνεκτικώτατα] συνεκτικώτατον B. –κωτάτων C.D.E.F.G.I. Tum ἐφορᾶν om. B.C.D.E.F.I. ἀγαπᾷ] ἀγαπᾶν C.D.E.F.G.I. Nescio an totus hic locus a Stephano sit e conjectura reformatus.

Cum enim caussam ejusmodi aliquam invenisse utilissimum est, tum vel
eam investigare, hominibus sciendi cupidis, per sese jucundissimum.
52 Quemadmodum igitur sol atque luna, sic etiam quicquid in cœlo est, ut a
rimandis singulorum naturis ac viribus, assequendi desperatione, absti-
53 nendum statuamus, divina providentia perfectum est. At vero terræ
motus, pestilentiæ, fulminum casus, aliaque id genus, immitti divinitus illa
quidem, sed minus vere, dicuntur; nullius enim omnino mali caussa Deus
est; sed ex elementorum mutationibus ita gignuntur, ut præcipua quædam
ac primaria naturæ opera non sint, verum ex necessariis atque primariis
54 tantummodo consequantur. Quod si, eorum etiam nonnulli, qui probi
videbantur, iis interdum calamitatibus et exitiis involvantur, caussæ tamen
nihil est, quamobrem divinæ gubernationis ratio accusetur. Primum enim,
probi continuo re ipsa non sunt, quotquot esse arbitramur, cum humanæ
cogitationes atque consilia divinorum judiciorum certitudine longe multumque superentur. Deinde vis illa providentiæ res mundi partesque
præcipuas maxime spectare ac moderari solet, quemadmodum in regnis

ΦΙΛΩ-
ΝΟΣ

καθάπερ ἐν ταῖς βασιλείαις καὶ στραταρχίαις, ἐπὶ τὰς πόλεις c
καὶ τὰ στρατόπεδα, οὐκ ἐπί τινα τῶν ἠμελημένων, καὶ ἀφα-
55 νῶν ἕνα τὸν προστυχόντα. Λέγουσι δέ τινες, καθάπερ ἐν
ταῖς τυραννοκτονίαις καὶ τοὺς συγγενεῖς ἀναιρεῖσθαι νόμιμόν
ἐστι ὑπὲρ τοῦ μεγέθει τῆς τιμωρίας ἐπισχεθῆναι τὰ ἀδική-
ματα, τὸν αὐτὸν τρόπον κἀν ταῖς λοιμώδεσιν νόσοις παρα-
πόλλυσθαί τινας τῶν μὴ ὑπαιτίων, ἵνα πόρρωθεν οἱ ἄλλοι
σωφρονίζωνται· δίχα τοῦ ἀναγκαῖον εἶναι τοὺς ἐμφερομένους
ἀέρι νοσώδει νοσεῖν, ὥσπερ καὶ τοὺς ἐν νηῒ χειμαζομένους
56 κινδυνεύειν ἐξίσου. Τὰ δ' ἄλκιμα τῶν θηρίων γέγονεν, (οὐ d
γὰρ ὑποσιωπητέον, εἰ καὶ τῷ δεινὸς εἰπεῖν εἶναι προλαβὼν
τὴν ἀπολογίαν διέσυρες,) ἀσκήσεως ἕνεκα τῆς πρὸς τοὺς πο-
λεμικοὺς ἀγῶνας. Τὰ γὰρ γυμνάσια καὶ αἱ συνεχεῖς θῆραι
συγκροτοῦσι καὶ νευροῦσιν εὖ μάλα τὰ σώματα, καὶ πρὸ τῶν
σωμάτων τὰς ψυχὰς ἐθίζουσιν ἐχθρῶν ἐξαπιναίας ἐφόδους
57 τῷ καρτερῷ τῆς ῥώμης ἀλογεῖν. Τοῖς δὲ τὰς φύσεις εἰρηνι-

c. *στραταρχίαις*] *στρατάρχαις* F. 2. *στρατόπεδα*] Vel etiam *στρατεύματα*. Sic collator codicis I. 3. *ἕνα τὸν—ἀδικήματα* om. B. 4. *δὲ* om. D.F.G. 8. *νόσοις*] *νόμοις* C.G. *νόμος* F. 9. *μὴ ὑπαιτ.*] *μὴ* om. B.C.D.F.G.I. et nescio an E. 10. *σωφρονίζονται* F. 12. *χειμαζομένη* I. d 2. *ὡς ἂν εἰ καὶ*] *ὡς ἂν* om. B.C.D.E.F.G.I. *δεινῶς—οἰομένῳ*] *δεινὸς—εἶναι* B.C.D.F.G.I. 4. *πολεμικοὺς*] *πολεμίους* C. 6. *συγκροτοῦσι καὶ νευ.*] *καὶ νευ. καὶ συγκρ.* B. 7. *πρὸ*] *πρὸς* F. *ἐθίζουσιν*] *νομίζουσιν* C.F.G. qui mox *ἐξαπιναίως*. *ἐξαπιναίους* D.E.I. non *ἐξαπιναίας*. 8. *ἐφόδους*] *ἐφόδου* Mangeius, qui mox ex ms. *καρτερικῷ* pro *καρτερῷ*. 9. *ἀναλογεῖν* G.

ipsis ac militaribus imperiis fieri videmus, ut civitatum et exercituum inte-
grorum, non abjecti cujuslibet obscurique capitis salutem regum et impe-
55 ratorum cura complectatur. Addunt quoque hoc loco nonnulli, sicut in
tyrannorum cædibus, propinqui etiam atque cognati legum auctoritate
tolluntur, ut cæteri a similibus injuriis atque sceleribus supplicii magni-
tudine revocentur: sic morborum exitialium contagione innocentes aliquot
perire, ut reliqui tanto ante his exemplis eruditi moderari sese ac continere
discant: ut illud omittam, quandam iis qui morbido cœlo involvantur,
contrahendi morbi, non secus atque illis qui navi tempestatibus jactata
56 vehuntur, subeundi æqualiter periculi necessitatem imponi. Jam feroces
illæ valentesque bestiæ, (nec enim prætereundum illud est, tametsi nostram
hanc, qua tu in dicendo facultate es, defensionem occupando traduxeris,)
hominibus ad bellica certamina exercendis procreatæ sunt. Assidua enim
et gymnicorum ludorum et venationum exercitatio, majorem in modum
corporis firmitatem ac robur auget, quodque corpore longe potius est,
animum ipsum ad repentinas hostium incursiones invicti pectoris con-
57 stantia deridendas consuefacit. Nam qui mitioris ingenii sunt, ii cum

κοῖς ἔξεστιν, οὐ μόνον τειχῶν ἐντὸς ἀλλὰ καὶ κλισιάδων ΦΙΛΩΝΟΣ
θαλαμευομένοις, ἀποζῆν ἀνεπιβουλεύτως, ἔχουσιν εἰς ἀπό-
λαυσιν ἀφθονωτάτας ἡμέρων ἀγέλας· ἐπειδὴ σῦς, καὶ λέον- p. 397
τες, καὶ ὅσα ὁμοιότροπα, ἑκουσίᾳ φύσει χρώμενα, μακρὰν
ἄστεος ἀπελήλαται, τὸ μηδὲν παθεῖν ἀγαπῶντα τῆς ἀνθρώ-
58 πων ἐπιβουλῆς. Εἰ δέ τινες ὑπὸ ῥαθυμίας ἄοπλοι καὶ ἀπα-
ράσκευοι ταῖς καταδύσεσι τῶν θηρίων ἀδεῶς ἐνδιαιτῶνται,
τῶν συμβαινόντων ἑαυτοὺς ἀλλὰ μὴ τὴν φύσιν αἰτιάσθωσαν,
διότι φυλάξασθαι παρὸν ὠλιγώρησαν. Ἤδη γοῦν καὶ ἐν
ἱπποδρομίαις εἶδόν τινας εἴξαντας ἀλογιστίᾳ, οἳ, δέον ἐγκα-
θέζεσθαι καὶ σὺν κόσμῳ θεωρεῖν, ἐν μέσῳ στάντες, ὑπὸ τῆς
ῥύμης τῶν τεθρίππων ἀνωσθέντες, ποσὶ καὶ τροχοῖς κατηλοή- b
[234] θησαν, ἀνοίας τἀπίχειρα εὑράμενοι.

59 Περὶ μὲν οὖν τούτων ἀπόχρη τὰ λεχθέντα. Τῶν δ' ἑρπετῶν τὰ ἰοβόλα γέγονεν οὐ κατὰ πρόνοιαν, ἀλλὰ κατ' ἐπακολούθησιν, ὡς καὶ πρότερον εἶπον. Ζῳογονεῖται γὰρ, ὅταν ἡ ἐνυπάρχουσα ἰκμὰς μεταβάλῃ πρὸς τὸ θερμότερον. Ἔνια

d 10. τειχῶν] τυχῶν E. 11. κλεισιάδων] κλισιάδων B.C.D.F.G.I. p. 397. 2. ἑκουσίᾳ] ἑκουσίῳ B.C.D.F.G. 3. ἀπελήλ.] ἀπελέλ. C. 4. τῆς ἀνθ.] ἐκ τῆς ἀνθ. Mang. 7. ἑαυτοῖς D. ἐκείνους I. 8. αἰτιάσθωσαν] αἰτιάσονται B. 9. καὶ om. D.F.G. 10. εἶδον] εἶδα E. εἶδι I. an οἶδᾶ? 12. ῥύμης] ῥώμης C. b. ἀνωσθέντες] ἀνωθέντες E.I. 2. εὑράμενοι] εὑρόμενοι I. 3. λεχθέντα] εἰρημένα B.C.D.F.G. 5. ἐπακολ.] ἀκολ. B. ὡς καὶ πρότ.—πρόνοιαν om. B. 7. μεταβάλλῃ F.G.

urbium mœnibus, tum etiam domesticis inclusi septique foribus secure degere possunt, maximis cicurum animantium gregibus ad quotidianum usum abundantes. Quippe, sues enim, leones, ac generis ejusdem cæteras, quæ naturæ suæ libertatem retinent, ne hominum insidiis gravius aliquid
58 subeant, procul ab urbibus summotas videmus. Quarum lustris si qui forte negligentius armis præsidioque nudi sese commiserint, quicquid deinde pati contigerit, sese illi potius quam naturam accusent, qui quod periculum effugere potuissent, incuria neglexerint. Prorsus ut in equestri certamine nonnullos aliquando vidi, qui temeritate præcipites, cum sedendum et quiete spectandum esset, in medio consisterent, et impetu quadrigarum impulsi, equorum ungulis, rotisque curruum obtererentur, dignas stultitiæ pœnas luentes.

59 Ac de his quidem hactenus. Nam ex repentium quidem animantium genere, qui veneno feriunt, ii non Providentiæ consilio, sed casu quodam ex rebus aliis, uti jam dictum est, consequente nascuntur. Tum enim animari solent, cum innatus humor vehementius incaluit. Sunt etiam

ΦΙΛΩΝΟΣ

δὲ καὶ σῆψις ἐψύχωσεν, ὡς ἕλμινθας μέν, ἡ περὶ τροφήν·
φθεῖρας δ', ἡ ἀπὸ τῶν ἱδρώτων. Ὅσα δ' ἐξ οἰκείας ὕλης
κατὰ φύσιν σπερματικὴν καὶ προηγουμένην ἔχει γένεσιν, εἰ- c
60 κότως ἐπιγέγραπται πρόνοιαν. Ἤκουσα δὲ καὶ περὶ ἐκείνων
διττοὺς λόγους, ὡς ἐπ' ὠφελείᾳ τοῦ ἀνθρώπου γεγονότων,
οὓς οὐκ ἂν ἐπικρυψαίμην. Ἦν δ' ὁ μὲν ἕτερος, τοιόσδε·
πρὸς πολλὰ τῶν ἰατρικῶν ἔφασάν τινες τὰ ἰοβόλα συνεργεῖν,
καὶ τοὺς μεθοδεύοντας τὴν τέχνην, εἰς ἃ δεῖ καταχρωμένους
αὐτοῖς ἐπιστημόνως, ἀλεξιφαρμάκων εὐπορεῖν, ἐπὶ τῇ
τῶν μάλιστα ἐπισφαλῶς ἐχόντων ἀπροσδοκήτῳ σωτηρίᾳ·
καὶ μέχρι νῦν ἔστιν ἰδεῖν τοὺς μὴ ῥαθύμως καὶ ἀμελῶς ἰα- d
τρεύειν ἐπιχειροῦντας ἐν ταῖς συνθέσεσι τῶν φαρμάκων κατα-
61 χρωμένους ἑκάστοις οὐ παρέργως. Ὁ δ' ἕτερος λόγος οὐκ
ἰατρικός, ἀλλὰ φιλόσοφος ἦν, ὡς ἔοικε. Τῷ γὰρ Θεῷ ταῦτ'
ἔφασκεν ηὐτρεπίσθαι κατὰ τῶν ἁμαρτανόντων κολαστήρια,
ὡς στρατηγοῖς καὶ ἡγεμόσι ὕστριχας ἢ σίδηρον· οὗ χάριν,
ἠρεμοῦντα τὸν ἄλλον χρόνον ἀνερεθίζεσθαι πρὸς ἀλκὴν ἐπὶ
τοῖς κατακριθεῖσιν, ὧν ἡ φύσις ἐν τῷ ἀδωροδοκήτῳ δικαστη-

b 8. ἕλμινθας μὲν] μὲν om. F.G. 9. ἡ ἀπὸ] ἡ om. G. c 3. γεγονότος οὓς F. 5. ἰατρῶν] ἰατρικῶν B.C.F.I. 7. δεῖ] δὴ C. d 6. ηὐτρεπίσθαι] εὐτρεπίσθαι E.I. 8. βοστρύχους] ὕστριχας B.C.D. E.F.G.I.

nonnulli, qui ex ipsa corruptione vitam hauriunt, ut lumbrici qui ex ali-
menti, pediculi qui ex sudoris vitio oriuntur. Quos vero propria ex ma-
teria infusoque semine, principaliter ac proprie natura producit, ii Provi-
60 dentiæ suo jure tribuuntur. Quanquam de prioribus etiam illis, quasi ad
hominis utilitatem procreentur ipsi quoque, duo me quædam audire
memini, quæ hoc loco dissimulare non placet. Alterum est, a medicis
quibusdam commemorari solitum : in pluribus venenatos serpentes usui
esse, ac peritis hujus artis, si modo illis, ubi opus erit, scienter abutentur,
vim præsentium amuletorum maximam suppetere, quibus præter hominum
opinionem, integra periculosissime laborantibus valetudo salusque red-
datur. Itaque videas etiamnum eos, qui medicinam haud oscitanter ac
perfunctorie tractant, conficiendis quotidie remediis, ex quolibet genere
61 aliquid, nec obiter id quidem, admiscere. Alterum ex philosophorum
potius, quam ex medicorum fontibus haustum videbatur. Ea siquidem
comparata divinitus adversum improbos pœnarum instrumenta esse sta-
tuebat, quemadmodum a ducibus et imperatoribus flagella nonnunquam
asperiora, ferrumque ipsum adhiberi solet. Itaque cum alias quiescere ac
mitius agere consueverint, tum novis quasi viribus adversus damnatos sti-
mulantur, in quos natura ipsa in illo suo integerrimo castissimoque foro,

62 ῥίῳ ἑαυτῆς κατέγνω θάνατον. Τὸ δ' ἐν ταῖς οἰκίαις πεφω- ΦΙΛΩΝΟΣ
λευκέναι μᾶλλον, ἐστὶ μὲν ψεῦδος· ἔξω γὰρ ἄστεος ἐν ἀγρῷ p. 398
καὶ ἐρημίαις θεωρεῖται, φεύγοντα ὡς δεσπότην τὸν ἄνθρωπον.
Οὐ μὴν ἀλλ', εἰ καὶ ἀληθές ἐστιν, ἔχει τινὰ λόγον. Ἐν γὰρ
μυχοῖς σεσώρευται φορυτὸς, καὶ σκυβάλων πλῆθος, οἷς εἰσδύ-
εσθαι φιλεῖ, δίχα τοῦ καὶ τὴν κνίσαν ὁλκὸν ἔχειν δύναμιν.
63 Εἰ δὲ καὶ χελιδόνες ἡμῖν συνδιαιτῶνται, θαυμαστὸν οὐδέν·
τῆς γὰρ τούτων θήρας ἀπεχόμεθα. Σωτηρίας δὲ πόθος ἐν
ταῖς ψυχαῖς οὐ λογικαῖς μόνον, ἀλλὰ καὶ ἀλόγοις ἐνίδρυται.
Τῶν δὲ πρὸς ἀπόλαυσιν οὐδὲν ὁμοδίαιτον διὰ τὰς ἐξ ἡμῶν b
ἐπιβουλὰς, πλὴν παρ' οἷς ἡ τῶν τοιούτων χρῆσις ἀπηγόρευται
64 νόμῳ. Τῆς Συρίας ἐπὶ θαλάττῃ πόλις ἐστὶν, Ἀσκάλων
ὄνομα· γενόμενος ἐν ταύτῃ, καθ' ὃν χρόνον εἰς τὸ πατρῷον
ἱερὸν ἐστελλόμην, εὐξόμενός τε καὶ θύσων, ἀμήχανόν τι πε-
λειάδων πλῆθος ἐπὶ τῶν τριόδων καὶ κατ' οἰκίαν ἑκάστην
ἐθεασάμην. Πυνθανομένῳ δέ μοι τὴν αἰτίαν, ἔφασαν οὐ θε-
μιτὸν εἶναι συλλαμβάνειν· ἀπειρῆσθαι γὰρ ἐκ παλαιοῦ τοῖς
οἰκήτορσι τὴν χρῆσιν. Οὕτως ἡμέρωται τὸ ζῷον ὑπ' ἀδείας,

d 12. τὸ δ' ἐν ταῖς—ἐπιφοιτῶντας om. B. ult. ἐστι μὲν] μὲν om. C.F.
p. 398. 6. ὁλκικὴν] ὁλκὴν D.F.G. ὁλκὸν E.I. 7. δὲ καὶ] καὶ om. C.D.F.G. 9. πόθος] πάθος C.F.G. 10. ἀνίδρ.] ἐνίδρ. C.G.I. Vigeri margo. ἐνυδρ. F. λογικοῖς supra D.F. b 9. ἔφασκον F. 11. ἡμέρωτον F.

62 capitalem sententiam tulerit. Nam in ædibus nostris ut plurimum hoc
animantium genus delitescere, falsum omnino est: cum illud extra urbes,
in campis, ac solitudinibus, quod hominem utique tanquam dominum
fugiat, vulgo degere videamus. Quod tamen dum secus interdum con-
tingit, ne tum quidem sua ratione caret, cum in locis quibusdam profun-
dioribus ingens copia stercoris ac sordium aggeratur, quibus sese immer-
gunt illæ cupidius, præterquam quod ipse quoque nidor propriam illiciendi
63 vim habet. Jam hirundines nobiscum versari mirum profecto nihil, cum
ab iis insequendis abstineamus, salutisque tuendæ cupiditas, non tantum
in ratione præditis animantibus, sed etiam in ea carentibus insita sit atque
defixa. At quibus uti homines vescique possunt, earum vero nobiscum
nulla degit, quod ab insidiis sibi nostris metuant: nisi sicubi lege prohi-
64 bitus earum usus fuerit. Urbs quædam est Syriæ maritima: (Ascalonem
vocant) ubi cum aliquando versarer, quo tempore patrium in templum
precationis et sacrificii caussa proficiscebar, vim columbarum infinitam
cum in triviis passim, tum in singulis etiam ædibus videbam. Caussam
quærenti mihi, eas capere nefas esse responderunt, quod jam olim civibus
earum usu interdictum esset. Usque adeo genus hoc animantis securitate

ΦΙΛΩ-ΝΟΣ

ὥστ᾽ οὐ μόνον ὑπωρόφιον ἀλλὰ καὶ ὁμοτράπεζον ἀεὶ γίνε- c
65 σθαι, καὶ τῆς ἐκεχειρίας ἐντρυφᾶν. Ἐν Αἰγύπτῳ δὲ καὶ θαυμασιώτερον ἰδεῖν ἔστιν. Τὸ γὰρ ἀνθρωποβόρον καὶ θηρίων ἀργαλεώτατον ὁ κροκόδειλος, γεννώμενος καὶ τρεφόμενος ἐν τῷ ἱερωτάτῳ Νείλῳ, τῆς ὠφελείας, καίτοι βύθιος ὤν, ἐπαισθάνεται. Παρ᾽ οἷς μὲν γὰρ τιμᾶται, πληθύνει μάλιστα· παρὰ δὲ τοῖς λυμαινομένοις, οὐδ᾽ ὄναρ φαίνεται· ὡς τῶν πλεόντων ὅπου μὲν καὶ τοὺς πάνυ θρασεῖς μηδ᾽ ἄκρον ἐπιτολμᾶν καθιέναι δάκτυλον, ἀγεληδὸν ἐπιφοιτώντων· ὅπου d
δὲ καὶ τοὺς ἄγαν δειλοὺς ἐξαλλομένους νήχεσθαι μετὰ παι-
66 διᾶς. Χώρα δ᾽ ἡ Κυκλώπων, ἐπειδὴ τὸ γένος αὐτῶν ἐστὶ πλάσμα μύθου, δίχα σπορᾶς καὶ γεωπόνων ἀνδρῶν ἥμερος καρπὸς οὐ φύεται, καθάπερ οὐδ᾽ ἐκ τοῦ μὴ ὄντος τι γεννᾶται. Τῆς Ἑλλάδος οὐ κατηγορητέον, ὡς λυπρᾶς καὶ ἀγόνου· πολὺ γὰρ κἂν ταύτῃ τὸ βαθύγειον. Εἰ δ᾽ ἡ βάρβαρος διαφέρει ταῖς εὐκαρπίαις, πλεονεκτεῖ μὲν τροφαῖς, ἐλαττοῦται
[235] δὲ τοῖς τρεφομένοις, ὧν χάριν αἱ τροφαί. Μόνη γὰρ ἡ Ἑλ-

c. ὑπωρ.] ὑπορ. C. ὁμωρόφιον Mangeius. 2. γίνεσθαι] γίνεται I. ἐκεχειρίαις ἐντρυφᾶν] ἐκεχειρίας ἐντρυφᾷ C.F.G. τῆς ἐκεχειρίας D.I. τῆς item E. 4. ἐστιν ἰδεῖν D. 5. ἀργαλεώτατον κρ. γεννώμενος] ἀργαλεώτερον ὁ κρ. γένομ. C.D.F.G. ὁ κρ. I. d. ἐπιφοιτῶντας] ἐπιφοιτώντων C.D.E.F.G.I. 4. μύθου] Deesse quid suspicatur Mangeius. 5. γεωπόνων] γεηπόνων B.C.D. 7. τῆς δ᾽] δ᾽ om. B.C.D.E.F.G.I. Mox οὐ om. D.F.G.I. 8. λυπρᾶς] λυπηρᾶς B.C.G. Mox κἂν om. B.

cicuratur, ut non tantum sub eodem tecto, sed etiam in eadem mensa assi-
65 duum sit, concessaque pace ad delicias abutatur. Est tamen in Ægypto, quod vehementius admirere. Nam crocodilus ille hominum devorator, ac bestiarum immanissimus, quod in sanctissimo Nili flumine nascatur alaturque, sensum aliquem, ut fere sub aquis delitescat, præsentis commoditatis habet. A quibus enim ipse colitur, apud eos multus esse solet; quos autem infestos pateretur, apud illos ne per somnium quidem videtur. Ergo qui Nilum navigant, interdum ut audacissimi fuerint, ac turmatim eo confluant, in aquam ne summum quidem immittere digitum audeant: interdum, homines etiam timidissimi ultro prosiliunt natantque ludibundi.
66 Cyclopum in tractu, (genus enim id hominum fabulæ commentum ac fœtus quidam est) quod nulla ibi sementis, agricolæ nulli, mitiorum frugum nascitur omnino nihil, ut neque ex nihilo quicquam gigni potest. Græcia vero accusanda profecto non est, tanquam arida nimium et infœcunda; habet enim altioris molliorisque soli plerosque tractus. Quod si terræ quædam barbaræ frugum ubertate præstant, ut abundent alimentis, eorum tamen qui alantur, quorumque caussa tantummodo alimenta proveniunt, paucitate laborant. Sola quippe Græcia, si vere loqui velimus, hominum

ΦΙΛΩΝΟΣ

λὰς ἀψευδῶς ἀνθρωπογονεῖ, φυτὸν οὐράνιον, καὶ βλάστημα θεῖον ἠκριβωμένον, λογισμὸν ἀποτίκτουσα οἰκειούμενον ἐπιστήμῃ. Τὸ δ᾽ αἴτιον· λεπτότητι ἀέρος ἡ διάνοια πέφυκεν p. 399
67 ἀκονᾶσθαι. Διὸ καὶ Ἡράκλειτος οὐκ ἄπο σκοποῦ φησὶν, "αὐγὴ ξηρὴ, ψυχὴ σοφωτάτη καὶ ἀρίστη." Τεκμηριώσαιτο δ᾽ ἄν τις καὶ ἐκ τοῦ τοὺς μὲν νήφοντας καὶ ὀλιγοδεεῖς συνετωτέρους εἶναι, τοὺς δὲ ποτῶν ἀεὶ καὶ σιτίων ἐμπιπλαμένους ἥκιστα φρονίμους, ἅτε βαπτιζομένου τοῖς ἐπιοῦσι τοῦ λογισμοῦ.
68 Διὸ κατὰ τὴν βάρβαρον ἔρνη μὲν ταῖς εὐτροφίαις καὶ στελέχη περιμήκιστα, καὶ ζώων ἀλόγων σφόδρα τὰ γονιμώτατα, b
νοῦν δ᾽ ἥκιστα γεννᾷ. Διότι τὸ ὑψωθῆναι ἐξ ἀέρος αὐτοῦ, αἱ γῆς καὶ ὕδατος ἐπάλληλοι καὶ συνεχεῖς ἀναθυμιάσεις κατε-
69 κράτησαν. Ἰχθύων δὲ καὶ ὀρνίθων καὶ χερσαίων γένη ζώων οὐκ ἔστιν ἐγκλήματα φύσεως ἐφ᾽ ἡδονὴν παρακαλούσης, ἀλλὰ

p. 399. 4. ἀπὸ] ἄπο D.E. οὗ γῆ] αὐγῆ B.C.F.G. αὐγὴ D.E.I. Tum ξηρῆ ψυχῆ B. Vide Wyttenbach. ad Plutarch. Animad. p. 566 a. = 217 ed. 4°. p. 449 8°. Reddidit sic G. Trapezuntius: *Aër siccior anima prudentior atque melior:* cum hac annot. in marg.: *In sicco aëre nascuntur ingeniosi homines.* 6. ἐκ τοῦ] τοῦ om. B. 8. ἐμπιμπλ.] ἐμπιπλ. B. 9. βαπτιζομένου] βαπτιζομένους E. ἐπιοῦσι] ἐπισειοῦσι B. ἐπειδιοῦσι C. Voluerunt ni fallor ἐπεισιοῦσι cum G. 10. ἔρνην D. 11. ταῖς εὐτροφίαις] ταῖς εὐστοχίαις καὶ εὐτροφίαις B.C.D.F.G. Mox καὶ om. E. καὶ στελ.] καὶ om. I. b. γονιμώτατα] μονιμώτατα D. γεννήματα Mangeius. 2. νοῦς δ᾽ οὗ ἡ ἥκιστα γεννᾶται] νοῦν δ᾽ ἥκιστα γεννᾷ B.C.D.F.G. νοῦν δ᾽ ἡ ἐς (an ἢ ὡς) ἥκιστα γεννᾷ E. νοῦν δ᾽ ἤδε ἥκιστα γεννᾷ I. 3. αὐτοῦ] αἰτίου B.C.D.E.F.G. Mancus videtur hujus loci sensus. 6. γένη] γένει E.

procreatrix est, utpote quæ cœlestem omnino plantam, divinumque germen, et omni ex parte perfectum, hoc est intelligentiam ipsam pariat, cum scientia nativa quadam cognatione conjunctam. Cujus rei caussa
67 hæc est, quod aëris tenuitate mens hominis acuatur: ut non sine ratione dixerit Heraclitus, ubi solum siccius, ibi solertissimum animum esse ac præstantissimum. Id quod vel ex eo quoque intelligas, quod homines sobrii frugique plus ingenio valeant, potu contra semper ciboque graviores, obtusi hebetesque reddantur, quod intelligentiæ vis ingesta mole obruatur.
68 Ergo, cum in barbaro solo non rami tantum caudicesque maximi, sed etiam rationis expertes animantes longe fœcundissimæ, propter alimentorum bonitatem et abundantiam vulgo nascuntur; tum excellens ingenium aut nullum existit omnino, aut valde rarum: quod perpetua quædam et continua exhalationum e terra simul et aqua prorumpentium copia per
69 ipsummet sublime ferri soleat. Porro tanta illa piscium, avium, ac terrestrium animalium varietas, naturæ, quasi nos ad voluptatem illiciat, probro

ΦΙΛΩΝΟΣ

δεινὸς ψόγος τῆς ἡμῶν αὐτῶν ἀκρασίας. Ἀναγκαῖον μὲν γὰρ ἦν εἰς τὴν τοῦ ὅλου συμπλήρωσιν, ἵνα γένηται κόσμος ἐν ἑκάστῳ μέρει, φῦναι ζῴων ἰδέας ἁπάντων· οὐκ ἀναγκαῖον δὲ ἐπὶ τὴν τούτων ἀπόλαυσιν ὁρμῆσαι τὸ σοφίας συγγε- c
νέστατον χρῆμα τὸν ἄνθρωπον, μεταβαλόντα εἰς ἀγριότητα
70 θηρίων. Διὸ καὶ μέχρι νῦν, οἷς λόγος ἐγκρατείας, ἅπαξ ἁπάντων ἀπέχονται, λαχανώδει χλόῃ καὶ καρποῖς δένδρων προσοψήμασιν ἡδίστῃ ἀπολαύσει χρώμενοι. Τοῖς δὲ τὴν τῶν εἰρημένων θοίνην ἡγουμένοις εἶναι κατὰ φύσιν ἐπέστησαν διδάσκαλοι, σωφρονισταὶ, νομοθέται κατὰ πόλεις, οἷς ἐμέλησε τὴν ἀμετρίαν τῶν ἐπιθυμιῶν στεῖλαι, μὴ ἐπιτρέψασι
71 τὴν χρῆσιν ἀδεᾶ πᾶσι πάντων. Εἰ δὲ καὶ ῥόδα, καὶ κρόκος, d
καὶ ἡ ἄλλη τῶν ἀνθέων ποικιλία, πρὸς ὑγίειαν, οὐ πρὸς ἡδονὴν γέγονεν. Ἄπλετοι γὰρ τούτων αἱ δυνάμεις, καὶ καθ' αὐτὰς διὰ τῶν ὀσμῶν ὠφελοῦσιν, εὐωδίας πάντας ἀναπιμπλᾶσαι, καὶ πολὺ μᾶλλον ἐν ταῖς ἰατρικαῖς συνθέσεσι τῶν φαρμάκων. Ἔνια γὰρ ἀναμιχθέντα τὰς ἑαυτῶν δυνάμεις ἀριδηλοτέρας παρέχεται, καθάπερ εἰς ζῴου γένεσιν ἡ ἄρρενος

b 7. τῆς ἡμῶν] τῆς om. B.C.E.F.G.I. c 2. μεταβαλ.] μεταβαλλ. B.D.F.G. Mox om. μέχρι νῦν—εἰ δὲ καὶ B. 4. ἀπαξαπάντων D. 5. λαχανώδει] λαχανώδη C. 7. ἡγουμένοις] εὐωχουμένοις C.D.F.G. εἶναι κατὰ φύσιν om. C.F.G. 10. ἐπιτρέψασι] ἐπιτρέψαντες E.I. 11. εἰ δὲ] ἤδη δὲ Mangeius. d. ἀνθῶν] ἀνθέων B.C.F. 4. πάντας om. C.F.G. πάντα malit Mangeius. ἀναπίμπλασθαι D. 6. συνθέσεσι] ἐπιθέσεσι I.

esse non debet; sed potius in gravissimam intemperantiæ nostræ reprehensionem cedit. Prorsus enim ad universi perfectionem, ac singularum partium dignitatem necesse erat, uti omnis generis animantia nascerentur: at hominem illum, illum, inquam, affinem sapientiæ conjunctissimum; induta ferarum immanitate, has gulæ delicias tanta cupiditate venari,
70 necesse profecto non erat. Itaque, cum ii quibus temperantia cordi est, iis semel omnibus etiamnum sibi abstinendum statuunt, herbescentibus oleribus, arborumque pomis, obsoniorum loco, vitam suavissime tolerantes: tum vero qui animantium illarum esum naturæ consentaneum esse arbitrantur, adversus eos magistri, censores, ac legislatores singulis in urbibus constituti sunt, quorum muneris ac partium est vim cupiditatum immodicam coercere, nec liberum omnium omnibus usum promiscue con-
71 cedere. Postremo si rosæ, si crocus, si reliqua florum existit varietas, sanitatis utique caussa, non voluptatis existit. Vires enim infinitas habent, cumque per sese odoris, quo universa complent, suavitate fragrantiaque juvant, tum vero in conficiendis maxime remediis. Nonnulla enim sunt, quæ inter sese permixta vim suam illustrius certiusque probant, ut ex

καὶ θήλεος μίξις, ἰδίᾳ ἑκατέρου μὴ πεφυκότος ποιεῖν, ἅπερ ΦΙΛΩΝΟΣ
72 ἄμφω συνελθόντα. Ταῦτ' ἀναγκαίως λέλεκται πρὸς τὰ λοιπὰ τῶν ὑπό σου διαπορηθέντων, ἱκανὴν πίστιν ἐργάσασθαι δυνάμενα τοῖς μὴ φιλονείκως ἔχουσι περὶ τοῦ τὸν Θεὸν τῶν p. 400 ἀνθρωπίνων ἐπιμελεῖσθαι πραγμάτων.

73 Ταῦτα μὲν οὖν ἐκ τοῦ δηλωθέντος ἐπετεμόμην ἀνδρὸς, ὁμοῦ μὲν δεικνὺς οἷοι καὶ κατὰ τοὺς νέους γεγόνασιν Ἑβραίων παῖδες, ὁμοῦ δὲ καὶ τὰ τῆς εὐσεβοῦς αὐτῶν περὶ Θεοῦ διαλήψεως, τά τε τῆς πρὸς τοὺς προπάτορας ὁμοφωνίας ἐμφανῆ καθιστάς. Ἤδη δ' ἐντεῦθεν μεταβῆναι καιρὸς καὶ ἐπὶ τὰς τῶν ἔξωθεν περὶ τῶν αὐτῶν μαρτυρίας.

ΒΙΒΛΙΟΝ ΕΝΝΑΤΟΝ.

1 Καὶ τῆς τῶν παρ' Ἑβραίοις λογίων ἀποδοχῆς οὐκ p. 403

d 11. ταῦτ'] ταῦτα δ' B. πρὸς τὰ λοιπὰ—ἔχουσι] πίστιν ἐργάσασθαι δυνάμενα ἱκανὴν B.C.F.G. et ni fallor D.
p. 400. μὴ φιλονείκως ἔχουσι om. D. 3. μὲν οὖν] δ' B.C.D.F.G. Mox ἀνδρὸς ἐπετεμόμην E.I. 4. ὁμοῦ μὲν om. B.C.D.F.G. οἷοι καὶ] οἳ καὶ νῦν γεγόνασιν B.C.F.G. et ni fallor D. 5. δὲ καὶ] δὲ om. B.C.F.G. Tum κατὰ τῆς εὐ. B. 6. εὐσεβοῦς] ἀκριβοῦς F.G. διαλήψεως] ὑπολήψεως B.C.D.F.G. 7. τά τε τῆς] καὶ τῆς B.C.D.F.G. 8. ἐμφανῆ καθιστὰς om. B.C.D.F.G. δ' ἐντεῦθεν] κἀντεῦθεν B. 9. ἔξωθεν] ἔξω ἀνδρῶν C.F.G. τέλος τοῦ ὀγδόου τόμου C.G.
p. 403. b 2. Ἑβραίοις] Ἑβραίων B.

maris ac fœminæ conjunctione intelligitur, cum seorsim efficere nullo
72 modo possint, quod ambo simul efficiunt. Atque hæc sunt, quibus reliquis dubitationibus tuis faciendum satis putavimus: ejusmodi certe quidem, ut iis adductus quisquis minime contentiosus esse voluerit, res humanas divina providentia regi fateatur.

73 Hæc ego summatim ex Philone contraxi, quibus ostenderem, non modo quales ex recentiorum testimonio Hebræorum posteri fuerint, sed etiam quam pie de Deo ac religiose senserint, quamque ipsis bene cum majoribus præclareque convenerit. Nunc tempus est, ut ad exterorum scriptorum de iisdem testimonia transeamus.

LIBER NONUS.

1 Quandoquidem certis jam rationibus demonstratum a nobis est,

ἀσυλλογίστως ἡμῖν κρίσει δὲ καὶ διανοίᾳ ἐξητασμένῃ
γεγενημένης, ἐπειδὴ συνῶπται τὰ τῆς ἀποδείξεως, ὥρα
συνιδεῖν ὡς καὶ αὐτῶν Ἑλλήνων οἱ μάλιστα διαφανεῖς
τῶν καθ' Ἑβραίους οὐκ ἄπειροι γεγόνασι πραγμάτων, ἀλλ'
οἱ μὲν καὶ τῷ βίῳ τῶν ἀνδρῶν ταῖς τε παρ' αὐτοῖς φερο- c
μέναις ἱστορικαῖς διηγήσεσιν ἀλήθειαν ἐπεμαρτύρησαν,
οἱ δὲ καὶ τῆς δογματικῆς ὁμοίως αὐτοῖς ἐφήψαντο θεο-
2 λογίας. Πρῶτα δὲ τὰ πρῶτα παραθήσομαι, δεικνὺς ὅσοι
τῶν Ἑλληνικῶν συγγραφέων ἐπ' ὀνόματος Ἰουδαίων τε
καὶ Ἑβραίων τῆς τε παρ' αὐτοῖς τὸ παλαιὸν ἀσκουμένης
φιλοσοφίας καὶ τῆς ἀνέκαθεν τῶν προπατόρων ἱστορίας
3 ἐμνημόνευσαν. Ἄρξεται δέ μοι ὁ λόγος ἀπὸ τοῦ τῶν
ἀνδρῶν βίου, ὡς ἂν μάθοις ὅτι μὴ ἐκτὸς σώφρονος λο-
γισμοῦ τὴν τῶν δηλουμένων φιλοσοφίαν τῶν Ἑλλήνων d
4 προτετιμήκαμεν. Ἀκόλουθα γοῦν τοῖς προεξητασμένοις

b 5. δὲ καὶ] δὲ om. F.G. 6. γεγενημένης] γεγυμνασμένης B. συνῶπται] συνῆπται C. 7. ὥρα] ὅρα D.E. 8. τῶν Ἑλλ.] τῶν om. C.D.E.F.G.I. c 2. διηγήσεσιν] διοικήσεσιν C.F.G. 3. αὐτοῖς om. B. 5. δεικνὺς—προτετιμήκαμεν om. B. 9. ἱστορίας] αὐτῶν ἱστορίας C.F.G. ἱστορίαις D. 10. ὁ ante λόγος om. F. 11. μάθοις] Rectius μάθῃς, et mox τῆς Ἑλλήνων. Hoc nescio an præbeat D, certe F. d. γοῦν τοῖς] γοῦν om. B.

Hebræorum oracula non leviter a nobis ac temere, sed matura et accurata judicii æstimatione suscepta fuisse ac probata: tempus est, ut nunc quoque videamus, ne scriptores quidem Græcorum celeberrimos, rerum Hebræarum imperitos fuisse; sed alios testimonio suo, cum ipsorum vitæ genus institutumque laudavisse, tum historiarum quæ apud eosdem circumferri solent veritati suffragatos esse, alios
2 non absimilem etiam theologiæ rationem doctrinamque sectatos. Ac
primum quidem, id quod hoc in genere præcipuum est oculis subjiciam, quam multi e Græcis scriptoribus Judæorum Hebræorumque nominatim, quæque jam olim apud eos viguit philosophiæ, ejusque adeo quæ usque a prisco majorum suorum ævo ducitur historiæ
3 meminerint. Ordiemur autem ab ipsis populi moribus, ut intelligas
prudenti nos sanoque consilio eorum disciplinam Græcorum philo-
4 sophiæ prætulisse. Testes enimvero sunt non sacræ duntaxat He-

ἐν τῷ πρὸ τούτου συγγράμματι καὶ τὰ τῆς ἠθικῆς αὐτοῖς ἐπιτελεῖσθαι συνασκήσεως, οὐ μόνον αἱ παρ' αὐτοῖς ἱεραὶ βίβλοι, ἀλλὰ καὶ τῶν παρ' Ἕλλησι φιλοσόφων οἱ μάλιστα διαφανεῖς καὶ καθ' ἡμᾶς βεβοημένοι μαρτυροῦσι. Καὶ δὴ λαβὼν ἀνάγνωθι τὰ Θεοφράστου ἐν τοῖς Πορφυρίῳ γραφεῖσι Περὶ τῆς τῶν ἐμψύχων ἀποχῆς κείμενα τοῦτον τὸν τρόπον·

2 Καίτοι Σύρων μὲν Ἰουδαῖοι διὰ τὴν ἐξ ἀρχῆς θυσίαν ἔτι καὶ νῦν, φησὶν ὁ Θεόφραστος, ζωοθυτούντων, εἰ τὸν αὐτὸν ἡμᾶς τρόπον τις κελεύοι θύειν, ἀποσταίημεν ἂν τῆς πράξεως. b Οὐ γὰρ ἑστιώμενοι τῶν τυθέντων, ὁλοκαυτοῦντες δὲ ταῦτα νυκτὸς, καὶ κατ' αὐτῶν πολὺ μέλι καὶ οἶνον λείβοντες, ἀνήλισκον τὴν θυσίαν θᾶττον, ἵνα τοῦ δεινοῦ μηδ' ὁ πανόπτης γένοιτο θεατής. Καὶ τοῦτο δρῶσι νηστεύοντες τὰς ἀνὰ μέσον τούτων ἡμέρας· κατὰ δὲ πάντα τοῦτον τὸν χρόνον, ἅτε φιλόσοφοι τὸ γένος ὄντες, περὶ τοῦ θείου μὲν ἀλλήλοις λα-

p. 404

ΠΟΡΦΥΡΙΟΥ

d 3. αὐτοῖς—συνασκήσεως] αὐτῶν—ἀσκήσεως B. 7. δὴ λαβὼν etc.] δὴ φησὶ Θεόφραστος B. ult. ἀποχῆς] ἀποχῆς ταῦτα B. Mox post τρόπον addunt B.C.F. Θεοφράστου περὶ Ἰουδαίων.

p. 404. 6. διότι om. B.C.D.E.F.G.I. post καίτοι cum Porph. 7. φησὶν ὁ om. B. 8. ζωοθυτοῦσιν] ζωοθυτούντων B.C.D.E.F.G.I. ζωοθυτοῦντες mss. quidam Porphyrii. 9. τις κελεύοι] κελεύει B. κελεύοιεν Porph. b 2. θυθέντων F.

bræorum literæ, sed etiam ii, qui et Græcos inter summopere floruerunt, hodieque maxime celebrantur philosophi, consentaneam iis quæ superiore libro diligenter expendimus eos vitæ morumque rationem tenere. Age igitur, ea mihi perlege, quæ Porphyrius in suos *De rerum animatarum abstinentia* libros hunc in modum ex Theophrasto retulit:

Porphyr. de Abst. lib. II. c. 26.

2 Et sane, inquit, si ex Syris Judæi, qui, quod institutum apud eos jam inde ab initio hoc sacrificii genus fuerit, etiamnum (inquit Theophrastus) animantes immolant, eodem, quo ipsi, ritu sacra facere nos juberent, nunquam eo nos adduci pateremur. Nec enim cæsis victimis ad cibum uti solent, sed integras ac solidas, et multo melle vinoque perfusas noctu flammis absumere, ac totum sacrificium paucis aliquot horis peragere, utique ne oculus ille omnia pervidens indignum facinus aspiciat. Deinde vero, diebus illi singulis, dum ejusmodi sacris operam dant, cum jejunio sese dedunt, tum de divino Numine, uti homines ipso genere philosophos

ΠΟΡΦΥΡΙΟΥ
λοῦσι, τῆς δὲ νυκτὸς τῶν ἄστρων ποιοῦνται τὴν θεωρίαν,
βλέποντες εἰς αὐτὰ, καὶ διὰ τῶν εὐχῶν θεοκλυτοῦντες. Κα-
τήρξαντο γὰρ οὗτοι πρῶτοι τῶν τε λοιπῶν ζῴων, καὶ σφῶν c
αὐτῶν, ἀνάγκῃ καὶ οὐκ ἐπιθυμίᾳ τοῦτο πράξαντες.

3 Καὶ ἐν τῷ τετάρτῳ δὲ τῆς αὐτῆς ὑποθέσεως τοιαῦτα
περὶ τῶν αὐτῶν ἱστορεῖ ὁ Πορφύριος· d

Εἰσὶ τοίνυν οἱ Ἐσσαῖοι, Ἰουδαῖοι μὲν τὸ γένος, φιλάλ-
2 ληλοι δὲ καὶ τῶν ἄλλων πλέον. Οὗτοι τὰς μὲν ἡδονὰς ὡς
κακίαν ἀποστρέφονται, τὴν δὲ ἐγκράτειαν καὶ τὸ μὴ τοῖς
πάθεσιν ὑποπίπτειν ἀρετὴν ὑπολαμβάνουσι. Καὶ γάμου
μὲν αὐτοῖς ὑπεροψία, τοὺς δ' ἀλλοτρίους παῖδας ἐκλαμβά-
νοντες ἁπαλοὺς ἔτι πρὸς τὰ μαθήματα, συγγενεῖς ἡγοῦνται,
καὶ τοῖς ἤθεσιν ἑαυτῶν ἐντυποῦσι· τὸν μὲν γάμον καὶ τὴν ἐξ
αὐτοῦ διαδοχὴν οὐκ ἀναιροῦντες, τὰς δὲ τῶν γυναικῶν ἀσελ-
3 γείας φυλαττόμενοι· καταφρονηταὶ δὲ πλούτου, καὶ θαυμά-
σιον παρ' αὐτοῖς τὸ κοινωνικὸν, οὐδ' ἔστιν εὑρεῖν κτήσει τινὰ p. 405

b 11. εὐχῶν] νυκτῶν B. Mox θεοκλυτ. B.C.F.G. non θεοκλητ. 12. τῶν τε] τῶνδε F. c 6. ἱστορεῖ ὁ Πορφ.] ὁ Πορφ. ἱστ. B.C.F.G. Tum addunt C.F.G. Πορφυρίου περὶ τῆς τὸ παλαιὸν παρὰ Ἰουδαίοις διαλαμψάσης φιλοσοφίας. d. εἰσὶ τοίνυν—παρατεθέντα ταῦτα om. B. 6. αὐτοῖς] παρ' αὐτοῖς C.F.G. 8. ἁπαλοὺς] ἁπλοὺς D. 10. τὸν γε γάμον] τοῦ μὲν γάμου D. τὸν μὲν γ. F.G.I.

decet, toto illo tempore sermones inter se miscent: noctu autem sidera defixis in cœlum oculis contemplantur, suas interea preces atque vota Deo nuncupantes. Hi enim non cæteras tantum animantes, sed etiam semetipsos primi omnium offerre cœperunt, necessitate profecto, non cupiditate ducti.

3 Jam vero, quæ sequuntur, in quarto laudati operis libro, de iisdem
IV. c. 11. Porphyrius ipse commemorat:

Essæi, inquit ille, gente quidem Judæi sunt, at mutuo sese amore præ
2 cæteris omnibus complectuntur. A voluptatibus abhorrent tanquam a scelere; continentiam et cupiditatum victoriam virtutis loco ducunt. Nuptiis abstinent illi quidem, sed alienos liberos, dum ad capessendas disciplinas molles adhuc et flexibiles ii sunt, educandos suscipiunt, quos perinde ut propinquos et affines habent, suisque moribus instituunt. Atque hoc non eo consilio faciunt, quasi matrimonium, quæque ipsius beneficio propagatur, sobolem ac posteritatem exterminatam velint, sed ut
3 procacem mulierum petulantiam effugiant. Divitias aspernantur, admirabili omnium inter sese rerum communione conjuncti, usque adeo, ut

ΠΟΡΦΥΡΙΟΥ

παρ' αὐτοῖς ὑπερέχοντα. Νόμος γὰρ τοὺς εἰς τὴν αἵρεσιν
εἰσιόντας δημεύειν τῷ τάγματι τὴν οὐσίαν, ὥστε ἐν ἅπασι
μήτε πενίας ταπεινότητα φαίνεσθαι, μήθ' ὑπεροχὴν πλούτου·
[238] τῶν δὲ ἑκάστου κτημάτων ἀναμεμιγμένων, μίαν ὥσπερ ἀδελ-
4 φοῖς ἅπασιν οὐσίαν εἶναι. Κηλῖδα δὲ ὑπολαμβάνουσι τοὔ-
λαιον, κἂν ἀλειφθῇ τις ἄκων, σμήχεται τὸ σῶμα· τὸ γὰρ
5 αὐχμεῖν ἐν καλῷ τίθενται, λευχειμονεῖν τε διὰ παντός. Χει-
ροτονητοὶ δὲ τῶν κοινῶν οἱ ἐπιμεληταὶ, καὶ ἀδιαίρετοι πρὸς
ἁπάντων εἰς τὰς χρείας ἕκαστοι. Μία δ' οὐκ ἔστιν αὐτῶν b
πόλις, ἀλλ' ἐν ἑκάστῃ μετοικοῦσι πολλοὶ, καὶ τοῖς ἑτέρωθεν
ἥκουσιν αἱρετισταῖς ἀναπέπταται τὰ παρ' ἀλλήλοις· καὶ
οἱ πρῶτον ἰδόντες εἰσίασιν ὡς πρὸς συνήθεις· διὸ οὐδὲν ἐπι-
6 κομιζόμενοι ἀποδημοῦσιν ἀναλωμάτων ἕνεκα. Οὔτε δὲ ἐσθῆτα
οὔτε ὑποδήματα ἀμείβουσι, πρὶν διαρραγῆναι πρότερον παν-
τάπασιν, ἢ δαπανηθῆναι τῷ χρόνῳ. Οὐδ' ἀγοράζουσί τι,
οὐδὲ πωλοῦσιν, ἀλλὰ τῷ χρῄζοντι διδοὺς ἕκαστος τὰ παρ'
ἑαυτῷ, τὸ παρ' ἐκείνου χρήσιμον ἀντικομίζεται· καὶ χωρὶς c

p. 405. 2. τοὺς εἰς] τοὺς om. F. 5. πλούτου· τῶν] πλουτούντων C.F.G. μὴ δ' D.F.G. pro μήτ'. 9. σμήχεται] σμήσεται I. 11. οἱ om. F.G. b. ἑαυτοῦ D.

neminem qui alterum opulentia superet invenire possis. Lex enim apud
illos est, ut qui hoc vitæ institutum profiteri velint, suas ii facultates ad
communes sodalitatis universæ rationes conferant, atque ita nec in quo-
quam egestatis humilitas, nec immodica vis opum ac fortunarum appareat:
sed potius confusis ac permixtis singulorum inter se rebus, una omnium
4 sit tanquam fratrum eademque possessio. Labis instar oleum habent, quo
si unctus forte quispiam invitus fuerit, corpus ei diligenter abstergitur:
squalorem enim, non secus ac perpetuum candidæ vestis usum, honori
5 ducunt. Communibus suffragiis rei communis procuratores creant, nul-
loque omnium discrimine, quod cuique opus est æqualiter suppetit. Non
in singulari quadam civitate universi, sed in singulis plurimi domicilium
collocant, ac procul advenientibus ejusdem sectæ sociis invicem ac mutuo
patent omnia, atque ut quisque primus eos aspexerit, illis obviam continuo
perinde ac notis et familiaribus procedunt. Quare dum iter ac profectio-
nem aliquam suscipiunt, nihil secum expensarum caussa deferre solent.
6 Imo nec vestem calceosve mutant, donec priora vel discissa omnino fuerint,
vel ipsa vetustate detrita: nec emunt inter se, venduntve quicquam, sed
alter cum altero suis de rebus, prout opus habet, accommodat, vicissim-

ΠΟΡΦΥΡΙΟΥ

τῆς ἀντιδόσεως ἀκώλυτος ἡ μετάληψις αὐτοῖς παρ' ὧν ἂν ἐθέλωσι.

7 Πρός γε μὴν τὸ θεῖον ἰδίως εὐσεβεῖς. Πρὶν γὰρ ἀνασχεῖν τὸν ἥλιον οὐδὲν φθέγγονται τῶν βεβήλων, πατρίους δέ τινας εἰς αὐτὸν εὐχὰς, ὥσπερ ἱκετεύοντες ἀνατεῖλαι. Μετὰ ταῦτα πρὸς ἃς ἕκαστοι τέχνας ἴσασιν ὑπὸ τῶν ἐπιμελητῶν ἀφεῖνται, καὶ μέχρι πέμπτης ὥρας ἐργασάμενοι συντόνως, ἔπειτα πάλιν εἰς ἓν ἀθροίζονται χωρίον, ζωσάμενοί τε σκεπάσμασιν οὕτως ἀπολούονται τὸ σῶμα ψυχροῖς ὕδασι· καὶ μετὰ ταύ- d
την τὴν ἁγνείαν εἰς ἴδιον οἴκημα συνίασιν, ἐν ᾧ μηδενὶ τῶν
8 ἑτεροδόξων ἐπιτέτραπται παρελθεῖν. Αὐτοὶ δὲ καθαροὶ καθάπερ εἰς ἅγιόν τι τέμενος παραγίνονται τὸ δειπνητήριον. Καθεσθέντων δὲ μεθ' ἡσυχίας, ὁ μὲν σιτοποιὸς ἐν τάξει παρατίθησιν ἄρτους, ὁ δὲ μάγειρος ἓν ἀγγεῖον ἐξ ἑνὸς ἐδέσματος ἑκάστῳ. Προκατεύχεται δὲ ὁ ἱερεὺς τῆς τροφῆς, ἁγνῆς οὔσης καὶ καθαρᾶς, καὶ γεύσασθαί τινα πρὶν τῆς εὐχῆς ἀθέμιτον· ἀριστοποιησαμένοις δὲ ἐπεύχεται πάλιν, ἀρχόμενοί τε

c. μεταδόσεως] Dedi ἀντιδόσεως postulante sensu cum Porph. et Joseph. 2. ἀκωλύτως] ἀκώλυτος D. 3. πρός τε μὴν C. 10. πάλην] πάλιν C.F.G. 11. σκεπάσμασιν] λινοῖς addunt Jos. et Porph. Hic σκέπασι. d 3. ἐν ᾧ] ἔνθα Porph. Jos. 4. καθαροὶ καθάπερ] καθάπερ καθαροὶ C.F.G. qui mox om. τί. 6. καθεσθέντων] καθισάντων Porph. Jos. 9. προκατάρχεται] προκατεύχεται C.F.G. cum Porph. προκατέχεται E. 10. καὶ γεύσ.] καὶ om. F. 11. τινα] τινὰς C.G. 12. μᾶλλον] πάλιν F.G. Porph. cum Vigero in marg. Dedi etiam ex Porph. ἀριστοποιησαμένοις pro ἀριστοποιησάμενος.

que ab eo quod sibi usui sit accipit: qui tametsi nihil mutuo rependant, eos tamen a quibuscunque velint accipere nihil vetat.

c. 12.

7 Jam vero singulari erga Numen pietate ac religione sunt. Nihil enim profani ante solis ortum loquuntur, sed patrias quasdam ei preces nuncupant, quasi ut illucescat obsecrando. Tum ad eam quam quisque novit artem præsidum sese jussu conferunt, in qua perpetuo et continenti ad quintam horam labore versati, eundem simul in locum denuo conveniunt, ac lineis præcincti frigida corpus abluunt, moxque ab ea lustratione, proprium in domicilium, quo alterius sectæ nemini pedem inferre licet, una omnes confluunt, atque ab omni labe puri, non aliter in cœnaculo quam in
8 delubro sanctiore versantur. His ergo placide ac quiete sedentibus, panes a pistore, unumque singulis ex eodem cibo ferculum a coquo non sine decoro et ordine apponitur. Cibos autem puros licet ac mundos, certis precibus sacerdos ante consecrat, (nec ulli nisi præmissa precatione quicquam gustare fas est:) idemque confecto prandio cunctis iterum bene

9 καὶ παυόμενοι γεραίρουσι τὸν Θεόν. Ἔπειθ' ὡς ἱερὰς κατα- p. 406
θέμενοι τὰς ἐσθῆτας, πάλιν ἐπ' ἔργα τρέπονται μέχρι δείλης. ΠΟΡΦΥΡΙΟΥ
Δειπνοῦσι δ' ὑποστρέψαντες ὁμοίως, συγκαθεζομένων τῶν
10 ξένων, εἰ τύχοιεν αὐτοῖς παρόντες. Οὔτε δὲ κραυγή ποτε
τὸν οἶκον οὔτε θόρυβος μιαίνει· τὰς δὲ λαλιὰς ἐν τάξει πα-
ραχωροῦσιν ἀλλήλοις, καὶ τοῖς ἔξωθεν ὡς μυστήριόν τι φρι-
κτὸν ἡ τῶν ἔνδον σιωπὴ καταφαίνεται. Τούτου δὲ αἴτιον ἡ
διηνεκὴς νῆψις, καὶ τὸ μετρεῖσθαι παρ' αὐτοῖς τροφὴν καὶ
ποτὸν μέχρι κόρου.
11 Τοῖς δὲ ζηλοῦσι τὴν αἵρεσιν οὐκ εὐθὺς ἡ πάροδος, ἀλλ' ἐπ' b
ἐνιαυτὸν ἔξω μένοντι τὴν αὐτὴν ὑποτίθενται δίαιταν, ἀξινά-
ριόν τε καὶ περίζωμα δόντες, καὶ λευκὴν ἐσθῆτα. Ἐπειδὰν
δὲ ἐν τούτῳ τῷ χρόνῳ πεῖραν ἐγκρατείας δῷ, πρόσεισι μὲν
ἔγγιον τῇ διαίτῃ, καὶ καθαρώτερον τῶν πρὸς ἁγνείαν ὑδάτων
12 μεταλαμβάνει. Παραλαμβάνεται δὲ εἰς τὰς συμβιώσεις οὐ-
δέπω· μετὰ γὰρ τὴν τῆς καρτερίας ἐπίδειξιν δυσὶν ἄλλοις
ἔτεσι τὸ ἦθος δοκιμάζεται, καὶ φανεὶς ἄξιος, οὕτως εἰς τὸν c
13 ὅμιλον ἐγκρίνεται. Πρὶν δὲ τῆς κοινῆς ἅψασθαι τροφῆς,
ὅρκους αὐτοῖς ὄμνυσι φρικώδεις· πρῶτον μὲν εὐσεβήσειν τὸ

p. 406. 2. ἔργα] ἔργοις C. 4. οἱ τύχ.] εἰ τύχ. F.G. Porph. 11. εὐθὺς] εὐθεὶς C. b. μένοντι] μένοντες F. 6. καθαρώτερον] καθαρώτατον C.F.G. καθαρωτέρων Jos. 10. δοκιμάζεται] κομίζεται Porph.

precatur, sicque tam sub finem quam sub initium Deo cultum honoremque
9 persolvunt. Inde sacris quasi vestibus positis, rursum opus quisque suum
ad vesperam usque repetit, quo tempore cœnam eodem quo prandium ritu
10 sumunt, considentibus simul hospitibus, si qui forte advenerint. Cæterum
nullo unquam ædes aut clamore aut strepitu polluuntur, sed aliis alii
modeste atque ordine loquendi locum cedunt; adeoque omnibus qui foris
illuc adveniunt, horrendi instar mysterii eorum qui domus istius septis
continentur silentium est: cujus sane caussa est perpetua continensque
frugalitas, qua fit ut cibum atque potum justæ necessitatis lege metiantur.
11 Porro hujus in sectæ atque instituti societatem venire cupienti non con-
tinuo patet ingressus, sed ei foris annum integrum manenti genus idem
vitæ præscribunt, ac dolabellam, cingulum, vestemque candidam tradunt.
Qui postquam hoc temporis intervallo abstinentiæ temperantiæque suæ
documenta dedit, propius quidem ad instituti communionem accedit, ac
purioribus aquis una cum cæteris lustrari incipit, necdum tamen ad con-
12 victum admittitur. Nam post tolerantiæ probationem, aliis duobus annis
mores ejus explorant; quibus exactis, si dignus habeatur, in consortium
13 tandem accipiunt. Priusquam tamen communem cibum attingat, hor- c. 13.
rendi sese illis jurisjurandi formula obstringit: in primis quidem, pium se

ΠΟΡΦΥΡΙΟΥ

θεῖον, ἔπειτα τὰ πρὸς ἀνθρώπους δίκαια φυλάξειν, καὶ μήτε κατὰ γνώμην βλάψειν τινὰ μήτ' ἐξ ἐπιτάγματος, μισήσειν δ' ἀεὶ τοὺς ἀδίκους, καὶ συναδικεῖσθαι τοῖς δικαίοις· τὸ πιστὸν πᾶσι μὲν παρέξειν, μάλιστα δὲ τοῖς κρατοῦσιν, οὐ γὰρ δίχα Θεοῦ περιγίγνεσθαί τινι τὸ ἄρχειν. Κἂν αὐτὸς ἄρχῃ, μηδεπώποτε ἐξυβρίσαι εἰς τὴν ἐξουσίαν, μηδὲ ἐσθῆτι, ἤ τινι πλέονι κόσμῳ τοὺς ὑποτεταγμένους ὑπερλαμπρύνεσθαι· τὴν d
ἀλήθειαν ἀγαπᾶν ἀεί, καὶ τοὺς ψευδομένους προβάλλεσθαι· χεῖρας κλοπῆς καὶ ψυχὴν ἀνοσίου κέρδους καθαρὰν φυλάξειν,
[239] καὶ μήτε κρύψειν τι τοὺς αἱρετιστάς, μήθ' ἑτέροις αὐτῶν τι
14 μηνύσειν, κἂν μέχρι θανάτου τις βιάζηται. Πρὸς δὲ τούτοις ὄμνυσι, μηδενὶ μὲν μεταδοῦναι τῶν δογμάτων ἑτέρως ἢ ὡς αὐτὸς παρέλαβεν, ἀφέξεσθαι δὲ λῃστείας, καὶ συντηρήσειν ὁμοίως τά τε τῆς αἱρέσεως αὐτῶν βιβλία, καὶ τὰ τῶν ἀγγέ-
15 λων ὀνόματα. Τοιοῦτοι μὲν οἱ ὅρκοι· οἱ δὲ ἁλόντες, καὶ ἐκβληθέντες, κακῷ μόρῳ φθείρονται. Τοῖς γὰρ ὅρκοις καὶ p. 407

c 5. βλάψειν] βλάψαι C.F.G. 6. δ' ἀεὶ τοὺς ἀδ.] δὲ τοὺς ἀδ. ἀεὶ C.F.G. 7. συναδικεῖσθαι] συναγωνίζεσθαι Porph. συναγωνιεῖσθαι Joseph. B. J. II. 8, 7. 8. κρατοῦσιν] κραταιοῦσιν F. 9. περιγίγνεσθαι] περιγίνεται C.F.G. 10. μηδεπώποτε ἐξυβρίσαι] μηδέποτε ὑβρίσαι C.F.G. 11. μηδὲ] μὴ Porph. 12. πλέονι] πλείονι C.F.G. d 2. ἀποβάλλεσθαι] προβάλλεσθαι E.I. Porph. ἐλέγχειν προβάλλεσθαι Jos. 10. βιβλία] βυβλία E. 12. καὶ ἐκβλ.] καὶ om. F.

ac religiosum adversus Numen futurum; deinde illibata humanæ societatis jura servaturum, adeoque nec sponte, nec alterius jussu in cujusquam injuriam adductum iri; sed potius et injuriosos omnes odio habiturum, et illatas probis injurias conjuncta voluntate subiturum. Addit præterea, constantis et integræ cum erga cæteros omnes, tum præsertim erga præsides se fidei fore, quod nulli sine Dei numine imperandi jus obveniat. Quod si forte sibi aliquando deferetur, daturum se operam ne potestati suæ labem inurat, nec in veste corporisve cultu præ aliis quibus imperabit eximium quicquam aut splendidum habiturum. Ad hæc, veritatis amorem ac studium, hominumque mendacium fugam, manus a furto, animum ab iniquo quæstu purum ac sincerum, plana suis apertaque omnia, apud alienos vero altum, quodque ne præsenti quidem necis timori cedat, eorum
14 de rebus silentium pollicetur. Ad extremum fore, uti nec aliter, quam acceperit, cum aliis sectæ suæ dogmata communicet, et ab omni latrocinio caveat, institutique sui libros et angelorum nomina pari diligentia studio-
15 que conservet. Hujusmodi ergo est sacramenti formula. Quisquis autem gravioris criminis peractus ab iis, ac propterea ejectus fuerit, eum male perire necesse est. Nam et jurejurando moribusque constrictus, ne

ΠΟΡΦΥΡΙΟΥ

τοῖς ἔθεσιν ἐνδεδεμένοι, οὐδὲ τῆς παρὰ τοῖς ἄλλοις τροφῆς
δύνανται μεταλαμβάνειν, ποηφαγοῦντες δὲ καὶ λιμῷ διαφθει-
16 ρόμενοι ἀπόλλυνται. Διὸ δὴ πολλοὺς ἐλεήσαντες ἐν ταῖς
ἐσχάταις ἀνάγκαις ἀνέλαβον, ἱκανὴν τιμωρίαν δεδωκέναι νομί-
ζοντες ἐπὶ τοῖς ἁμαρτήμασι τὴν μέχρι θανάτου βάσανον.
17 Τὴν δὲ σκαλίδα διδόασι τοῖς μέλλουσιν αἱρετισταῖς, ἐπεὶ
καὶ αὐτοὶ ἄλλως οὐ θακεύουσιν ἢ βόθρον ὀρύξαντες εἰς βάθος b
ποδιαῖον, περικαλύψαντες θοιματίῳ, ὡς μὴ ταῖς αὐγαῖς ἐνυ-
18 βρίζειν τοῦ Θεοῦ. Τοσαύτη δ' ἐστὶν αὐτῶν ἡ λιτότης ἡ
περὶ τὴν δίαιταν καὶ ἡ ὀλιγότης, ὡς ἐν τῇ ἑβδομάδι μὴ
δεῖσθαι κενώσεως, ἣν τηρεῖν εἰώθασιν εἰς ὕμνους τῷ Θεῷ καὶ
19 εἰς ἀνάπαυσιν. Ἐκ δὲ τῆς ἀσκήσεως ταύτης τοσαύτην πε-
ποίηνται καρτερίαν, ὡς στρεβλούμενοι καὶ λυγιζόμενοι καὶ
καόμενοι καὶ διὰ πάντων ὁδεύοντες τῶν βασανιστηρίων ὀργά-
νων ἵν' ἢ βλασφημήσωσι τὸν νομοθέτην, ἢ φάγωσί τι τῶν
20 ἀσυνήθων, οὐδέτερον ὑπομένειν. Διέδειξαν δὲ τοῦτο ἐν τῷ c
πρὸς Ῥωμαίους πολέμῳ. Ἐπεὶ οὐδὲ κολακεῦσαι τοὺς αἰκιζο-
μένους, ἢ δακρῦσαι ὑπομένουσι, μειδιῶντες δὲ ἐν ταῖς ἀλγη-

p. 407. 2. ἐνδεδεμένοι] ἐνδεδεγμένοι D. 4. τὸ σῶμα διαφθειρόμενοι Porph. 5. δύο D. 6. ἀνέλαβον] ἔλαβον Porph. b. θοιματίων] θοιματίῳ C.F.I. Porph. τὸ ἱμάτιον Jos. 8. λογιζόμενοι] λυγιζόμενοι G.I. Jos. Porph. καὶ λογ. om. F. c 2. δ' οὐ] οὐδὲ D.F.G.I. Porph.

aliorum quidem escis uti potest, sed herbis aliquandiu victitando, misere
16 tandem fame contabescit. Quare multos ipsi miseratione commoti, supremam ad necessitatem adductos, receperunt, rati videlicet, graves satis peccatorum suorum pœnas ab iis esse hoc ad mortem usque cruciatu persolutas.

17 Cæterum ligonem suis illi sectatoribus hac de caussa tradunt, quod ipsimet non nisi in fovea, quam humi pedis altitudine foderint, considere soleant, idque veste obvoluti, ne Dei splendori ac radiis injuriam faciant.
18 Et quidem tanta ipsorum est in victu frugalitas, atque parcimonia, ut ne septimana quidem integra egerendi sit ulla necessitas. Quam sibi abstinentiæ legem dixere, partim ut ad hymnos Deo concinendos aptiores sint,
19 partim ut faciliori utantur somno. Atque hoc perpetuo vivendi genere, eo tolerantiæ pervenerunt, ut nec equuleo, fidibusve torti atque distracti, nec flammis usti, nec cæteris omnibus cruciatuum machinis tentati, ut vel legum suarum auctori maledicant, vel inusitatum cibum attingant, alter-
20 utrum ab sese unquam extorqueri patiantur. Cujus rei singulare Romano bello specimen ac documentum dedere. Nunquam enim ipsis exprimi aut erga tortores mollior ac blandior ulla vox, aut oculis lacrymula potuit: sed

ΠΟΡΦΥΡΙΟΥ

δόσι, καὶ κατειρωνευόμενοι τῶν τὰς βασάνους προσφερόντων, εὔθυμοι τὰς ψυχὰς ἠφίεσαν, ὡς πάλιν κομιούμενοι· καὶ γὰρ ἔρρωται παρ' αὐτοῖς ἥδε ἡ δόξα, φθαρτὰ μὲν εἶναι τὰ σώματα, καὶ τὴν ὕλην οὐ μόνιμον αὐτῶν, τὰς δὲ ψυχὰς ἀθανάτους ἀεὶ διαμένειν· καὶ συμπλέκεσθαι μὲν ἐκ τοῦ λεπτοτάτου φοιτώσας αἰθέρος, ῥύμῃ φυσικῇ κατασπωμένας, ἐπειδὰν δ' ἀνεθῶσι τῶν κατὰ σάρκα δεσμῶν, οἷον δὴ μακρᾶς δουλείας d
21 ἀπηλλαγμένας, τότε χαίρειν καὶ μετεώρους φέρεσθαι. Ἀπὸ δὴ τῆς τοιαύτης διαίτης, καὶ τῆς πρὸς ἀλήθειαν καὶ τὴν εὐσέβειαν ἀσκήσεως, εἰκότως ἐν αὐτοῖς πολλοί, οἳ καὶ τὰ μέλλοντα προγινώσκουσιν, ὡς ἂν βίβλοις ἱεραῖς καὶ διαφόροις ἁγνείαις καὶ προφητῶν ἀποφθέγμασιν ἐμπαιδοτριβούμενοι· σπάνιον δέ, εἰ ἐν ταῖς προαγορεύσεσιν ἀστοχοῦσι.

22 Ταῦτα μὲν ὁ Πορφύριος, ἐκ παλαιῶν, ὡς εἰκός, ἀναγνωσμάτων, τῇ τῶν δηλουμένων ἀνδρῶν εὐσεβείᾳ τε ὁμοῦ καὶ φιλοσοφίᾳ ἐν τῷ τετάρτῳ συγγράμματι τῶν σπουδασθέντων αὐτῷ Περὶ τῆς τῶν ἐμψύχων Ἀποχῆς, ἐμαρτύρησεν.

c 8. τὰ σώματα] τὰ om. F. 11. φοιτώσας] φοιτήσας F. d 8. ἐμπαιδ.] ἐμπεδ. D. δὲ εἰ] μέντοι Porph. εἰ om. F.

in mediis tormentorum doloribus subridendo, carnifices ipsos dicteriis salibusque mordebant, animumque suum, tanquam denuo recepturi, placide atque hilariter emittebant. Quippe, apud ipsos enim constans hæc sententia obtinuit, corpora quidem interitui esse obnoxia, nec solida ex materia perennique consistere; animos tamen immortales vitam agere sempiternam, qui tametsi tenuissimo ac subtilissimo ex æthere, naturæ quodam impetu detracti, corporibus ad tempus illigentur, eorum aliquando tamen vinculis expediti, sic tanquam servitute diuturna liberati, exultent dein-
21 ceps, ac sublimes ferantur. Hoc igitur ex instituto, et continenti veritatis pietatisque studio, mirum profecto non est existere plurimos, rerum etiam futurarum scientia præditos, quippe qui a pueritia cum sacris literis, tum variis lustrationibus, prophetarumque dictis assidue ac diligenter informentur: ut raro admodum suis in prædictionibus illos a vero aberrare contingat.

22 Hæc Porphyrius, ex antiquis, ut facile quivis intelligit, hausta monimentis, de Essæorum partim religione, partim philosophandi ratione, in quarto sui De rerum animatarum Abstinentia operis libro testatus est.

4 Ἑκαταῖος δὲ ὁ Ἀβδηρίτης, ἀνὴρ φιλόσοφος ἅμα καὶ p. 408
περὶ τὰς πράξεις ἱκανώτατος, ἰδίαν βίβλον ἀναθεὶς τῇ ΙΩΣΗΠΟΥ
περὶ Ἰουδαίων ἱστορίᾳ, πλεῖστα περὶ αὐτῶν διέξεισιν,
ἀφ᾽ ὧν ἐπὶ τοῦ παρόντος ἀρκέσει παρατεθέντα ταῦτα·
2 Ἔστι γὰρ τῶν Ἰουδαίων τὰ πολλὰ ὀχυρώματα κατὰ τὴν b
χώραν καὶ κῶμαι· μία δὲ ἡ Ἱερουσαλὴμ πόλις ὀχυρὰ, πεν-
τήκοντα μάλιστα σταδίων τὴν περίμετρον, ἣν οἰκοῦσι μὲν
ἀνθρώπων περὶ δώδεκα μυριάδες, καλοῦσι δ᾽ αὐτὴν Ἱεροσό-
3 λυμα. Ἐνταῦθα δέ ἐστιν κατὰ μέσον μάλιστα τῆς πόλεως
περίβολος λίθινος, μῆκος ὡς πεντάπλεθρος, εὖρος δὲ πηχέων
ἑκατὸν, ἔχων διπλᾶς πύλας, ἐν ᾧ βωμός ἐστι τετράγωνος,
ἀτμήτων συλλέκτων ἀργῶν λίθων οὕτω συγκείμενος· πλευρὰν
4 δὲ ἑκάστην εἴκοσι πηχέων, ὕψος δωδεκάπηχυ. Καὶ παρ᾽ αὐ-
τὸν οἴκημα μέγα, οὗ βωμός ἐστι καὶ λυχνίον· ἀμφότερα c
χρυσᾶ, δύο τάλαντα τὴν ὁλκήν· ἐπὶ δὲ τούτων φῶς ἐστὶν
[240] ἀναπόσβεστον καὶ τὰς νύκτας καὶ τὰς ἡμέρας. Ἄγαλμα δ᾽

p. 408. 3. Ἑκαταῖος] Joseph. c. Apion. I. 22. p. 455. ἀβδηρίτης] ἀβδειρ. C.F.G. Infra addunt B.C.G. Ἑκαταίου περὶ Ἰούδαιων. 5. ἰδίαν βίβλον] Ἀλεξάνδρῳ τῷ βασιλεῖ συνακμάσας καὶ Πτολεμαίῳ τῷ Λάγου συγγενόμενος, οὐ παρεργῶς ἀλλὰ περὶ αὐτῶν Ἰουδαίων συγγέγραφε βιβλίον, ἐξ οὗ βούλομαι κεφαλαιωδῶς ἐπιδραμεῖν ἔνια τῶν εἰρημένων Joseph. b 2. ἡ ἱερουσαλὴμ om. B.C.F. 3. τὴν περ.] τὴν om. F. 8. ἔχων—πηχέων om. C. 11. δωδεκάπηχυ] δεκάπηχυ B.C.F.G. c. λυχνίον] λυχνία C.F.G. 3. καὶ τὰς νύκτας] νυκτὸς C.F.G. qui om. τὰς ante ἡμέρας.

4 Hecatæus autem Abderita, vir non modo philosophus, sed etiam
rebus gerendis aptissimus, Judæorum historiæ singulare ac proprium
volumen consecravit, ubi cum de illis multa commemoret, tum hæc
in præsentiarum ex eo retulisse sufficiet. Joseph. c. Apion. I. 22. p. 456.
2 Multæ quidem, apud Judæos, inquit, arces, pagique multi tota passim
regione sunt: una vero munita in primis civitas, Hierusalem, cujus am-
bitus non pauciorum quam quinquaginta stadiorum est. Hanc circiter
viginti supra centum incolunt hominum millia, Hierosolymam vulgo no-
3 minant. Cujus in meditullio septum ædis lapideæ cernitur, quinque fere
jugerum longitudinis, latitudinis cubitorum centum. Portæ omnes geminæ
sunt. Ibidem altare quadratum, ex integrorum et impolitorum lapidum
coagmentatione conflatum, cujus latera singula viginti cubitorum sunt,
4 altitudo vero duodecim. Præter hoc altare, ingens tabernaculum est, quo
et ara et candelabrum continetur, utrumque aureum, ponderis talentorum
duum: ubi lumen inextinctum dies noctesque continenter ardet. Nullum

ΙΩΣΗΠΟΥ

οὐκ ἔστιν οὐδ' ἀνάθημα τοπαράπαν, οὐδὲ φύτευμα παντελῶς,
5 οὐδὲ οἷον ἀλσῶδες, ἤ τι τοιοῦτον. Διατρίβουσι δ' ἐν αὐτῷ καὶ τὰς νύκτας καὶ τὰς ἡμέρας ἱερεῖς, ἁγνείας τινὰς ἁγνεύοντες, καὶ τοπαράπαν οἶνον οὐ πίνοντες ἐν τῷ ἱερῷ.

6 Ταῦτα εἰπὼν, ὑποβὰς,

Ὅτι καὶ Ἀλεξάνδρῳ τῷ βασιλεῖ συνεστρατεύσαντο, καὶ μετὰ ταῦτα τοῖς διαδόχοις αὐτοῦ, μεμαρτύρηκεν. Οἷς δ' d αὐτὸς παρατυχεῖν φησὶν ὑπ' ἀνδρὸς Ἰουδαίου κατὰ τὴν στρατείαν γενομένοις, τοῦτο παραθήσομαι. Λέγει δὲ οὕτως·

7 Ἐμοῦ γοῦν ἐπὶ τὴν ἐρυθρὰν θάλασσαν βαδίζοντος, συνηκολούθει τις μετὰ τῶν ἄλλων τῶν παραπεμπόντων ἡμᾶς ἱππέων Ἰουδαίων ὄνομα Μοσόμαμος, ἄνθρωπος ἱκανὸς κατὰ ψυχὴν, εὔρωστος, καὶ τοξότης ὑπὸ δὴ πάντων ὁμολογούμενος
8 καὶ τῶν Ἑλλήνων καὶ τῶν βαρβάρων ἄριστος. Οὗτος οὖν ὁ ἄνθρωπος, βαδιζόντων πολλῶν κατὰ τὴν ὁδὸν, καὶ μάντεώς τινος ὀρνιθευομένου, καὶ πάντας ἐπισχεῖν ἀξιοῦντος, ἠρώτησε διὰ τί προσμένουσι· δείξαντος δὲ τοῦ μάντεως αὐτῷ τὸν ὄρ-

c 6. τοιοῦτον] τοιοῦτο C.F.G. Paullo infra καὶ νυκτὸς καὶ ἡμέρας B. 9. ὑπόβας] ἐπάγη B. qui om. καὶ μετὰ ταῦτα—παραθήσομαι. d 2. στρατείαν] στρατιὰν C.G. 4. γοῦν om. E. ἐπὶ] κατὰ C. 5. συνηκολούθει] συνηκολούθη C. 7. Μοσόμαμος] μοσόναμος F. 8. τὴν ψυχὴν] τὴν om. B.C.F.G. Jos. 9. καὶ τῶν Ἑλλ. καὶ τῶν βαρ.] καὶ τῶν βαρ. καὶ τῶν Ἑλ. B. 13. ἠρώτησε] ἤρετο B.

ibi simulacrum, donarium omnino nullum, adeoque nec planta, nec lucus,
5 nec aliud quicquam ejusmodi. Sacerdotes in eo noctu pariter atque interdiu assidui, certis quibusdam expiationibus dant operam, quos in templo vinum gustare nefas.

6 Tum progressus ulterius,

Eosdem sub Alexandro ejusque successoribus militasse testatur. Mihi vero, quod in ista expeditione, hominis sese Judæi factum, oculis aspexisse commemorat, ipsismet illius verbis referre satis erit:

7 Pergenti, inquit, mihi ad mare rubrum, cum cæteris equitibus Judæis, quos itineris duces habebamus, unus eorum aliquis comitabatur, Mosomamus nomine, vir cum animi magnitudine ac solertia, tum corporis robore non vulgari, idemque sagittarius omnium tam Græcorum quam
8 barbarorum confessione peritissimus. Is, cum ad vatis cujusdam auguria captantis vocem, universa eorum qui tum iter illud agebant, multitudo repente subsisteret, rogat quorsum id fieret. Ostendit avem augur, simul-

νιθα, καὶ φήσαντος, ἐὰν μὲν αὐτοῦ μένῃ, προσμένειν συμφέρει p. 409
πᾶσιν, ἐὰν δὲ ἀναστὰς εἰς τοὔμπροσθεν πέτηται, προάγειν, ΙΩΣΗ-
ἐὰν δὲ εἰς τὸ ὄπισθεν, ἀναχωρεῖν αὖθις· σιωπήσας καὶ ἑλκύσας ΠΟΥ
9 τὸ τόξον ἔβαλε, καὶ τὸν ὄρνιθα πατάξας ἀπέκτεινεν. Ἀγα-
νακτούντων δὲ τοῦ μάντεως καί τινων ἄλλων, καὶ καταρωμέ-
νων αὐτῷ, Τί μαίνεσθε, ἔφη, κακοδαίμονες; Εἶτα τὸν ὄρνιθα
λαβὼν εἰς τὰς χεῖρας, Πῶς γὰρ οὗτος, ἔφη, τὴν αὐτοῦ σωτη-
ρίαν οὐ προϊδὼν, περὶ τῆς ἡμετέρας πορείας ἡμῖν ἄν τι ὑγιὲς
ἀνήγγειλεν; Εἰ γὰρ ἠδύνατο προγινώσκειν τὸ μέλλον, εἰς
τὸν τόπον τοῦτον οὐκ ἂν ἦλθε, φοβούμενος μὴ τοξεύσας b
αὐτὸν ἀποκτείνῃ Μοσόμαμος ὁ Ἰουδαῖος. Καὶ ταῦτα μὲν
ὁ Ἑκαταῖος.

5 Κλέαρχος δὲ ὁ Περιπατητικὸς φιλόσοφος ἐν τῷ πρώτῳ
Περὶ ὕπνου βιβλίῳ Ἀριστοτέλει τῷ φιλοσόφῳ τοιόνδε τινὰ c
περὶ Ἰουδαίων ἀνατίθησι λόγον, ὧδε πρὸς ῥῆμα γράφων·

2 Ἀλλὰ τὰ μὲν πολλὰ μακρὸν ἂν εἴη λέγειν· ὅσα δὲ ἔχει τῶν ἐκείνου θαυμασιότητά τινα καὶ φιλοσοφίαν ὁμοίως διελ-

ult. προσμένειν] προσμένειεν συμφέρον C. προσμένειεν συμφέρειν F.G. p. 409. 2. τὸ ὄπισθεν] τοὔπισθεν B.C.F.G. 4. ἔβαλε] ἔβαλλε C.G. τὸν τόξον E. 5. ἀγανακτοῦντος δὲ] ἀγανακτούντων τε B.C.F.G. ἀγανακτούντων D.I. Jos. 8. οὗτος ἔφη] ἔφη οὗτος B.C.F.G. 9. προειδὼς] προϊδὼν B.C.F.G. Jos. 10. ἡμῖν πορείας] πορείας ἡμῖν B.C. F.G.I. Mox ἀπήγγελλεν Jos. 11. ἐδύνατο] ἠδύνατο B.C. Jos. b. Μοσόμαμος] Μεσόμαμος F. 2. καὶ ταῦτα etc.] ταῦτα καὶ ὁ Ἑκαταῖος καὶ Κλέ. B.C. ταῦτα καὶ ὁ F.G. καὶ ὁ Ἑκα. καὶ Κλέ. I. c 3. ὧδε πρὸς ῥῆμα γράφων] Κλεάρχου περὶ Ἰουδαίων B. Κλεάρχου περὶ τῶν αὐτῶν C.F.G. 5. θαυμασιότητα] θαυμασιότατα C.F.

que respondet, si quidem ibi resideret, omnibus etiam ut eo in loco hærerent expedire; sin protinus volando contenderet, porro pergerent ipsi quoque; sin denique retro, retro similiter illi redirent. Judæus nihil
9 contra, sed intento arcu jaculatur, avemque configit. Hic indignante graviter augure, aliisque nonnullis, ipsique una diras imprecantibus, Quid, inquit, miseri usque adeo furitis? simulque in manus sumpta volucre, Istane potuit, obsecro, quæ vitæ ipsa suæ providere non potuit, sani quicquam de suscepto a nobis itinere prænuntiare? Enimvero si prænosse futurum potuisset, nunquam utique hunc in locum venisset, ne Mosomami Judæi sagittis confixa moreretur. Hactenus Hecatæus.

5 At Clearchus Peripateticus philosophus, libro primo De somno, Aristote- Joseph.
lem de Judæis in eum qui sequitur modum loquentem inducit. c. Apion.
2 Longum esset, inquit, narrare quamplurima: sed quicquid hoc in ho- I. 22.
mine admirationis aliquid habere, ac philosophum sapere videbitur, eodem p. 454.

ΙΩΣΗΠΟΥ

θεῖν οὐ χεῖρον. Σαφῶς δ' ἴσθι, εἶπεν, Ὑπεροχίδη, θαυμα-
3 στὸν [καὶ] ὀνείροις ἴσα σοι δόξω λέγειν. Καὶ ὁ Ὑπεροχί-
δης εὐλαβούμενος, Δι' αὐτὸ γάρ, ἔφη, τοῦτο καὶ ζητοῦμεν
4 ἀκοῦσαι πάντες. Οὐκοῦν, εἶπεν ὁ Ἀριστοτέλης, κατὰ τὸ
τῶν ῥητορικῶν παράγγελμα, γένος αὐτοῦ πρῶτον διέλθωμεν, d
5 ἵνα μὴ ἀπειθῶμεν τοῖς τῶν ἀπαγγελιῶν διδασκάλοις. Λέγε,
6 εἶπεν ὁ Ὑπεροχίδης, οὕτως εἰ δοκεῖ. Κεῖνος τοίνυν τὸ μὲν
γένος ἦν Ἰουδαῖος, ἐκ τῆς Κοίλης Συρίας. Οὗτοι δ' εἰσὶν
ἀπόγονοι τῶν ἐν Ἰνδοῖς φιλοσόφων· καλοῦνται δέ, ὥς φασιν,
οἱ φιλόσοφοι παρὰ μὲν Ἰνδοῖς Καλανοί, παρὰ δὲ Σύροις
Ἰουδαῖοι, τοὔνομα λαβόντες ἀπὸ τοῦ τόπου. Προσαγο-
ρεύεται γὰρ ὃν κατοικοῦσι τόπον, Ἰουδαία· τὸ δὲ τῆς πό-
λεως αὐτῶν ὄνομα πάνυ σκολιόν ἐστιν, Ἱερουσαλὴμ γὰρ αὐ-
7 τὴν καλοῦσιν. Οὗτος οὖν ὁ ἄνθρωπος ἐπιξενούμενός τε πολλοῖς,
κἀκ τῶν ἄνω τόπων εἰς τοὺς ἐπιθαλαττίους ὑποκαταβαίνων,
Ἑλληνικὸς ἦν οὐ τῇ διαλέκτῳ μόνον, ἀλλὰ καὶ τῇ ψυχῇ.
Καὶ τότε διατριβόντων ἡμῶν περὶ τὴν Ἀσίαν, παραβαλὼν p. 410

c 6. δ' ἴσθι εἶπεν] δ' εἶπεν B. Tum θαυμαστὸν καὶ om. B. καὶ om. C. D.E.F.G. θαυμαστόν τι ὄν. Jos. 9. τοῦτο καὶ] καὶ om. B. 11. γένος] τὸ γένος Jos. d 2. λέγε—Συρίας om. B. 5. καὶ καλοῦνται φασὶν οἱ φιλόσοφοι παρὰ μὲν Ἰνδοῖς Καλανοί B.C. φιλοσόφων—Ἰνδοῖς propter homœoteleuton ex edd. exciderunt, ubi ἀπόγονοι τῶν ἐν Ἰνδοῖς Καλανῶν, παρὰ δὲ Σύροις etc. 6. Ἰουδαίων—λαβόντων] ἰουδαῖοι—λαβόντες B.C.D.F.G.I. 8. ὃν κατ. τ.] τόπος ὃν κατοικοῦσι S. 9. αὐτῶν] αὐτὸν B. 11. τοῖς] τε B.C.F.G. Jos. Supra οὖν om. F. 13. ὑποκαταβ.] καταβ. C.

p. 410. περὶ] ἐπὶ B.C.F.

modo persequi nihilo minus utile fuerit. Tibi autem, Hyperochida, res
plane admirabiles, somniorumque persimiles referri abs me, sat scio, vide-
3 buntur. Cui Hyperochides verecunde, Quippe, hæc enim inquit, ipsa
4 caussa nobis omnibus audiendi appetitum ciet. Ergo, subjicit Aristoteles,
genus hominis, ut præcipiunt rhetores, in primis aperiamus, ne scilicet
5 non auditi a nobis esse narrationum magistri videantur. Tu vero, uti
6 libuerit, inquit Hyperochides. Ille ergo gente Judæus erat, ex Cœlesy-
ria. Hi porro a Calanis Indiæ populis originem ducunt, qui apud Syros
Judæorum nomen a loco accepere. Quæ enim ab iis regio incolitur, Ju-
dæam vulgo nominant. Urbis autem ipsorum nomen, tortuosum admo-
7 dum et impeditum est, Hierusalem enim vocatur. Is, cum a plerisque
hospitio exciperetur, et a superioribus partibus ad maritima loca descende-
ret, non sermone tantum, sed etiam animo Græcus erat. Nobis ergo tum
in Asia forte degentibus accidit, ut eadem appulsus ad loca, nobiscum ali-

ΙΩΣΗΠΟΥ

εἰς τοὺς αὐτοὺς τόπους ἄνθρωπος, ἐντυγχάνει ἡμῖν τε καί τισιν ἑτέροις τῶν σχολαστικῶν, πειρώμενος αὐτῶν τῆς σοφίας. Ὡς δὲ πολλοῖς τῶν ἐν παιδείᾳ συνῳκείωτο, παρεδίδου τι μᾶλλον ὧν εἶχε. Ταῦτα καὶ ὁ Κλέαρχος.

6 Τούτου δὲ μνημονεύει καὶ ὁ ἡμέτερος Κλήμης ἐν τῷ b πρώτῳ Στρωματεῖ, δι᾽ ὧν ταῦτά φησι·

ΚΛΗΜΕΝΤΟΣ

2 Κλέαρχος δ᾽ ὁ Περιπατητικὸς εἰδέναι φησί τινα Ἰουδαῖον, ὃς Ἀριστοτέλει συνεγένετο.

Καὶ μεθ᾽ ἕτερα ἐπιλέγει,

3 Νουμᾶς δὲ ὁ Ῥωμαίων βασιλεὺς Πυθαγόρειος μὲν ἦν, ἐκ c
[241] δὲ τῶν Μωσέως ὠφεληθεὶς διεκώλυσεν ἀνθρωποειδῆ καὶ ζῳόμορφον εἰκόνα θεοῦ Ῥωμαίους κτίζειν. Ἐν γοῦν ἑκατὸν καὶ ἑβδομήκοντα τοῖς πρώτοις ἔτεσι, ναοὺς οἰκοδομούμενοι, ἄγαλ-
4 μα οὐδὲν οὔτε πλαστὸν οὔτε μὴν γραπτὸν ἐποιήσαντο. Ἐπεδείκνυτο γὰρ αὐτοῖς ὁ Νουμᾶς δι᾽ ἐπικρύψεως, ὡς οὐκ ἐφάψασθαι τοῦ βελτίστου δυνατὸν γλώττῃ, μόνῳ δὲ τῷ νῷ.

a 2. ἄνθρωπος] ἐν οἷς ἦμεν Jos. 5. πολλοῖς] πολλῶν B. qui mox συνωκεῖτο. 6. ταῦτα etc.] τοῦ δὲ Κλεάνθου τούτου μέμνηται καὶ ὁ ἡμέτερος Κλήμης B. b 6. ταῦτά φησι] ταῦτα om. B. Tum addunt B.C. Κλήμεντος περὶ τῶν μνημονευθέντων (τῶν C. τοῦ F.G.) Ἰουδαίων ἔθνους B.C.F.G. c 2. διεκώλυσεν] Fere ex Plutarcho I. p. 65 b. 4. πρώτοις] πρώην B. 7. δι᾽ ἀποκρύψεως—φιλοσοφοῦσι om. B. 8. ἀποκρύψ.] ἐπικρ. C.F.G. cum Clemente. Mox γλώσσῃ C.F.G.

quandiu, simulque cum aliis quibusdam philosophiæ studiosis versaretur, et eorum in sapientiæ partem ac societatem veniret. Atque, ut cum plurimis doctrina præstantibus familiariter vixerat, plus aliquanto quam acciperet nobiscum ille communicabat. Ita Clearchus.

Clem. Al. Strom. I. c. 15. p. 358. ed. Potter.

6 Atque istius etiam Clemens noster libro primo Stromatum his verbis meminit:

2 Clearchus Peripateticus, inquit, Judæum quendam, qui cum Aristotele versatus est, abs sese visum esse commemorat.

Idemque pluribus, nonnullis interjectis.

3 Numa, inquit, Romanorum rex, ut Pythagoreus fuerit, hunc saltem Mosis e scriptis fructum cepit, uti Romanos a dei simulacro vel in hominis, vel in cujusquam animantis speciem fingendo averterit. Adeoque totis saltem primis septuaginta supra centum annis, templa quidem ædificarunt, sed nullam omnino neque fictam, neque pictam imaginem intule-
4 runt. Hoc enim ipsos occulte Numa docuit, non lingua, sed mente sola id quod optimum est attingi posse.

Ἔτι πρὸς τούτοις ἑξῆς ὑποβὰς, τάδε φησί·

ΚΛΗΜΕΝΤΟΣ

5 Φανερώτατα δὲ Μεγασθένης ὁ συγγραφεὺς, ὁ Σελεύκῳ τῷ Νικάνορι συμβεβιωκὼς, ἐν τῇ τρίτῃ τῶν Ἰνδικῶν ὧδε γράφει· d
Ἅπαντα μέντοι τὰ περὶ φύσεως εἰρημένα παρὰ τοῖς ἀρχαίοις λέγεται καὶ παρὰ τοῖς ἔξω τῆς Ἑλλάδος φιλοσοφοῦσι· τὰ μὲν παρὰ Ἰνδοῖς ὑπὸ τῶν Βραχμάνων, τὰ δὲ ἐν Συρίᾳ ὑπὸ τῶν καλουμένων Ἰουδαίων.

6 Ἔτι πρὸς τούτοις ὁ Κλήμης Ἀριστοβούλου τοῦ Περιπατητικοῦ καὶ Νουμηνίου τοῦ Πυθαγορείου μνημονεύει, λέγων·

Ἀριστόβουλος δὲ ἐν τῷ πρώτῳ τῶν πρὸς τὸν Φιλομήτορα κατὰ λέξιν γράφει·

Κατηκολούθηκε δὲ ὁ Πλάτων τῇ καθ' ἡμᾶς νομοθεσίᾳ, καὶ φανερός ἐστι περιειργασμένος ἕκαστα τῶν ἐν αὐτῇ λεγομέ-
7 νων. Διηρμήνευται δὲ πρὸ Δημητρίου ὑφ' ἑτέρων, πρὸ τῆς Ἀλεξάνδρου καὶ Περσῶν ἐπικρατήσεως, τά τε κατὰ τὴν

c 9. Νικάνορι] Νικάτορι Clem. d 4. τὰ μὲν] καὶ τὰ μὲν B. Tum τοῖς om. B.C.F.G. ante Ἰνδοῖς cum Clem. 5. Συρίᾳ] τῇ Σ. Clem. 7. ὁ Κλήμης om. B. 8. Πυθαγορείου] Πυθαγορίου E. Hanc scripturam sæpe agnoscunt libri Clementis. Vide Valesium ad Sozomen. I. c. 12. 9. μνημονεύει] μέμνηται B. δὲ ἐν—πρὸς τὸν] δὲ et τὸν om. B. 10. τῶν πρὸς] τῶν om. F. 11. Κατηκολούθηκε κ.τ.λ.] Eadem infra p. 663 d. 12. ἡμᾶς] ἡμῶν F.G. 13. περιειργασμένος] περιεργασάμενος Clem. ult. ἑτέρων] ἑτέρου Clem. πρὸ τῆς] πρὸ τοῦ C.

Quibus hæc etiam deinceps adjungit :

p. 360. 5 Megasthenis autem, inquit, historici, qui cum Seleuco Nicanore vixit, libro De rebus Indicis tertio, clarissimus hic locus est. Quicquid ab antiquis de natura dictum est, eorum etiam qui extra Græciam philosophantur, ut Brachmanum apud Indos, et Judæorum in Syria, sermone celebratur.

c. 22. p. 410. 6 Ac rursus idem Clemens Aristobulum Peripateticum, et Numenium Pythagoreum laudat his verbis :

Aristobulus in primo eorum quos ad Philometora scripsit, hunc in modum loquitur :

Plato ipse quoque reipublicæ nostræ leges et instituta sectatus est, a quo partes eorum singulas curiose ac diligenter inspectas et excussas esse
7 constat. Nam ab alio quodam ante Demetrium, adeoque ante Alexandri ac Persarum imperium conversa Græce fuerant, non ea modo, quæ dum

ἐξ Αἰγύπτου ἐξαγωγὴν τῶν Ἑβραίων τῶν ἡμετέρων πολι- p. 411 τῶν, καὶ ἡ τῶν γεγονότων ἁπάντων αὐτοῖς ἐπιφάνεια, καὶ κράτησις τῆς χώρας, καὶ τῆς ὅλης νομοθεσίας ἐπεξήγησις.

ΚΛΗΜΕΝΤΟΣ

8 Ὥστε εὔδηλον εἶναι τὸν προειρημένον φιλόσοφον εἰληφέναι πολλά· γέγονε γὰρ πολυμαθής· καθὼς καὶ Πυθαγόρας πολλὰ τῶν παρ' ἡμῖν μετενέγκας εἰς τὴν ἑαυτοῦ δογματοποιίαν.

9 Νουμήνιος δὲ ὁ Πυθαγορικὸς φιλόσοφος ἄντικρυς γράφει· Τί γάρ ἐστι Πλάτων, ἢ Μωσῆς ἀττικίζων;

Ταῦτα ὁ Κλήμης.

7 Καὶ αὐτοῦ δὲ τοῦ Πυθαγορικοῦ φιλοσόφου, τοῦ Νου- b μηνίου λέγω, ἀπὸ τοῦ πρώτου Περὶ τἀγαθοῦ τάδε παραθήσομαι·

ΝΟΥΜΗΝΙΟΥ

Εἰς δὲ τοῦτο δεήσει εἰπόντα, καὶ σημηνάμενον ταῖς μαρ- c τυρίαις ταῖς Πλάτωνος, ἀναχωρήσασθαι καὶ ξυνδήσασθαι τοῖς λόγοις τοῦ Πυθαγόρου· ἐπικαλέσασθαι δὲ τὰ ἔθνη τὰ εὐδοκιμοῦντα, προσφερόμενον αὐτῶν τὰς τελετὰς, καὶ τὰ

d. 411. ἐξαγωγὴν] ἐπαγωγὴν E. 4. ὥστε—δογματοποιίαν om. B. 7. μετενεγκὼν] μετενέγκας C.F.G. Clem. et Euseb. infra p. 664 a 11. 9. φιλόσοφος om. B. qui statim ἀντικρύ. 11. ταῦτα] Ante h. v. addit B. οὐ ἀπὸ τοῦ πρώτου περὶ τἀγαθοῦ λόγου· qui etiam post παραθήσομαι addit, Νουμηνίου τοῦ Πυθαγορικοῦ φιλοσόφου περὶ Ἰουδαίων, sic et G. c. εἰς δὲ] εἰ δὲ B. Mox ταῖς Πλάτωνος D.E. pro τοῦ Πλ. 4. τὰ ἔθνη τὰ εὐδ.] τὰ εὐδ. ἔθνη B.

ex Ægypto Hebræi cives nostri educerentur, sed etiam quæcunque illis singularem ad famam insignia contigerunt, tum quemadmodum ea regione
8 potiti sint, adeoque legis universa complexio. Quare nemini dubium esse potest, quin multa inde laudatus philosophus excerpserit: plurimarum enim rerum scientia floruit, quemadmodum et Pythagoras, qui et ipse permulta nostris e legibus in sectæ suæ præcepta traduxit.

9 Quod autem Numenium philosophum Pythagoricum attinet, ipsissima hæc verba habet, Quid enim aliud Plato est, quam Moses Attica lingua loquens.

Atque ista Clemens.

7 Libet autem ex primo ejusdem Numenii De Bono hunc præterea locum subjicere:

Qui hanc, inquit, in disputationem ingressus, Platonis eam testimoniis obsignarit, eandem ab ipso quoque superiorem ad ætatem redeunte, cum ipsius Pythagoræ verbis præceptisque copulari oportebit. Gentes ei præterea celeberrimæ appellandæ erunt, singularumque sacrificia, ritus, insti-

ΝΟΥΜΗΝΙΟΥ

δόγματα, τάς τε ἱδρύσεις συντελουμένας Πλάτωνι ὁμολογουμένως, ὁπόσας Βραχμᾶνες καὶ Ἰουδαῖοι καὶ Μάγοι καὶ Αἰγύπτιοι διέθεντο.

Ταῦτα μὲν οὖν περὶ τῶνδε.

8 Καὶ ἐν τῇ τρίτῃ δὲ βίβλῳ Μωσέως ὁ αὐτὸς τάδε d
λέγων μνημονεύει·

Τὰ δ' ἑξῆς Ἰαννῆς καὶ Ἰαμβρῆς Αἰγύπτιοι ἱερογραμματεῖς, ἄνδρες οὐδενὸς ἥττους μαγεῦσαι κριθέντες εἶναι, ἐπὶ
2 Ἰουδαίων ἐξελαυνομένων ἐξ Αἰγύπτου. Μουσαίῳ γοῦν τῷ Ἰουδαίων ἐξηγησαμένῳ, ἀνδρὶ γενομένῳ Θεῷ εὔξασθαι δυνατωτάτῳ, οἱ παραστῆναι ἀξιωθέντες ὑπὸ τοῦ πλήθους τοῦ τῶν Αἰγυπτίων οὗτοι ἦσαν, τῶν τε συμφορῶν ἃς ὁ Μουσαῖος ἐπῆγε τῇ Αἰγύπτῳ, τὰς νεανικωτάτας αὐτῶν ἐπιλύεσθαι ὤφθησαν δυνατοί.

3 Διὰ δὴ τούτων ὁ Νουμήνιος καὶ τοῖς ὑπὸ Μωσέως p. 412
ἐπιτελεσθεῖσι παραδόξοις θαύμασι καὶ αὐτῷ δὲ ὡς θεοφιλεῖ γενομένῳ μαρτυρεῖ.

c 6. ἱδρύσεις] ἰδέας B. 9. ταῦτα—τῶνδε om. B. d 3. ὁ αὐτὸς —μνημονεύει] τάδε φησι. Τοῦ αὐτοῦ περὶ Μωσέως καὶ Ἰουδαίων B. τοῦ αὐτοῦ π. Μ. ὁμοῦ καὶ περὶ Ἰουδ. C.F.G. 10. τοῦ τῶν] τοῦ om. C. F.G.

p. 412. 2. τελεσθεῖσι F.G.

tuta, quæ cum Platonicis omnino consentiunt, proferenda, quotquot a Brachmanis, Judæis, Magis, Ægyptiis sancita sunt.

Hæc ille.

8 Qui rursus libro tertio, Mosis mentionem his verbis facit:

Deinceps vero, inquit, Jannes et Iambres, scribæ rerum sacrarum Ægyptii, quo tempore Ægypti finibus ejecti Judæi sunt, claruere, viri
2 omnium judicio rerum magicarum scientia nemini concedentes. Quippe ambo quidem communi Ægyptiorum consensu delecti sunt, qui Musæo duci Judæorum, cujus apud Deum potentissimæ preces erant, sese opponerent, adeoque gravissimas quasque calamitates a Musæo in Ægyptum invectas omnium in oculis dissolvere ac dissipare potuerunt.

3 Quibus sane verbis Numenius, cum editorum a Mose miraculorum, tum divini erga ipsum amoris consignatam fidem ac testatam reliquit.

ΙΩΣΗΠΟΥ

9 Τοῦ δὲ Ἰουδαίων ἔθνους καὶ Χοίριλος ἀρχαῖος γενόμενος ποιητὴς μέμνηται, καὶ ὡς συνεστράτευσαν τῷ βασιλεῖ Ξέρξῃ b ἐπὶ τὴν Ἑλλάδα. Λέγει δὲ οὕτως·

Τῶν δ' ὄπιθεν διέβαινε γένος θαυμαστὸν ἰδέσθαι,
γλῶσσαν μὲν Φοίνισσαν ἀπὸ στομάτων ἀφιέντες,
ᾤκουν δ' ἐν Σολύμοις ὄρεσι, πλατέῃ παρὰ λίμνῃ,
αὐχμαλέοι κεφαλὰς, τροχοκουράδες· αὐτὰρ ὕπερθεν
ἵππων δαρτὰ πρόσωπ' ἐφόρουν ἐσκληκότα καπνῷ. c

[242] 2 Δῆλον δ' ἐστὶν ὅτι περὶ Ἰουδαίων αὐτῷ ταῦτ' εἴρητο, ἐκ τοῦ καὶ τὰ Ἱεροσόλυμα ἐν τοῖς παρ' Ἕλλησι Σολύμοις ὀνομαζομένοις ὄρεσι κεῖσθαι, πλησίον δὲ εἶναι τὴν Ἀσφαλτῖτιν λίμνην, πλατυτάτην οὖσαν κατὰ τὸν ποιητὴν, καὶ μείζονα πασῶν τῶν ἐν τῇ Συρίᾳ λιμνῶν.

Ταῦτα μὲν οὖν καὶ οὗτος.

10 Ὁ δὲ Πορφύριος ἐν τῷ πρώτῳ τῆς Ἐκ λογίων Φι- d λοσοφίας αὐτὸν εἰσάγει τὸν ἑαυτοῦ θεὸν τῷ Ἑβραίων γένει μετὰ τῶν ἄλλων τῶν ἐπὶ συνέσει βοωμένων ἐθνῶν

a 7. Χοίριλος] Χοίριλλος B.C.F.G. Qui mox Χοιρίλλου ποιητοῦ περὶ Ἰουδαίων. Desumpta sunt hæc ex Josepho c. Apion. I. 22. p. 454. Vide Nækium de Chœrilo c. iv. p. 139. seqq. b 3. ὄπιθεν] ὄπισθεν C.D.G. 5. μὲν om. D. 7. ᾤκουν] ὤκεον B.C.F.G.I. Mox ἱεροσολύμοις D.I. 9. αὐχ.] αἰχ. C.G. qui mox ἀτὰρ, hoc F. 11. δαρτὰ] δαοτὰ B. c 3. εἴρηται] εἴρητο D.E.I. 4. ὀνομαζομένοις ὄρεσι] ὄρ. ὀνομ. B.C.F.G. 6. λίμνην post οὖσαν B. qui pergit ὑπὲρ τὰς ἐν Συρίᾳ λίμνας· ὁ δὲ Πορφ. 7. Συρίᾳ] τῇ Σ. C.D.F.G.I.

9 Jam vero Chœrilus etiam poeta vetustissimus Judaicæ gentis meminit, ex qua permultos susceptæ a Xerxe rege adversum Græcos expeditionis socios fuisse testatur his verbis:

Trajicit inde hominum genus admirabile visu.
Phœnicum similis grandi sonat ore loquela,
Montibus in Solymis habitant, juxtaque paludem
Immensam: attonsum squallens caput obsidet horror.
Pro galeis, derepta ab equis, durataque fumo
Ora ferunt.

2 Ac Judæos quidem his ab eo verbis expressos ac designatos esse vel inde constat, quod et Hierosolyma in montibus iis quos Solymos Græci vocant sita sit, et prope ab Asphaltite palude absit, quæ, ut poeta loquitur, latissima est, omniumque Syriæ paludum maxima.

10 Porphyrius autem libro primo De oraculorum Philosophia, suum ipsius deum, Hebrææ gentis, una cum cæteris prudentiæ fama nobilibus clarisque populis, sapientiam testimonio suo laudantem inducit.

2 σοφίαν ἐπιμαρτυροῦντα. Λέγει δὲ ὁ παρ' αὐτῷ Ἀπόλλων δι' οὗ ἐκτίθεται χρησμοῦ τάδε. Ἐκκειμένων δὲ ἔτι περὶ τῶν θυσιῶν ἐπάγει, οἷς προσέχειν δεῖ, ἅτε μεστοῖς οὖσι πάσης θεοσοφίας·

ΠΟΡΦΥΡΙΟΥ

Αἰπεινὴ μὲν ὁδὸς μακάρων, τρηχεῖά τε πολλὸν,
χαλκοδέτοις τὰ πρῶτα διοιγομένη πυλεῶσιν·
ἀτραπιτοὶ δὲ ἔασιν ἀθέσφατοι ἐγγεγαυῖαι, p. 413
ἃς πρῶτοι μερόπων ἐπ' ἀπείρονα πρῆξιν ἔφηναν
οἱ τὸ καλὸν πίνοντες ὕδωρ Νειλώτιδος αἴης·
πολλὰς καὶ Φοίνικες ὁδοὺς μακάρων ἐδάησαν,
Ἀσσύριοι, Λυδοί τε, καὶ Ἑβραίων γένος ἀνδρῶν.

καὶ τὰ τούτοις ἀκόλουθα. Οἷς ὁ συγγραφεὺς ἐπιλέγει· b

3 Χαλκόδετος γὰρ ἡ πρὸς θεοὺς ὁδὸς, αἰπεινή τε καὶ τραχεῖα, ἧς πολλὰς ἀτραποὺς βάρβαροι μὲν ἐξεῦρον, Ἕλληνες δὲ ἐπλανήθησαν, οἱ δὲ κρατοῦντες ἤδη καὶ διέφθειραν. Τὴν δὲ εὕρεσιν Αἰγυπτίοις ὁ θεὸς ἐμαρτύρησε Φοίνιξί τε καὶ Χαλ-

d 7. αὐτῷ] αὐτῶν D.I. 8. τάδε] Addit B. ἐκ τῶν Πορφυρίου χρησμοὶ τοῦ Ἀπόλλωνος περὶ Ἑβραίων. et C.F.G. Χρ. τοῦ Ἀπ. περὶ Ἑβ. 10. μεστοῖς οὖσι πάσης] μετὰ πάσης B. 11. αἰπεινὴ] ἐπαινὴ D.E. ἐπεινὴ I. γὰρ] μὲν B.C.D.F.I. pen. χαλκοδέτοις] χαλκοῦ δὲ τοῖς D. Mox διοιγομένης D.

p. 413. ἔασσιν] ἔασιν B.F.G. qui om. ἐγγεγαυῖαι—ἔφηναν. ἔασιν—ἐγγαυῖαι D. b. καὶ τὰ τ. ἀκ. om. B. συγγ.] ὁ συγγ. C.D.E.F.G.I. Mox ὁ pro ἡ C.

2 Apollinis autem responsum illud est, qui ad prius edita de sacrificiis oracula, hæc deinceps adjungit, quibus tanquam omnis divinæ sapientiæ plenis diligentius attendendum esse præcipit.

Ardua, et innumeris divûm est via consita saxis.
Ac primum e valvis rigido stridentibus ære
Panditur: hinc cæci ambiguo discrimine calles,
Quos fructu immenso primi docuere nepotes,
Niliaco undantes potant qui gurgite lymphas:
Plurima quinetiam ad superas via cognita sedes
Phœnici, Assyrio, Lydo, Hebræoque colonis.

Et quæ sequuntur, quibus explicandis auctor ita subdit.

3 Nam quæ ad deos via ducit, æreis obstructa vinculis, arduaque simul et aspera est, cujus cum barbari calles semitasque plurimas invenerint, Græci tamen partim ab ea prorsus aberrarunt, partim eam cum jam tenerent, etiam depravarunt. Cæterum illius inventionem Ægyptiis, Phœnicibus, Chaldæis, (Assyrii enim illi sunt) Lydis, et Hebræis deus as-

ΠΟΡΦΥΡΙΟΥ

4 δαίοις, (Ἀσσύριοι γὰρ οὗτοι,) Λυδοῖς τε καὶ Ἑβραίοις. Ἔτι πρὸς τούτοις καὶ ἐν ἑτέρῳ χρησμῷ φησὶν ὁ Ἀπόλλων,

> Μοῦνοι Χαλδαῖοι σοφίαν λάχον, ἠδ' ἄρ' Ἑβραῖοι, c
> αὐτογένεθλον ἄνακτα σεβαζόμενοι Θεὸν ἁγνῶς.

5 Καὶ πάλιν ἐρωτηθεὶς, τίνι λόγῳ πολλοὺς λέγουσιν οὐρανοὺς, ἔχρησε τάδε,

> Εἷς ἐν παντὶ πέλει κόσμου κύκλος, ἀλλὰ σὺν ἑπτὰ
> ζώναισιν πεφόρηται εἰς ἀστερόεντα κέλευθα,
> ἃς δὴ Χαλδαῖοι καὶ ἀριζήλητοι Ἑβραῖοι
> οὐρανίας ὀνόμηναν, ἐς ἑβδόματον δρόμον ἕρπειν. d

6 Περὶ μὲν οὖν τῆς Ἰουδαίων τε καὶ Ἑβραίων προσηγορίας, τῆς τε παρ' αὐτοῖς πάλαι διαπρεπούσης εὐσεβείας τε καὶ φιλοσοφίας, ἐκκείσθω ταῦτα· περὶ δὲ τῆς πατρίου
7 αὐτῶν ἱστορίας θέα ὁπόσοι συνεφώνησαν. Μωσέως ἐν ταῖς περὶ τοῦ παντὸς ἀρχαιολογίαις κατακλυσμὸν ἱστορήσαντος, καὶ ὡς ὁ παρ' Ἑβραίοις ὀνομαζόμενος

b 9. ἔτι] ὅμοιοι ἔτι B. c 2. αὐτογένεθλον] Justinus Cohort. c. 11. Αὐτογένητον ἄνακτα σεβαζόμενοι θεὸν αὐτόν. Sed vide Demonst. III. p. 104 a. 5. τάδε] οὕτως C.F.G. 6. κόσμου] ἴσ. κόσμῳ Vigeri margo. 7. σὺν om. B. 8. πεφόρηται] περιφόρηται B.F.G. 10. ἃς δὴ] δὴ om. B. d 2. ὀνόμ.] ὠνόμ. B. Tum εἰς C.F.G. 4. Περὶ μὲν] Περὶ μὲν οὖν C.F.G. Hinc usque ad ταῦτα om. B. 9. ταῖς τοῦ] ταῖς περὶ τοῦ C.D.F.G.I.

4 signandam esse testatur. Præterea in altero quodam oraculo idem Apollo sic fatur,

> Chaldæo Hebræoque unis sapientia cessit,
> Qui casto æternum venerantur Numen honore.

5 Idemque consultus, quo sensu cœlestes orbes multos esse dicerent, ita respondit,

> Unicus in toto curvatur circulus orbe,
> At septem zonis astrorum eductus in oras.
> Has Chaldæus ait, famaque illustris Hebræus,
> Nomine cœlestes, septeno serpere cursu.

6 Ac de Judæorum quidem Hebræorumque nomine, deque summa qua jam olim præstiterunt pietatis ac philosophiæ laude, modo satis. Nunc vero patriæ ipsorum historiæ veritati quam multi suffragentur,
7 attende. Ac primum, illud quod in antiquissima universi orbis historia diluvium Moses commemorat, a quo is quem Hebræi Noë-

Νῶε ἐν λάρνακι ξύλου πεποιημένῃ μετὰ τῶν οἰκείων διασέσωσται, Βηρωσσὸς ὁ Χαλδαῖος, καὶ Ἱερώνυμος ὁ Αἰγύπτιος, Νικόλαός τε ὁ Δαμασκηνὸς ἱστορικοὶ συγγραφεῖς, ὅπως τῶν αὐτῶν ἐμνημόνευσαν, Ἰώσηπος ἐν τῇ πρώτῃ τῆς Ἀρχαιολογίας τοῦτον παρατίθεται τὸν τρόπον·

ΙΩΣΗΠΟΥ

11 Τοῦ δὲ κατακλυσμοῦ τούτου καὶ τῆς λάρνακος μέμνηνται p. 414 πάντες οἱ τὰς βαρβαρικὰς ἱστορίας ἀναγεγραφότες, ὧν ἐστὶ καὶ Βηρωσσὸς ὁ Χαλδαῖος. Διηγούμενος γὰρ τὰ περὶ τὸν b
2 κατακλυσμὸν, οὕτω που διέξεισι· Λέγεται δὲ καὶ τοῦ πλοίου ἐν τῇ Ἀρμενίᾳ πρὸς τῷ ὄρει τῶν Κορδυαίων ἔτι μέρος τι εἶναι, καὶ κομίζειν τινὰς τῆς ἀσφάλτου ἀφαιροῦντας. Χρῶνται δὲ μάλιστα οἱ ἄνθρωποι τῷ κομιζομένῳ πρὸς τοὺς ἀπο-
3 τροπιασμούς. Μέμνηται δὲ τούτων καὶ Ἱερώνυμος ὁ Αἰγύπτιος, ὁ τὴν ἀρχαιολογίαν τὴν Φοινικικὴν συγγραψάμε-
[243] νος, καὶ Μνασέας δὲ, καὶ ἄλλοι πλείους. Καὶ Νικόλαος δὲ ὁ Δαμασκηνὸς ἐν τῇ ἐννενηκοστῇ καὶ ἕκτῃ βίβλῳ ἱστορεῖ

d 11. πεποιημένῃ] πεποιημένοι C. 14. ἱστορικοὶ] ἱστορικὸς B. ult. τρόπον] Addit B. ἀπὸ τῆς Ἰωσήπου ἀρχαιολογίας. ὁπόσοι τῶν ἔξωθεν συγγραφέων ἐμνήσθησαν τοῦ παρὰ Μωσέως κατακλυσμοῦ. et sic fere C. ubi ὅσοι et Μωσεῖ. ὅσαι F.

p. 414. b 3. ὄρει τῶν] ὄρει τῷ F.G. κορδυαίων] κορευαίων C. κορυδαίων F. μέρος τι] μέρος τε B.C.D.F.G.I. 5. μάλιστα B. post κομιζομένῳ. 8. ὁ τὴν] ὁ καὶ τὴν F.G. φοινικικὴν] φοινικὴν B. 9. καὶ Μνασ.—πλείους om. B. οἱ ante ἄλλοι om. C.D.E.F.G.I. 11. ἐννε.] ἐνε. B.C.F.G.

mum vocant, arcæ ligneæ beneficio cum reliqua familia servatus fuerit, a Beroso Chaldæo, Hieronymo Ægyptio, et Nicolao Damasceno historicis referri, Josephus libro primo Antiquitatum hunc in modum prodidit:

Joseph. Ant. Jud. I. 3, 6. p. 16.

11 Hujus, inquit, tum diluvii, tum arcæ meminerunt, quotquot barbarorum historias conscripserunt. Quos inter, Berosus Chaldæus, in ea quam
2 habet diluvii narratione ita scribit: Atque hujus navigii partem etiamnum aliquam in Armenia, circa montem Cordyæorum servari ferunt, ex qua derasi bituminis aliquid, loci ejus indigenæ ad procurandam maxime et
3 averruncandam Numinis iram gestare consueverint. Ejusdem rei mentionem quoque facit Hieronymus Ægyptius, qui priscam Phœnicum historiam conscripsit, itemque Mnaseas, aliique complures. Quibus Nicolaum Da-

4 περὶ αὐτῶν, λέγων οὕτως· Ἔστιν ὑπὲρ τὴν Μινυάδα μέγα c
ὄρος κατὰ τὴν Ἀρμενίαν, Βάρις λεγόμενον, εἰς ὃ πολλοὺς
συμφυγόντας ἐπὶ τοῦ κατακλυσμοῦ λόγος ἔχει περισωθῆναι,
καί τινα ἐπὶ λάρνακος ὀχούμενον ἐπὶ τὴν ἀκρώρειαν ὀκεῖλαι,
καὶ τὰ λείψανα τῶν ξύλων ἐπὶ πολὺ σωθῆναι. Γένοιτο δ'
ἂν οὗτος, ὅντινα καὶ Μωσῆς ἀνέγραψεν, ὁ Ἰουδαίων νομοθέτης.

ΙΩΣΗΠΟΥ

Ταῦτα μὲν ὁ Ἰώσηπος.

12 Ἐγὼ δέ σοι τὰ Μηδικὰ καὶ Ἀσσύρια διελθὼν ἐκ τῆς d
Ἀβυδηνοῦ γραφῆς, περὶ τῆς αὐτῆς ἱστορίας τάσδε τοῦ
ἀνδρὸς παραθήσομαι τὰς λέξεις·

2 Μεθ' ὃν ἄλλοι τε ἦρξαν, καὶ Σείσιθρος, ᾧ δὴ Κρόνος
προσημαίνει μὲν ἔσεσθαι πλῆθος ὄμβρων Δεσίου πέμπτῃ
ἐπὶ δέκα, κελεύει δὲ πᾶν ὅ τι γραμμάτων ἦν ἐχόμενον ἐν
3 Ἡλίου πόλει τῇ ἐν Σιππάροισιν ἀποκρύψαι. Σείσιθρος δὲ
ταῦτα ἐπιτελέα ποιήσας, εὐθέως ἐπ' Ἀρμενίης ἀνάπλωε, καὶ

ΑΒΥΔΗΝΟΥ

c. Μινυάδα] μνυάδα F. 6. οἰκεῖλαι] ὠκεῖλαι C. ὀκεῖλαι D. ὀκεῖλα F. 8. ὅν τινα] τινα om. C.F.G. 9. ὁ Ἰώσ.] ὁ om. C.F.G. d 5. τάσδε τοῦ ἀνδρὸς] τάδε σοι B. qui om. τὰς λέξεις—ὁ Ἰώσηπος. 6. λέξεις] Addunt C.F.G. ἀπὸ τῆς Ἀβυδηνοῦ γραφῆς περὶ τοῦ αὐτοῦ κατακλυσμοῦ. 9. κελεύει] κελεύσει F. 10. ἐχόμενον] ἐνδεχόμενον C.F. σιππάρ.] σιπαρ. C.F. 12. ἀρμενίους ἀνάπλεε] ἀρμενίοις ἀνέπλωε C.F. ἀρμενίοις ἀπέπλωε G. ἀρμενίοις ἀνάπλωε D.E.I. Dedi ἀρμενίης cum Cyrillo.

4 mascenum adde, qui libro nonagesimo sexto hæc habet, Est, inquit, supra Minyadem mons ingens in Armenia, Barin vocant, ad quem plerique cum diluvii tempore confugissent, eos periculum effugisse narrant. Præterea certum quendam arca vectum, summum ad montis verticem appulisse, ac lignorum ibi reliquias perdiu conservatas fuisse. Is vero non alius utique fuerit, quam qui a Mose Judæorum legislatore memoratur.

Hæc Josephus.

12 Ego vero, ut ex Medorum etiam atque Assyriorum monimentis aliquid habeas, ex Abydeni commentariis locum hunc eadem ipsa de re subjiciam :

Vid. Cyrill. adv. Julian. I. p. 8 d.

2 Huic, inquit, cum alii plerique, tum etiam Sisithrus in imperio successit, cui cum Saturnus imbrium vim maximam decimo quinto mensis Desii fore prædixisset, et quicquid literis comprehensum erat, id totum apud
3 Heliopolim Sipparorum occultari seponique jussisset: is dei mandatis obsequutus, continuo navigationem Armenios versus instituit, in qua re-

ΑΒΥΔΗΝΟΥ

παραυτίκα μιν κατελάμβανε τὰ ἐκ θεοῦ. Τρίτῃ δὲ ἡμέρῃ
ἐπεί τε ὕων ἐκόπασε, μετήει τῶν ὀρνίθων πείρην ποιεύμενος, p. 415
4 εἴ κου γῆν ἴδοιεν τοῦ ὕδατος ἐκδῦσαν. Αἱ δὲ ἐκδεχομένου
σφέας πελάγεος ἀχανέος ἀπορέουσαι ὅκῃ κατορμίσονται,
παρὰ τὸν Σείσιθρον ὀπίσω κομίζονται, καὶ ἐπ' αὐτῇσιν ἕτε-
5 ραι. Ὡς δὲ τῇσι τρίτῃσιν εὐτύχεεν, ἀπίκατο γὰρ δὴ πηλοῦ
κατάπλεοι τοὺς ταρσούς, θεοί μιν ἐξ ἀνθρώπων ἀφανίζουσιν·
τὸ δὲ πλοῖον ἐν Ἀρμενίῃ περίαπτα ξύλων ἀλεξιφάρμακα
τοῖσιν ἐπιχωρίοισι παρείχετο.

Ταῦτα μὲν οὖν οὗτος.

13 Πάλιν δὲ Μωσέως τοὺς πρώτους φύντας ἀνθρώπων b 6
μακροβίους γεγονέναι φήσαντος, μάρτυρας καὶ τούτου
παρατίθεται τοῦ λόγου τοὺς Ἑλλήνων συγγραφεῖς ὧδε
λέγων ὁ Ἰώσηπος· c

ΙΩΣΗΠΟΥ

2 Μηδεὶς δὲ πρὸς τὸν νῦν βίον καὶ τὴν βραχύτητα τῶν ἐτῶν
ἃ ζῶμεν συμβαλὼν τὸν τῶν παλαιῶν ψευδῆ νομιζέτω τὰ

ult. θεοῦ] τοῦ θεοῦ C.F.G. ἡμέρῃ] ἡμερίῃ C.F.G. ἔπειτα ὧν] ἐπεί τε ὕων C.F.G. ἔπειτα ὧν D.

p. 415. ποιεύμενος] ποιούμενος C. 2. ἴδοιεν] ἴδοι C.F.G. Mox ἐκδεχομένους D. 4. κατορμήσονται] κατορμίσονται C. et nescio an D. καθορμίσονται F.G. 7. κατάπλεοι] κατάπλοοι C. 10. ταῦτα μὲν] ταῦτα μὲν οὖν C. Mox post Ἰώσηπος addunt B.C.F.G. Ἀπὸ τῆς Ἰωσήπου ἀρχαιολογίας περὶ τοῦ πλείους μνημονεῦσαι τῆς τῶν παλαιῶν μακροβίου ζωῆς. c 2. συμβαλὼν] συμβάλλων B.C.F.G.

pentino divinæ prædictionis eventu occupatur. Tertio autem die, quam
tempestas remitti cœperat, aves emittit explorandi gratia, sicubi terram
4 undis emersam atque existentem viderent. Quæ cum immensum in pe-
lagus incidissent, nec quo succederent omnino quicquam occurreret, ad
5 Sesithrum denuo revolarunt, aliæque postea similiter emissæ. At cum
tertio idem fecisset, votique compos evasisset, (quippe volucres alis limo
plenis redierant) illico deûm numine, hominum societati oculisque sub-
ducitur; navigium autem ad Armeniam appulsum, amuleta suis e lignis
confecta, quæ de collo suspensa gestarent, indigenis suppeditavit.

Hactenus ille.

13 Præterea, quod hominum qui principes nati sunt, diuturni ævi fuisse Moses asseverat, ejus quoque rei testes gentilium scriptores a Josepho laudantur, his verbis:

Joseph. Ant. Jud. I. 3, 9. p. 17.

2 Nemo, inquit, priscorum hominum vitam, cum nostræ annorumque nostrorum brevitate componens, quæ de ipsis memorantur falsa esse

ΙΩΣΗΠΟΥ

περὶ ἐκείνων λεγόμενα, τῷ μηδὲ νῦν τοσοῦτον ἐν τῷ βίῳ πα-
ρατείνειν χρόνον τεκμαιρόμενος μηδ' ἐκείνους εἰς ἐκεῖνο τὸ
3 μῆκος τῆς ζωῆς ἀφῖχθαι. Οἱ μὲν γὰρ θεοφιλεῖς ὄντες, καὶ
ὑπ' αὐτοῦ τοῦ Θεοῦ γενόμενοι, καὶ διὰ τὸ τὰς τροφὰς ἐπι-
τηδειοτέρας πρὸς πλείονα χρόνον οὔσας, εἰκότως ἔζων πλῆθος
4 τοσούτων ἐτῶν. Ἔπειτα καὶ δι' ἀρετὴν καὶ δι' εὐχρηστίαν
ὧν ἐπενόουν, ἀστρολογίας καὶ γεωμετρίας, εἰς πλείονα ζῆν d
τὸν Θεὸν αὐτοῖς παρασχεῖν, ἅπερ οὐκ ἦν ἀσφαλῶς αὐτοῖς
προειπεῖν μὴ ζήσασιν ἑξακοσίους ἐνιαυτούς· διὰ γὰρ τούτων
5 ὁ μέγας ἐνιαυτὸς πληροῦται. Μαρτυροῦσι δέ μου τῷ λόγῳ
πάντες οἱ παρ' Ἕλλησι καὶ βαρβάροις συγγραψάμενοι τὰς
ἀρχαιολογίας. Καὶ γὰρ καὶ Μάνεθως ὁ τὴν τῶν Αἰγυπτια-
κῶν ποιησάμενος ἀναγραφὴν, καὶ Βηρωσσὸς ὁ τὰ Χαλδαϊκὰ
συναγαγὼν, καὶ Μόλος, καὶ Ἑστιαῖος, καὶ πρὸς αὐτοῖς ὁ
Αἰγύπτιος Ἱερώνυμος, οἵ τε τὰ Φοινικικὰ συνταξάμενοι, συμ-
φωνοῦσι τοῖς ὑπ' ἐμοῦ λεγομένοις· Ἡσίοδός τε, καὶ Ἑκα-

c 4. μηδὲ] μὲν δὴ B. 5. χρόνον] τὸν χρ. B. 6. ἐκεῖνο] ἐκεῖνον D. 9. τροφὰς] τὰς τρ. B.C.F.G. Mox πλείονας B. 10. οὔσας] εἶναι Joseph. 11. εὐχρηστίαν] εὐχαριστίαν E. 12. εἰς ἔτη πλείονα ζῆν τὸν θεὸν] εἰς πλείονα τὸν θεὸν τοῦ ζῆν B. εἰς πλείονα ζῆν τὸν θ. C.G. ἔτη om. D.F.I. πλέον ζῆν τὸν θεὸν Jos. d 3. τούτων] τοσούτων Jos. 4. μου] μοι D. 5. οἱ παρ' Ἕλλησι πάντες καὶ βάρβαροι] πάντες οἱ παρ' Ἕ. καὶ βαρβάροις B.C.F.G. πάντες οἱ παρ' Ἕλλησι καὶ παρὰ βαρβάροις Jos. 6. καὶ Μάνεθος—λεγομένοις om. B. 7. Μάνεθος] Μάνεθως D.I. καὶ γὰρ Μάνεθος F.G. 9. Μόλος] Μῶχός τε Jos. 10. οἵ τε] οἱ Jos. 12. Ἡσίοδος] καὶ γὰρ Ἡσίοδος B.

putet; dum ex longe brevioribus vitæ nostræ spatiis, ne veteres quidem
3 illos tantum vivendo temporum conficere potuisse conjiciet. Nam illi
sane, partim quod Deo cariores, ipsaque illius manu sati essent, partim
quod cibis vim suam diutius integritatemque retinentibus uterentur, vitam
4 in tot annos propagare commode poterant. Adde verum etiam fuisse, ut
partim in virtutis suæ præmium, partim ad accuratiorem ac certiorem cum
astrologiæ, tum geometriæ, quas ipsi artes invenerant, usum et experien-
tiam, longiorem eis Deus vitam indulgeret; quippe qui nisi sexcentos
minimum annos, quot videlicet magnus annus absolvitur, vivendo com-
5 plevissent, certi nihil unquam iis de rebus posteris tradidissent. Cujus
equidem rei testes habeo, quotquot Græcos inter barbarosque rerum anti-
quarum monimenta reliquere. Nam et Manethus qui Ægyptiacam, et
Berosus qui Chaldaicam scripsit historiam, et Molus, et Hestiæus, et
Hieronymus Ægyptius, quique res Phœnicum prosequuti sunt, uno mihi
omnes ore suffragantur. Imo etiam Hesiodus, Hecatæus, Hellanicus,

ΙΩΣΗΠΟΥ ταῖος, καὶ Ἑλλάνικος, καὶ Ἀκουσίλαος, καὶ πρὸς τούτοις
Ἔφορος καὶ Νικόλαος ἱστοροῦσι τοὺς ἀρχαίους ζήσαντας
ἔτη χίλια. Περὶ μὲν οὖν τούτων, ὡς ἂν ἑκάστοις ᾖ φίλον, p. 416
οὕτω σκοπείτωσαν.

14 Πάλιν Μωσέως περὶ τῆς τοῦ πύργου κατασκευῆς καὶ
ὡς ἀπὸ μιᾶς γλώττης εἰς πολλὰς συνεχύθησαν διαλέ-
κτους ἱστορήσαντος, ἐν τῇ λεχθείσῃ Περὶ τῶν Ἀσσυ- b
ρίων γραφῇ ὁ μικρῷ πρόσθεν δηλωθεὶς συγγραφεὺς τὰ
ὅμοια μαρτυρεῖ, λέγων ὧδε·

ΑΒΥΔΗΝΟΥ 2 Ἐν τῇδε λέγουσι τοὺς πρώτους ἐκ γῆς ἀνασχόντας, ῥώμῃ
τε καὶ μεγέθει χαυνωθέντας, καὶ δὴ θεῶν καταφρονήσαντας
ἀμείνονας εἶναι, τύρσιν ἠλίβατον ἀείρειν, ἵνα νῦν Βαβυλὼν
ἐστιν· ἤδη τε ἆσσον εἶναι τοῦ οὐρανοῦ, καὶ τοὺς ἀνέμους
θεοῖσι βωθέοντας ἀνατρέψαι περὶ αὐτοῖσι τὸ μηχάνημα·
[244] τοῦ δὴ τὰ ἐρείπια λέγεσθαι Βαβυλῶνα. Τέως δὲ ὄντας

d 12. καὶ Ἑλλάνικος om. B.

p. 416. τούτων] τούτων οὕτως. περὶ δὲ τῆς τοῦ πύργου ἐκείνου κατασκευῆς καὶ τῆς τῶν γλωσσῶν συγχύσεως τῶν Ἀσσυρίων ὁ μικρῷ πρόσθεν ῥηθεὶς ἀνὴρ ἱστορεῖ ὧδε B. 8. γλώττης] γλώσσης C.G. b 3. ὧδε] Addunt B.C.F.G. ἀπὸ τῆς Ἀβυδηνοῦ γραφῆς περὶ τῆς τοῦ πύργου κατασκευῆς. ἐντὶ δ' οἱ λέγουσι] ἐν τῇ δὴ λέγουσι C.D.E.G.I. λέγουσι δὲ τοὺς B. 5. καταφρονήσαντας] Imitatur Herodotum I. 65. notante ad eum locum Wesselingio. 6. πύργων τύρσιν] πύργων om. B.C.F.G. Tum B. εἰλήβατον. ἵνα νῦν. In C.F.G. δὴ pro νῦν. 9. αὐτοῖσι] αὐτοῖς F.

Acusilaus, Ephorus item et Nicolaus, veteres mille annos vixisse tradunt. Ac de his quidem, prout libuerit, quivis existimet.

14 Rursus, quod a Mose de turris illius molitione, deque consequuta linguæ unius in plurimas divisione narratur, is quem paulo ante nominavi Rerum Assyriarum scriptor his verbis confirmavit:

2 Sunt etiam, inquit ille, qui primos homines e terra natos, cum et viribus et corporis mole confiderent, potentiamque superis ipsis majorem affectarent, immensæ altitudinis turrim, ubi nunc sita Babylon est, molitos esse dicant; quæ cum jam propius abesset a cœlo, ventos ipsos navata diis opera, vastam et immanem eorum in capita substructionem effudisse, cujus ex collapsæ ruderibus ea quam Babylonem vocant extiterit. Homines porro, quorum ad id tempus una eademque lingua fuerat, multiplicem ac

ὁμογλώσσους ἐκ θεῶν πολύθροον φωνὴν ἐνείκασθαι, μετὰ δὲ c Κρόνῳ τε καὶ Τιτῆνι συστῆναι πόλεμον.

3 Ὁ δὲ τόπος ἐν ᾧ τὸν πύργον ᾠκοδόμησαν, νῦν Βαβυλὼν καλεῖται, διὰ τὴν σύγχυσιν τοῦ περὶ τὴν διάλεκτον πρῶτον ἐναργοῦς. Ἑβραῖοι γὰρ τὴν σύγχυσιν Βαβὲλ καλοῦσι. ΙΩΣΗΠΟΥ

15 Περὶ δὲ τοῦ πύργου τούτου, καὶ τῆς ἀλλοφωνίας τῶν ἀνθρώ- d πων μέμνηται καὶ Σιβύλλα, λέγουσα οὕτως· "Πάντων ὁμοφώνων ὄντων τῶν ἀνθρώπων, πύργον ᾠκοδόμησάν τινες ὑψηλότατον, ὡς ἐπὶ τὸν οὐρανὸν ἀναβησόμενοι δι' αὐτοῦ. Οἱ δὲ θεοὶ ἀνέμους ἐπιπέμψαντες ἀνέτρεψαν τὸν πύργον, καὶ ἰδίαν ἑκάστῳ φωνὴν ἔδωκαν, καὶ διὰ τοῦτο Βαβυλῶνα συνέβη κληθῆναι τὴν πόλιν." Περὶ δὲ τοῦ πεδίου τοῦ λεγομένου Σενναὰρ ἐν τῇ Βαβυλωνίᾳ χώρᾳ μνημονεύει Ἑστιαῖος, λέγων οὕτως· "Τῶν δὲ ἱερέων τοὺς διασωθέντας, τὰ τοῦ Ἐνυαλίου Διὸς ἱερώματα λαβόντας, εἰς Σενναὰρ τῆς Βαβυλωνίας ἐλθεῖν· σκίδνανται δὴ τὸ λοιπὸν ἐντεῦθεν ὑπὸ τῆς ὁμογλωσσίας, τὰς p. 417 συνοικίας ποιησάμενοι πανταχοῦ, καὶ γῆν ἕκαστοι κατελάμβανον τὴν ἐντυχοῦσαν.

b 11. πολύθρα] πολύθροον B.C.F.G. c 2. Post πόλεμον B. addit Ὡς καὶ ἕτεροι πλείους ἐμνήσθησαν τοῦ αὐτοῦ ἀπὸ τῆς Ἰωσήπου ἀρχαιολογίας. C.F.G. item ὡς καὶ ἕτεροι ἐμνημόνευσαν τοῦ αὐτοῦ etc. Quæ verba, tanquam lemma, c. 15. in edd. præposita sunt. d. περὶ δὲ τοῦ—ἐντυχοῦσαν om. B. 5. τὸν om. F. 10. Σεναὰρ] Σεννὰρ D. hic et infra. Σενναὰρ I. ult. τὰ τῆς] τὰ τοῦ C.G.

p. 417. 2. ὁμογλωσσίας etc.] ἀλλογλωσσίας τὰς ἀποικίας—ἐντυγχάνουσαν Jos.

discrepantem ex eo vocem emisisse, ac postmodum Saturnum inter ac Titana bellum esse conflatum.

3 Cæterum locus in quo turrim excitabant, hodie Babylon nominatur, propter eam quæ contigit purioris ante illustriorisque sermonis confusionem: Hebræis enim confusio, Babel est. Josephi Ant.Jud. I. 4, 3. p. 19.

15 Atque hujus etiam turris, et linguarum inter homines divortii hunc in modum Sibylla meminit; Cum eatenus eadem lingua universi homines uterentur, altissimam turrim ædificare nonnulli cœperunt, qua scilicet in cœlum usque conscenderent. At dii ventis immissis turrim evertere, ac loquelam singulis propriam tribuere, quo factum ut ea civitas Babylon vocaretur. Ejus quoque agri, quem Senaar nominant, in Babylonia regione siti mentionem Hestiæus facit his verbis, Sacerdotibus, qui exitium effugerant, raptis secum Jovis Enyalii sacris, in Senaar Babyloniæ agrum sese primum receperunt; inde vero quaqua terrarum dissipantur, ac prout communem hi aut illi forte linguam sortiti erant, communia quoque domicilia passim collocant, oblatam quique casu regionem occupantes.

16 Πάλιν Μωσέως τὴν κατὰ τὸν Ἑβραίων προπάτορα Ἀβραὰμ ἱστορίαν εἰς πλάτος ἐκθεμένου, μαρτυρεῖν αὐτῷ b καὶ τοὺς ἔξωθεν ἱστορικοὺς ὁ Ἰώσηπος λέγει διὰ τούτων·

ΙΩΣΗΠΟΥ

2 Μνημονεύει δὲ ἡμῶν τοῦ πατρὸς Ἀβραάμου Βηρωσσὸς, οὐκ ὀνομάζων, λέγων δὲ οὕτως· "Μετὰ τὸν κατακλυσμὸν δεκάτῃ γενεᾷ παρὰ Χαλδαίοις τις ἦν δίκαιος ἀνὴρ, καὶ μέγας,
3 καὶ τὰ οὐράνια ἔμπειρος." Ἑκαταῖος δὲ καὶ τοῦ μνησθῆναι πλεῖόν τι πεποίηκε· βιβλίον γὰρ περὶ αὐτοῦ συνταξάμενος
4 κατέλιπε. Νικόλαος δὲ ὁ Δαμασκηνὸς ἐν τῇ τετάρτῃ τῶν ἱστοριῶν λέγει οὕτως· "Ἀβραάμης ἐβασίλευε Δαμασκοῦ, c ἔπηλυς σὺν στρατῷ ἀφιγμένος ἐκ τῆς γῆς τῆς ὑπὲρ Βαβυλῶνος, Χαλδαίων λεγομένης. Μετ' οὐ πολὺν δὲ χρόνον ἐξαναστὰς καὶ ἀπὸ ταύτης τῆς χώρας, σὺν τῷ σφετέρῳ λαῷ εἰς τὴν τότε μὲν Χαναναίαν λεγομένην νῦν δὲ Ἰουδαίαν μετῴκησε, καὶ οἱ ἀπ' ἐκείνου πληθύσαντες, περὶ ὧν ἐν ἑτέρῳ λόγῳ

a 8. κατὰ τὸν] κατὰ τῶν C.F.G. καὶ πάλιν τὰ κατὰ Ἀβραὰμ τοῦ Μωσέως εἰς πλάτος ἐκθ. B. b. ἐπιθεμένου] ἐκθεμένου D.E.F.G. 2. ὁ Ἰώσηπ.] ὁ om. B.C.F.G. Mox διὰ τούτων om. B. qui pergit, Ὅσοι περὶ τοῦ πάντων Ἑβραίων προπάτορος Ἀβραὰμ ἐμνήσθησαν ἀπὸ τοῦ αὐτοῦ. ubi ἐμνημόνευσαν C.F.G. 3. ἡμῖν τοῦ πατρὸς om. C. ἡμῶν D.I. τ. π. ἡμῶν F.G. 6. τις ἦν] ἦν τις C.F.G. 7. ἔμπειρος] ἔμπυρος B. 9. περὶ αὐτοῦ συνταξάμενος] συγγραψάμενος περὶ αὐτοῦ B. c. ἐβασίλευσε] ἐβασίλευε B.C.G.I. Tum Δαμασκηνοῦ D. 2. ἐκ τῆς—λεγομένης om. B. τῆς γῆς om. C. qui mox Βαβυλῶνος, et sic ni fallor D. certe E.I. ἀφ. καὶ τῆς ὑπὲρ Βαβυλῶνος F. ἐκ τῆς ὑπὲρ Βαβ. G. 3. πόλυν] πόλυν δὲ B.C.G. Jos. 4. ταύτης τῆς] τῆς αὐτῆς B. 6. Χαναν. λεγομ.] λεγομ. Χαναν. B. 7. πληθύσαντες] πληθύναντες C.F.G.

16 Mosem præterea, in ea quam fuse de Abraamo Hebræorum parente scribit historia, consentientes habere gentiles historicos Josephus auctor est, sic enim loquitur :

Josephi Ant. Jud. I. 7, 2. p. 28.

2 Ac Berosus quidem Abrahami parentis nostri, suppresso licet nomine, his tamen verbis meminit. Circa decimam post diluvium ætatem, vir quidam apud Chaldæos vixit, summa cum integritate morum, tum etiam
3 dignitate rerumque cœlestium cognitione præditus. Hecatæus vero, non ejus tantum obiter meminit, sed etiam justum de ipso volumen scriptum
4 reliquit. Nicolaus autem Damascenus quarto historiarum libro hunc in modum loquitur, Abraames Damasci regnavit, cum ex regione Chaldæorum ultra Babylonem sita cum exercitu profectus, eo commigrasset : inde vero haud longo post tempore, mutatis denuo sedibus, eam quæ tum Chananæa, nunc autem Judæa nuncupatur, cum suis incoluit, nec non illius posteri numero ac multitudine aucti, quorum de rebus alium mihi sepono dicendi

ΙΩΣΗΠΟΥ

5 διέξειμι τὰ ἱστορούμενα." Τοῦ τε Ἀβραάμου ἔτι καὶ νῦν ἐν τῇ Δαμασκηνῇ τὸ ὄνομα δοξάζεται, καὶ κώμη ἀπ' αὐτοῦ δείκνυται, Ἀβραάμου οἴκησις λεγομένη. Λιμοῦ δὲ χρόνοις d ὕστερον τὴν Χαναναίαν καταλαβόντος, Ἄβραμος Αἰγυπτίους εὐδαιμονεῖν πυθόμενος, διαίρειν πρὸς αὐτοὺς ἦν πρόθυμος, τῆς τε ἀφθονίας τῆς ἐκείνων μεθέξων, καὶ τῶν ἱερέων ἀκροατὴς ἐσόμενος, ὧν λέγοιεν περὶ θεῶν· ἢ γὰρ κρείσσοσιν εὑρεθεῖσι κατακολουθήσειν, ἢ μετακοσμήσειν αὐτοὺς ἐπὶ τὸ βέλτιον, αὐτὸς ἄμεινον φρονῶν.

6 Εἶθ' ἑξῆς ἐπιλέγει,

Καὶ συνῆν Αἰγυπτίων τοῖς λογιωτάτοις, τήν τε ἀρετὴν αὐτῷ καὶ τὴν ἐπ' αὐτῷ δόξαν ἐντεῦθεν ἐπιφανεστέραν συνέβη
7 γενέσθαι. Τῶν γὰρ Αἰγυπτίων διαφόροις ἀρεσκομένων ἔθεσι, καὶ τὰ παρ' ἀλλήλοις ἐκφαυλιζόντων νόμιμα, καὶ διὰ τοῦτο δυσμενῶς ἐχόντων πρὸς ἀλλήλους, συμβαλὼν αὐτῶν p. 418 ἑκάστοις, καὶ διαπτύων τοὺς λόγους οὓς ἐποιοῦντο περὶ τῶν

d 2. ἀβραάμης] ἄβραμος B.D. ἀβραάμος C.F.G.I. 3. πυθόμ.] πειθόμ. C.F.G. 5. ἐσόμενος] λεγόμενος B. ὧν λέγοιεν—ἔθεσι om. B. 8. ἀμείνω] ἄμεινον C.F.G. Joseph. ἀμείνων D.E.I. 10. αὐτοῦ—αὐτῷ] αὐτῷ—αὐτῶν C.F.G. αὐτῷ item D.I. cum Joseph. 13. ἀλλήλοις] ἄλλοις B.

p. 418. δυσμενῶς ἐχόντων] δυσμεναινόντων B. 3. ἐποιοῦντο] ἐποιεῖτο B.

5 locum. Et vero, illustris etiamnum Abraamæ nominis tota passim Damascena regione memoria est, ac certus quidam vicus ostenditur, quod Abraamæ domicilium nominant. Verum, ubi gravis postea fames in Chananæam incubuisset, is quod annonæ copia Ægyptios abundare intelligeret, libenter omnino sese ad eos contulit, partim ut ipsorum ubertate frueretur, partim ut Ægyptiorum sacerdotum de diis opinionem acciperet: hoc utique consilio, uti si meliora traderent, ea sectaretur; sin autem verius ipse sentiret, eos contra saniorem ad mentem sententiamque traduceret.

6 Ac deinceps ita subjungit:

Cum Ægyptiorum, inquit, eruditissimis familiariter uteretur, novum ipse non ad virtutem modo suam, verum etiam ad nominis existimationem
7 decus ac splendorem adjunxit. Nam quod Ægyptii discrepantibus moribus delectati, suos ipsimet aliorum alii ritus verbis elevarent, mutuoque propterea odio tenerentur, ille cum singulis ita seorsim agebat, ut quicquid suis quique de rebus ac placitis disputarent, id totum ipse respueret, et ab

ΙΩΣΗΠΟΥ

8 ἰδίων, κενοὺς καὶ μηδὲν ἀληθὲς ἔχοντας ἀπέφαινε. Θαυμα-
σθεὶς οὖν ὑπ' αὐτῶν ἐν ταῖς συνουσίαις ὡς συνετώτατος, καὶ
δεινὸς ἀνὴρ οὐ νοῆσαι μόνον ἀλλὰ καὶ πεῖσαι λέγων περὶ ὧν
ἂν ἐπιχειρήσειε διδάσκειν, τήν τε ἀριθμητικὴν αὐτοῖς χαρί-
ζεται, καὶ τὰ περὶ ἀστρολογίαν παραδίδωσι. Πρὸ γὰρ τῆς
Ἀβραάμου παρουσίας Αἰγύπτιοι τούτων εἶχον ἀμαθῶς. Ἐκ
Χαλδαίων γὰρ ταῦτ' ἐφοίτησεν εἰς Αἴγυπτον, ὅθεν ἦλθε καὶ b
εἰς τοὺς Ἕλληνας.

Ταῦτα ὁ Ἰώσηπος.

17 Συνᾴδει δὲ τούτοις καὶ ὁ Πολυΐστωρ Ἀλέξανδρος, c
πολύνους ὢν καὶ πολυμαθὴς ἀνήρ, τοῖς τε μὴ πάρεργον
[245] τὸν ἀπὸ παιδείας καρπὸν πεποιημένοις Ἕλλησι γνωρι-
μώτατος, ὃς ἐν τῇ Περὶ Ἰουδαίων συντάξει τὰ κατὰ τὸν
Ἀβραὰμ τοῦτον ἱστορεῖ κατὰ λέξιν τὸν τρόπον·

ΑΛΕΞΑΝΔΡΟΥ

2 Εὐπόλεμος δὲ ἐν τῷ περὶ Ἰουδαίων τῆς Ἀσσυρίας φησί,

a 4. ἀληθὲς] ἀληθεῖς B. ἔχ. ἀλ. C.F.G. Tum ἀπέφηνε B. qui om. θαυμασθεὶς—παραδίδωσι. 7. διδάσκειν] διδάσκει C. b. ἐφοίτησεν] ἐφοίτησαν B. ἦλθε] ἦλθον B. qui mox om. καὶ et τούς. c. Ἀλέξανδρος] Vide Clintoni Fast. Hell. T. III. p. 538. πολυμαθὴς] πολυμαθεὶς C. Pergit B. καὶ γνώριμος τοῖς Ἑλλήνων σοφοῖς τάδε φάσκων· Εὐπολέμου περὶ ἀβραὰμ, ἀπὸ τῆς Ἀλεξάνδρου τοῦ πολυΐστορος περὶ Ἰουδαίων γραφῆς. Εὐπόλ. etc. et sic C.F.G. inde ab Εὐπολέμου. 6. δὲ ἐν] δέ φησιν ἐν B.C.F.G. om. φησὶ infra.

8 omni veritate vacuum esse demonstraret. Quo factum est, ut in quotidianis eum mutuisque congressibus, tanquam sapientissimum, nec singulari tantum intelligendi vi præditum, sed etiam ad persuadendum aliis quicquid probandum suscepisset potentissimum admirarentur. Itaque arithmeticam eos atque astrologiam prolixe ac liberaliter docuit, quibus in artibus, ante ipsius adventum, Ægyptii hospites omnino ac peregrini fuerant. Quippe a Chaldæis in Ægyptum, indeque ad Græcos utriusque præcepta permanarunt.

Hæc Josephus.

17 Quibus Polyhistor Alexander plane suffragatur, vir summi ingenii, multæque eruditionis, idemque Græcis hominibus, qui non leviter ac perfunctorie doctrinæ fructum degustarunt, longe notissimus. Is igitur in ea quam de Judæis texit historia, res Abrahami sic ad verbum exequitur:

2 Eupolemus, inquit, in ea quam de Judæis Assyriis habet disputatione,

ΑΛΕΞΑΝΔΡΟΥ

πόλιν Βαβυλῶνα πρῶτον μὲν κτισθῆναι ὑπὸ τῶν διασωθέντων ἐκ τοῦ κατακλυσμοῦ· εἶναι δὲ αὐτοὺς γίγαντας, οἰκοδο-
3 μεῖν δὲ τὸν ἱστορούμενον πύργον. Πεσόντος δὲ τούτου ὑπὸ τῆς τοῦ Θεοῦ ἐνεργείας, τοὺς γίγαντας διασπαρῆναι καθ' d ὅλην τὴν γῆν. Δεκάτῃ δὲ γενεᾷ, φησὶν, ἐν πόλει τῆς Βαβυλωνίας Καμαρίνῃ, ἥν τινας λέγειν πόλιν Οὐρίην· (εἶναι δὲ μεθερμηνευομένην, Χαλδαίων πόλιν·) ἐν τρισκαιδεκάτῃ γενέσθαι Ἀβραὰμ γενεᾷ, εὐγενείᾳ καὶ σοφίᾳ πάντας ὑπερβεβηκότα, ὃν δὴ καὶ τὴν ἀστρολογίαν καὶ Χαλδαϊκὴν εὑρεῖν, ἐπί τε τὴν εὐσέβειαν ὁρμήσαντα εὐαρεστῆσαι τῷ Θεῷ.
4 Τοῦτον δὲ διὰ τὰ προστάγματα τοῦ Θεοῦ εἰς Φοινίκην ἐλθόντα κατοικῆσαι, καὶ τροπὰς ἡλίου καὶ σελήνης καὶ τὰ ἄλλα πάντα διδάξαντα τοὺς Φοίνικας εὐαρεστῆσαι τῷ βασιλεῖ αὐτῶν. Ὕστερον δὲ Ἀρμενίους ἐπιστρατεῦσαι τοῖς Φοίνιξι· νικησάντων δὲ καὶ αἰχμαλωτισαμένων τὸν ἀδελφιδοῦν αὐτοῦ, τὸν Ἀβραὰμ μετὰ οἰκετῶν βοηθήσαντα ἐγκρατῆ γενέσθαι p. 419 τῶν αἰχμαλωτισαμένων, καὶ τῶν πολεμίων αἰχμαλωτίσαι
5 τέκνα καὶ γυναῖκας. Πρέσβεων δὲ παραγενομένων πρὸς αὐτὸν ὅπως χρήματα λαβὼν ἀπολυτρώσῃ ταῦτα, μὴ προελέ-

c 11. ἐνεργείας] ἐνεργίας B. d 4. μεθερμηνευομένην] μεθερμηνευόμενον C.F.G. 9. τῷ θεῷ] τῷ om. B. ult. ἀδελφιδοῦν] ἀδελφιδὸν C.D.F.G.I.

p. 419. ἐγκρατῆ] ἐγκρατεῖ C. 2. καὶ τῶν πολ.—αἰχμάλωτα om. B.

auctor est, primum quidem Babylonem urbem, ac postmodum turrim illam historicorum omnium ore jactatam, ab iis qui diluvium effugissent,
3 (gigantes illi erant) excitatam, eaque deinde summa Numinis potestate disjecta, toto passim orbe distractos ac dissipatos gigantes fuisse. Idem ætate decima, Camarinæ, quæ Babyloniæ civitas est, quamque Urien nonnulli vocant, Græci Chaldæopolin interpretantur, Abraamum natum esse tradit, qui cum nobilitate ac sapientia omnibus anteiverit, tum vero astrologiam pariter ac Chaldaicam invenerit, et singulari studio pietatis divinam
4 sibi gratiam conciliarit. Hunc porro divino jussu, collocato rerum suarum in Phœnicia domicilio, solis lunæque conversiones ac reliqua id genus omnia Phœnices docuisse, quæ res summe gratiosum eum apud regem effecerit. Postea vero, cum appetitos bello Phœnices Armenii superassent, ipsumque Abraami nepotem captivum abducerent, Abraamum servorum manu stipatum auxilium ei tulisse, victores suam in potestatem redegisse,
5 eorumque liberos et uxores belli jure captos abegisse. Verum legatis ad ipsum ad hoste missis, qui captivos pecunia redimerent, victis eum insul-

ΑΛΕΞΑΝΔΡΟΥ

σθαι τοῖς δυστυχοῦσιν ἐπεμβαίνειν, ἀλλὰ τὰς τροφὰς λα-
βόντα τῶν νεανίσκων ἀποδοῦναι τὰ αἰχμάλωτα, ξενισθῆναί
τε αὐτὸν ὑπὸ πόλεως ἱερὸν Ἀργαριζὶν, ὃ εἶναι μεθερμηνευ-
6 όμενον ὄρος ὑψίστου· παρὰ δὲ τοῦ Μελχισεδὲκ ἱερέως
ὄντος τοῦ Θεοῦ καὶ βασιλεύοντος λαβεῖν δῶρα. Λιμοῦ δὲ b
γενομένου, τὸν Ἀβραὰμ ἀπαλλαγῆναι εἰς Αἴγυπτον πανοι-
κίᾳ, κἀκεῖ κατοικεῖν, τήν τε γυναῖκα αὐτοῦ τὸν βασιλέα τῶν
7 Αἰγυπτίων γῆμαι, φάντος αὐτοῦ ἀδελφὴν εἶναι. Περισσό-
τερον δ' ἱστόρησεν, ὅτι οὐκ ἠδύνατο αὐτῇ συγγενέσθαι, καὶ
ὅτι συνέβη φθείρεσθαι αὐτοῦ τὸν λαὸν καὶ τὸν οἶκον. Μάν-
τεις δὲ, αὐτοῦ καλέσαντος, τοῦτο φάναι, μὴ εἶναι χήραν τὴν
γυναῖκα· τὸν δὲ βασιλέα τῶν Αἰγυπτίων οὕτως ἐπιγνῶναι c
ὅτι γυνὴ ἦν τοῦ Ἀβραὰμ, καὶ ἀποδοῦναι αὐτὴν τῷ ἀνδρί.
8 Συζήσαντα δὲ τὸν Ἀβραὰμ ἐν Ἡλιουπόλει τοῖς Αἰγυπτίων
ἱερεῦσι πολλὰ μεταδιδάξαι αὐτοὺς, καὶ τὴν ἀστρολογίαν καὶ
τὰ λοιπὰ τοῦτον αὐτοῖς εἰσηγήσασθαι, φάμενον Βαβυλωνίους
ταῦτα καὶ αὐτὸν εὑρηκέναι, τὴν δὲ εὕρεσιν αὐτῶν εἰς Ἐνὼχ

a 9. ἀργαριζὶν] ἀργαρίζειν B. Hinc usque ad Μελχισεδὲκ om. E. 10. μεθερμηνευόμενον] μεθερμηνευθὲν B.F.G. παρὰ δὲ—δῶρα om. B. b 3. τῶν Αἰγυπτίων] Αἰγύπτου B. 6. περισσότερον—ὅτι om. B. ἠδύνατο] ἐδυν. C. Tum δ' αὐτῇ B. et om. καὶ ὅτι συν. Idem pergit, φθειρομένου τοῦ λαοῦ αὐτοῦ καὶ τοῦ οἴκου. μάντεις δ' αὐτοῦ κεκληκότος εἰπεῖν μὴ χηρ. εἶναι B. 9. τοῦτο] τούτους C.F.G. 10. βασιλέα] βασιλέα γνόντα γαμετὴν αὐτὴν ἀβραὰμ ἀποδοῦναι τούτῳ. Βαβυλωνίους γὰρ λέγειν omissis mediis B. c 2. καὶ ἀποδ.—ἀβραὰμ om. C. 3. ἠλιουπόλει] ἠλιοπόλει F. 7. αὐτὸν εὑρηκέναι] αὐτὸν εἰρηκέναι E.

tare ferocius noluisse, sed militum suorum stipendio contentum, captivos
liberaliter reddidisse. Addit insuper eum in sacro urbis Argarize, hoc est
6 altissimi monte susceptum hospitio, dona simul a Melchisedeco Dei sacer-
dote, qui ibidem regnabat, accepisse. Postmodum urgente fame Abraamum
in Ægyptum cum universa familia secessisse, ibique fixa sede, cum ejus
uxore, quam sororem ille suam vocaret, Ægyptiorum regem matrimonium
7 iniisse. Hic vero fusius exequitur, quemadmodum nec illius congressu
frui rex potuerit, et populum ejus universum regiamque adeo familiam
gravissima pestis invaserit: tandemque rex, consultis vatibus, ac minime
viduam mulierem esse respondentibus, ubi eam Abraami uxorem esse
8 comperisset, viro suo reddiderit. Cæterum, cum apud Heliopolim
Abraamus Ægyptiorum sacerdotum consuetudine plurimum uteretur,
multa ipsos, necnon astrologiam, quæque ad eam pertinent omnia, illo
docente didicisse tradit, sic tamen eorum inventionem Babyloniis atque
Abrahamo ipsi attribuens, ut principem illorum auctorem Enochum fuisse

ἀναπέμπειν, καὶ τοῦτον εὑρηκέναι πρῶτον τὴν ἀστρολογίαν, ΑΛΕΞΑΝΔΡΟΥ
9 οὐκ Αἰγυπτίους. Βαβυλωνίους γὰρ λέγειν πρῶτον γενέσθαι Βῆλον, ὃν εἶναι Κρόνον· ἐκ τούτου δὲ γενέσθαι Βῆλον, καὶ Χαναάν, τοῦτον δὲ τὸν Χαναὰν γεννῆσαι τὸν πατέρα τῶν d Φοινίκων, τούτου δὲ Χοὺμ υἱὸν γενέσθαι, ὃν ὑπὸ τῶν Ἑλλήνων λέγεσθαι Ἄσβολον, πατέρα δὲ Αἰθιόπων, ἀδελφὸν δὲ τοῦ Μεστραεὶμ, πατέρα Αἰγυπτίων· Ἕλληνας δὲ λέγειν τὸν Ἄτλαντα εὑρηκέναι ἀστρολογίαν· εἶναι δὲ τὸν Ἄτλαντα τὸν αὐτὸν καὶ Ἐνώχ· τοῦ δὲ Ἐνὼχ γενέσθαι υἱὸν Μαθουσάλαν, ὃν πάντα δι' ἀγγέλων Θεοῦ γνῶναι, καὶ ἡμᾶς οὕτως ἐπιγνῶναι.

18 Ἀρτάπανος δέ φησιν ἐν τοῖς Ἰουδαϊκοῖς, τοὺς μὲν Ἰουδαίους p. 420 ὀνομάζεσθαι Ἑρμιοὺθ, ὃ εἶναι μεθερμηνευθὲν κατὰ τὴν Ἑλλάδα φωνὴν, Ἰουδαῖοι· καλεῖσθαι δὲ αὐτοὺς Ἑβραίους ἀπὸ Ἀβραάμου. Τοῦτον δέ φησι πανοικίᾳ ἐλθεῖν εἰς b Αἴγυπτον, πρὸς τὸν τῶν Αἰγυπτίων βασιλέα Φαρεθώνην, καὶ τὴν ἀστρολογίαν αὐτὸν διδάξαι· μείναντα δὲ ἔτη ἐκεῖ

c 12. βῆλον καὶ Χαν.] βῆλον εἰς Αἴγυπτον καὶ Χαν. B.C.F.G. d. τούτου δὲ χοὺμ] τοῦτον δὲ χοῦν B. χοῦν item C.F.G. 4. πατέρα] πατρὸς C.F.G. 7. μαθουσάλαν] μαθουσάλα B.C. μαθουσάλων D. ult. Post ἐπιγνῶναι addit B. Ἀρταπάνου περὶ τοῦ αὐτοῦ, et sic C.F.G. qui præterea, ἀπὸ τῆς αὐτῆς τοῦ πολυΐστορος γραφῆς.

p. 420. 7. Ἑλλάδα] Ἑλληνίδα B.I. b. τῶν Αἰγυπτίων om. B. τῶν om. F. 2. Φαρεθώνην] Φαρεθώθην B.I. 3. ἐκεῖ εἴκοσι] εἴκοσι ἐκεῖ B. ἐκεῖ κ' F.G.

statuat, quippe qui primus omnium astrologiam invenerit, non autem
9 Ægyptii. Enimvero Babylonios dicere solitos, primum extitisse Belum, qui Saturnus vulgo nominetur, quique Belum alterum cum Chanaane susceperit: hunc vero Chanaanem Phœnicum parentem genuisse, cujus filius Chumus extiterit, quem Asbolum Græci nominant: eum Mestraimi fratrem, Æthiopumque simul et Ægyptiorum parentem fuisse: tametsi Atlantem Græci astrologiæ inventorem esse velint; sed nimirum Atlantem eundem esse quem Enochum, qui Mathusalamum filium habuerit; huncque ab angelis Dei omnia didicisse, quæ tandem ad nos cognitionemque nostram permanarint.

18 Jam vero Artapanus in rerum Judaicarum historia, Judæos scribit Hermiuth nominari, quæ vox, si Græce loqui velis, Judæos sonet; eosdem vero Abraami ex nomine Hebræos nuncupari. Abraamum autem in Ægyptum cum universa familia ad Parethonem Ægyptiorum regem sese contulisse, quem cum astrologiæ præceptis instituisset, ac viginti conti-

ΑΛΕΞΑΝΔΡΟΥ

εἴκοσι, πάλιν εἰς τοὺς κατὰ Συρίαν ἀπαλλαγῆναι τόπους·
τῶν δὲ τούτῳ συνελθόντων πολλοὺς ἐν Αἰγύπτῳ καταμεῖναι
2 διὰ τὴν εὐδαιμονίαν τῆς χώρας. Ἐν δὲ ἀδεσπότοις εὕρομεν
[246] τὸν Ἀβραὰμ ἀναφέροντα εἰς τοὺς γίγαντας, τούτους δὲ οἰ-
κοῦντας ἐν τῇ Βαβυλωνίᾳ διὰ τὴν ἀσέβειαν ὑπὸ τῶν θεῶν
ἀναιρεθῆναι, ὧν ἕνα Βῆλον ἐκφεύγοντα τὸν θάνατον ἐν Βα-
βυλῶνι κατοικῆσαι, πύργον τε κατασκευάσαντα ἐν αὐτῷ διαι- c
τᾶσθαι, ὃν δὴ ἀπὸ τοῦ κατασκευάσαντος Βήλου Βῆλον ὀνο-
μασθῆναι. Τὸν δὲ Ἄβραμον τὴν ἀστρολογικὴν ἐπιστήμην
παιδευθέντα πρῶτον μὲν ἐλθεῖν εἰς Φοινίκην, καὶ τοὺς Φοίνι-
κας ἀστρολογίαν διδάξαι, ὕστερον δὲ εἰς Αἴγυπτον παρα-
γενέσθαι.

19 Ὁ δὲ τὴν συσκευὴν τὴν κατὰ Ἰουδαίων γράψας Μόλων d
κατὰ τὸν κατακλυσμόν φησιν ἀπὸ τῆς Ἀρμενίας ἀπελθεῖν
τὸν περιλειφθέντα ἄνθρωπον μετὰ τῶν υἱῶν, ἐκ τῶν ἰδίων
ἐξελαυνόμενον ὑπὸ τῶν ἐγχωρίων· διανύσαντα δὲ τὴν μεταξὺ
2 χώραν ἐλθεῖν εἰς τὴν ὀρεινὴν τῆς Συρίας οὖσαν ἔρημον. Μετὰ
δὲ τρεῖς γενεὰς Ἀβραὰμ γενέσθαι, ὃν δὴ μεθερμηνεύεσθαι

b 5. τούτῳ] τούτων D.E.F.I. 7. ἐν δὲ—τὸν θάνατον om. B. 12. ἐν βαβυλῶνι κατοικῆσαι] τίς βῆλος ὀνόματι κατοικῆσαι ἐν βαβ. B. c 3. Ἄβραμον] Ἀβραὰμ D. 5. καὶ τοὺς] οὓς καὶ διδάξαι ταύτην. ὕστερον δ' εἰς Αἴγυπτον ἀπιέναι B. ἀστρολογίαν] ἀστρολογεῖν F.G. d 2. ὁ δὲ] Μόλωνος (Μέλωνος G.) περὶ τοῦ αὐτοῦ. ὁ δὲ B.C.F.G. τὴν συσκ. τ. κ. Ἰ.] τὴν κ. Ἰ. συσκ. B. 3. μήλων] μόλων B.C. νόμων F. Μέλων G.

nentes annos ibidem egisset, in Syriam denuo remigrasse, plerisque suo-
2 rum ob regionis ubertatem in Ægypto residentibus. Quanquam in libris quibusdam, quorum auctores incerti sunt, Abraamum invenimus ad gigantes venisse. Hos porro cum Babyloniam incolerent, a diis propter impietatem extinctos ac sublatos fuisse, uno tantum Belo superstite, qui exitio subductus Babylonem tenuerit, sedemque sibi in ea turri, quam ipsemet excitaverat, quamque Belum conditoris ex nomine appellarunt, delegerit. Abraamum autem astrologiam apprime callentem, primum in Phœniciam, ubi Phœnices eadem scientia imbuerit, ac deinde in Ægyptum migrasse.

19 At Melo, is qui adversus Judæos opus integrum edidit, virum quendam qui cum filiis diluvium effugerat, ab indigenis Armenia pulsum, ædibusque ac possessionibus ejectum suis, intermedia regione peragrata in desertos
2 Syriæ montes secessisse commemorat. Abraamum vero post tertiam ætatem natum esse, cujus nomen patris amicum significet. Eundem, cum

ΑΛΕΞΑΝΔΡΟΥ

πατρὸς φίλον, ὃν δὴ σοφὸν γενόμενον τὴν ἐρημίαν μεταδιώκειν· λαβόντα δὲ δύο γυναῖκας, τὴν μὲν ἐντοπίαν, συγγενῆ, τὴν δὲ Αἰγυπτίαν, θεράπαιναν, ἐκ μὲν τῆς Αἰγυπτίας p. 421 γεννῆσαι υἱοὺς ιβ′, οὓς δὴ εἰς Ἀραβίαν ἀπαλλαγέντας διελέσθαι τὴν χώραν, καὶ πρώτους βασιλεῦσαι τῶν ἐγχωρίων· ὅθεν ἕως καθ᾽ ἡμᾶς δώδεκα εἶναι βασιλεῖς Ἀράβων ὁμωνύ-
3 μους ἐκείνοις. Ἐκ δὲ τῆς γαμετῆς υἱὸν αὐτῷ γενέσθαι ἕνα, ὃν Ἑλληνιστὶ Γέλωτα ὀνομασθῆναι. Καὶ τὸν μὲν Ἀβραὰμ γήρᾳ τελευτῆσαι· Γέλωτος δὲ καὶ γυναικὸς ἐγχωρίου υἱοὺς ἕνδεκα γενέσθαι, καὶ δωδέκατον Ἰωσήφ, καὶ ἀπὸ τοῦδε τρίτον Μωσῆν.

4 Τοσαῦτα ὁ Πολυΐστωρ· οἷς μεθ᾽ ἕτερα ἐπιφέρει b λέγων·

Μετ᾽ οὐ πολὺν δὲ χρόνον τὸν Θεὸν τῷ Ἀβραὰμ προστάξαι Ἰσαὰκ τὸν υἱὸν ὁλοκαρπῶσαι αὐτῷ. Τὸν δὲ ἀναγαγόντα τὸν παῖδα ἐπὶ τὸ ὄρος πυρὰν νῆσαι, καὶ ἐπιθεῖναι τὸν Ἰσαάκ· σφάζειν δὲ μέλλοντα κωλυθῆναι ὑπὸ ἀγγέλου, κριὸν αὐτῷ πρὸς τὴν κάρπωσιν παραστήσαντος· τὸν δὲ Ἀβραὰμ

d 10. ὃν δὴ—μεταδιώκειν om. B.

p. 421. 2. υἱοὺς ιβ′] δώδεκα υἱοὺς B.C.F.G. ἀπαλλαγέντας] ἀπαλλαγέντα C. 5. ἀράβων] ἀρράβων B.C.F.G. ὁμωνύμους] ὁμωνύμοις B. 11. ὁ πολυΐστωρ] οὗτος B. qui om. seqq. usque ad καρπῶσαι. b 5. ἐπιθεῖναι] ἐπιθῆναι C.

sapientiæ laude præstaret, solitudinem percurrisse ac lustrasse universam: tum duabus ductis uxoribus, altera quidem indigena et affini, Ægyptia vero altera, quæ servitutem ante serviebat; ex Ægyptia liberos duodecim genuisse, qui in Arabiam profecti eam inter se diviserint, locique hominibus principes imperarint: ex quo factum sit, ut reges Arabum duodecim
3 primis illis cognomines ad nostra usque tempora numerentur. Ex legitima autem uxore filium unicum suscepisse, cujus nomen apud Græcos Γέλωτα, hoc est risum sonet, quique Abraamo seniore jam defuncto, liberos ex conjuge indigena duodecim procrearit, quorum postremo Josepho nomen fuit, a quo Moses tertius numeretur.

4 Hæc Polyhistor, qui nonnullis interjectis rursus ita subdit:

Paulo post jussum a Deo Abraamum fuisse ait, ut Isaacum filium ipsi in holocaustum immolaret, eumque continuo adolescente secum in montem educto, succendisse pyram, eique simul Isaacum imposuisse. Verum ipsi, cum jamjam filium jugulaturus esset, ab angelo facinus inhibente

ΑΛΕΞΑΝΔΡΟΥ

τὸν μὲν παῖδα καθελεῖν ἀπὸ τῆς πυρᾶς, τὸν δὲ κριὸν καρπῶσαι.

Φησὶ δὲ περὶ τούτου καὶ Φίλων ἐν τῷ πρώτῳ τῶν Περὶ τὰ c Ἱεροσόλυμα,

Ἔκλυον ἀρχεγόνοισι τὸ μυρίον ὥς ποτε θεσμοῖς
Ἀβραὰμ κλυτοηχὲς ὑπέρτερον ἅμματι δεσμῶν
παμφαὲς, πλήμμυρε, μεγαυχητοῖσι λογισμοῖς,
θειοφιλῆ θέλγητρα. Λιπόντι γὰρ ἀγλαὸν ἕρκος d
αἰνοφύτων, ἔκκαυμα βριήπυος αἰνετὸς ἴσχων,
ἀθάνατον ποίησεν ἑὴν φάτιν, ἐξ ὅτ' ἐκείνου
ἔκγονος αἰνογόνοιο πολύμνιον ἔλλαχε κῦδος.

καὶ τὰ ἑξῆς· οἷς μετ' ὀλίγα ἐπιφέρει,

Ἀρτιχερὸς θηκτοῖο ξιφηφόρον ἐντύνοντος
λήμματι, καὶ σφαράγοιο παρακλιδὸν ἀθροισθέντος,
Ἀλλ' ὁ μὲν ἐν χείρεσσι κερασφόρον ὤπασε κριόν. p. 422

καὶ τὰ τούτοις ἑπόμενα.

b 9. καθελεῖν] καθελθεῖν F. c 4. περὶ τὰ] τὰ om. B.C.F.G. Iidem mox Φίλωνος περὶ τοῦ αὐτοῦ. 6. ὥς ποτε] ὥποτε B. 10. μεγαυχήτοισι] μεγαυχέτοισι D.E. d. θειοφιλῆ] θεοφιλῆ B. θέλγητρα] θέλγηθρα I. 7. ἔγγονος] ἔκγονος B. ἔγγογις F. ἔγγοης C.G. 9. οἷς μετ'—ἀθροισθέντος om. B. 10. ἀρτιχειρὸς] ἀρτιχερὸς C. ἀρτὶ χειρὸς D. ἄρτι χερὸς F.G. θηκτοῖο] θνητοῖο C.F.G.

p. 422. ἀλλ'—χείρεσσι] καὶ—χείρεσι B. qui mox om. καὶ τὰ τούτοις —γραφῆς quorum loco ταῦτα μὲν οὗτος. Tum addunt B.C.F.G. ἀπὸ τῆς Ἰωσήπου ἀρχαιολογίας.

arietem ad sacrificium oblatum esse, quem ille subducto pyræ filio immolarit.

Hoc ipsum Philo libro primo eorum, quibus res ad Hierosolyma pertinentes complexus est, his versibus cecinit,

*   *   *   *   *

*   *   *   *   *

*   *   *   *   *

2 Ταῦτα μὲν δὴ ἀπὸ τῆς προειρημένης τοῦ Πολυΐστορος γραφῆς. Καὶ ὁ Ἰώσηπος δὲ ἐν τῇ πρώτῃ τῆς Ἀρχαιολογίας τοῦ αὐτοῦ μνημονεύει διὰ τούτων·

ΙΩΣΗΠΟΥ

Λέγεται δὲ, ὡς οὗτος ὁ Ἀφρὴν στρατεύσας ἐπὶ τὴν Λιβύην κατέσχεν αὐτὴν, καὶ οἱ υἱωνοὶ αὐτοῦ κατοικήσαντες ἐν αὐτῇ τὴν γῆν ἀπὸ τοῦ ἐκείνου ὀνόματος Ἀφρικὰ προσηγό-
3 ρευσαν. Μαρτυρεῖ δέ μου τῷ λόγῳ Ἀλέξανδρος ὁ Πολυΐστωρ, λέγων οὕτως· Κλεόδημος δέ φησιν ὁ προφήτης, ὁ b καὶ Μαλχᾶς, ἱστορῶν τὰ περὶ Ἰουδαίων, καθὼς καὶ Μωσῆς ἱστόρηκεν ὁ νομοθέτης αὐτῶν, ὅτι ἐκ Χεττούρας Ἀβραάμῳ ἐγένοντο παῖδες ἱκανοί· λέγει δὲ αὐτῶν καὶ τὰ ὀνόματα, ὀνο-
[247] 4 μάζων τρεῖς, Ἀφὲρ, Ἀσοὺρ, Ἀφράν. Καὶ ἀπὸ Ἀσοὺρ μὲν, τὴν Ἀσσυρίαν· ἀπὸ δὲ τῶν δύο, Ἀφρά τε καὶ Ἀφὲρ, πόλιν τε Ἀφρὰν, καὶ τὴν χώραν Ἀφρικὰ ὀνομασθῆναι. Τούτους δὲ Ἡρακλεῖ συστρατεῦσαι ἐπὶ Λιβύην καὶ Ἀνταῖον· c γήμαντα δὲ τὴν Ἀφρὰ θυγατέρα Ἡρακλέα, γεννῆσαι υἱὸν

a 5. ὁ Ἰώσ.] ὁ om. B. Mox δὲ om. C. τῆς ἀρχ.] τῆς om. B. qui οὕτω φησιν pro τοῦ αὐτοῦ—τούτων. 7. ἀφρὴν] σωφρὴν B.C.F.G. ὠφρὴν Jos. 10. Ἀφρικὰ] ἀφρικὰν Jos. 11. δέ μου τῷ λόγῳ] δέ μοι B. b. Κλεόδημος—Ἰουδαίων om. B. 2. Μαλχᾶς] Μάλχος ὁ Jos. 3. καθὼς] ὅτι B. 4. αὐτῶν om. B. χεττούρας] τῆς χεπτ. C. χετούρας D. τῆς χεττ. F.G. Tum ἀβραὰμ B. 6. ἀφὲρ] ἄφαρ C.F.G. ἀφέραν Jos. ἀσοὺρ] ἀσσουρὶ B. ἀσουρὶ C.G. ἀσυρὶ D. ἀσσυρὶ I. Mox ἀσσουρὶ B.C.F. σουρεὶμ, ἰαφρὰν Jos. 8. πόλιν δὲ F.

2 Atque hæc ex laudato Polyhistoris opere. Cujus etiam Josephus libro Antiquitatum primo his verbis mentionem facit:

Joseph. Ant. Jud. I. 15. p. 44.

Afrenem illum, inquit, Libyam expeditione in eam suscepta occupasse memorant, quam ejus posteri collocatis in ea sedibus, illius ex nomine
3 Africam nuncuparint. Cujus ego rei testem Alexandrum Polyhistorem habeo, dum sic loquitur. Cleodemus vates, quem et Malchan plerique vocant, quique rerum Judaicarum scripsit historiam, id ipsum quod a Moyse Judæorum legislatore narratur, de Abraamo commemorat, natos ei plures ex Chettura liberos fuisse, e quibus tres etiam nominat, Aferem,
4 Asurem, Afranem. Et ab Asure quidem Assyriam, ab Afere autem atque Afrane cum Afran urbem, tum Africam universam nomen accepisse. Hos porro Herculis in Libyam Antæumque moventis socios fuisse, ipsumque Herculem ex Afranis filia, quam uxorem duxerat, Diodorum filium susce-

ΙΩΣΗΠΟΥ

ἐξ αὐτῆς Διόδωρον. Τούτου δὲ γενέσθαι Σοφωνᾶν, ἀφ' οὗ τοὺς βαρβάρους Σοφὰς λέγεσθαι.

Τὰ μὲν οὖν περὶ τοῦ Ἀβραὰμ ὡς ἐν ὀλίγοις τοσαῦτα παρακείσθω.

21 Ἀπίωμεν δὲ πάλιν ἐπὶ τὸν Πολυΐστορα. d

ΑΛΕΞΑΝΔΡΟΥ

Δημήτριός φησι τὸν Ἰακὼβ γενόμενον ἐτῶν ἑβδομήκοντα πέντε φυγεῖν εἰς Χαρρὰν τῆς Μεσοποταμίας, ἀποσταλέντα ὑπὸ τῶν γονέων διὰ τὴν πρὸς τὸν ἀδελφὸν κρυφίαν ἔχθραν Ἠσαῦ, διὰ τὸ εὐλογῆσαι αὐτὸν πατέρα δοκοῦντα εἶναι τὸν
2 Ἠσαῦ, καὶ ὅπως λάβῃ ἐκεῖθεν γυναῖκα. Ἀφορμῆσαι οὖν τὸν Ἰακὼβ εἰς Χαρρὰν τῆς Μεσοποταμίας, τὸν μὲν πατέρα καταλιπόντα Ἰσαὰκ ἐτῶν ἑκατὸν τριάκοντα ἑπτὰ, αὐτὸν δὲ
3 ὄντα ἐτῶν ἑβδομήκοντα ἑπτά. Διατρίψαντα οὖν αὐτὸν ἐκεῖ ἑπτὰ ἔτη Λάβαν τοῦ μητρῴου δύο θυγατέρας γῆμαι, Λείαν p. 423
καὶ Ῥαχὴλ, ὄντα ἐτῶν ὀγδοήκοντα τεσσάρων· καὶ γενέσθαι

c 3. Σοφωνᾶν] Σοφωνῆς D. Σοφῶνα Jos. qui mox Σόφακας. 6. παρακείσθω om. B. qui mox om. πάλιν. d. πολυΐστορα] Inserunt B.C.F.G. Δημητρίου περὶ τοῦ Ἰακὼβ ἀπὸ τῆς αὐτῆς τοῦ πολυΐστορος γραφῆς. 4. ἀποσταλέντα] ἀποσταλλέντα B. 7. αὐτὸν] αὐτὸν τὸν F.G. δοκοῦντα εἶναι τὸν] ὡς B. 9. ἀφορμῆσαι—μεσοποταμίας om. B. οὖν] οὖν τὸν C.F.G. 10. τὸν—καταλιπόντα] καὶ τὸν—καταλιπεῖν B. 12. ἐτῶν] ἐτῶν ὄντα B. qui mox ὄντα om. 13. διατρίψαντα] διατρίβαντα C. ἑπτὰ ἔτη] ἔτη ζ' B.C.F.G.
p. 423. μητρῴου] δημητρίου C.

pisse, qui Sophonan deinceps genuerit, a quo barbari Sophæ appellati fuerint.

Verum de Abraamo quidem breviter hæc nos retulisse sufficiat.

21 Deinceps ad Polyhistorem redeamus.

Demetrius, inquit, auctor est Jacobum annos quinque ac septuaginta natum, Charram Mesopotamiæ civitatem confugisse, idque parentum suorum voluntatem sequutum, partim ut occulto sese Esau fratris odio subduceret, paternæ jactura benedictionis, quam sibi ipse furtim simulata Esau specie Jacobus expresserat, concitato; partim ut inde uxorem du-
2 ceret. Sic igitur eum, relicto Isaaco parente septimum ac trigesimum supra centesimum annum agente, hanc in urbem pervenisse, ubi jam ipse
3 annum septimum ac septuagesimum attigisset. Eundem post septem annos, quam ibi versatus erat, filias Labani materni avunculi duas, Liam et Rachelem duxisse, circa annum ætatis quartum et octogesimum, alio-

ΑΛΕΞΑΝΔΡΟΥ

ἐν ἑπτὰ ἔτεσιν ἄλλοις αὐτῷ παιδία ιβ'· ὀγδόῳ μὲν ἔτει, μηνὶ
δεκάτῳ, Ῥουβίν· καὶ τῷ ἔτει δὲ τῷ ἐννάτῳ, μηνὶ ὀγδόῳ, Συ-
μεών· καὶ τῷ ἔτει δὲ τῷ δεκάτῳ, μηνὶ ἕκτῳ, Λευίν· τῷ δὲ
ἑνδεκάτῳ ἔτει, μηνὶ τετάρτῳ, Ἰούδαν. Ῥαχήλ τε μὴ τίκτου-
σαν ζηλῶσαι τὴν ἀδελφὴν, καὶ παρακοιμίσαι τῷ Ἰακὼβ τὴν
ἑαυτῆς παιδίσκην Ζελφὰν, τῷ αὐτῷ χρόνῳ ᾧ καὶ Βάλλαν b
συλλαβεῖν τὸν Νεφθαλεὶμ, τῷ ἑνδεκάτῳ ἔτει, μηνὶ πέμπτῳ,
καὶ τεκεῖν τῷ δωδεκάτῳ ἔτει μηνὶ δευτέρῳ υἱὸν, ὃν ὑπὸ Λείας
Γὰδ ὀνομασθῆναι· καὶ ἐκ τῆς αὐτῆς τοῦ αὐτοῦ ἔτους καὶ
μηνὸς δωδεκάτου ἕτερον τεκεῖν, ὃν καὶ αὐτὸν προσαγορευθῆναι
4 ὑπὸ Λείας Ἀσήρ. Καὶ Λείαν πάλιν ἀντὶ τῶν μήλων τῶν
μανδραγόρου, ἃ Ῥουβὶν εἰσενεγκεῖν παρὰ Ῥαχὴλ, συλλαβεῖν
ἐν γαστρὶ, καὶ τῷ αὐτῷ χρόνῳ τὴν παιδίσκην αὐτῆς Ζελφὰν,
τῷ δωδεκάτῳ ἔτει, μηνὶ τρίτῳ, καὶ τεκεῖν τοῦ αὐτοῦ ἔτους c
5 μηνὸς δωδεκάτου υἱὸν, καὶ ὄνομα αὐτῷ θέσθαι Ἰσσαχάρ. Καὶ
πάλιν Λείαν τῷ τρισκαιδεκάτῳ ἔτει μηνὶ δεκάτῳ υἱὸν ἄλλον
τεκεῖν, ᾧ ὄνομα Ζαβουλὼν, καὶ τὴν αὐτὴν τῷ τεσσαρεσκαι-
δεκάτῳ ἔτει μηνὶ ὀγδόῳ τεκεῖν υἱὸν ὄνομα Δάν. Ἐν ᾧ καὶ

a 5. ῥουβὶν] ῥουβεὶμ C.F.G. 6. ἐννάτῳ] ἐνάτῳ B. 7. τῷ δεκάτῳ] τῷ om. F. 9. ζηλῶσαι] ζηλῶσαν B. 10. παρακοιμίσαι] παρακοιμῆσαι B.F. b. Βάλλαν] βάλαν F. 3. δευτέρῳ μηνὶ] μηνὶ δευτέρῳ C.F.G.I. μηνὶ β' B. 4. υἱὸν ὃν] ὃν om. F. γὰθ] γὰδ B.C.F. 9. ἃ ῥουβὶν] ἀρουβὴλ B.C.G.I. ἀρυβὴλ F. 10. καὶ τὴν παιδίσκην ζελφὰν] τε ἐν γαστρὶ B. ἐν γ. C.F. Post χρόνῳ addunt B.C.F.G. καὶ τὴν παιδίσκην αὐτῆς (αὐτοῦ F.) ζελφᾶν. Mox ἔτει om. C.F.G. c 2. καὶ ὄν.] καὶ om. B. qui mox ἰσαχ. 7. ὄνομα om. F.

rumque septem annorum spatio liberos suscepisse omnino duodecim.
Quippe octavi anni mense decimo Rubenum genuisse, noni octavo Sy-
meonem, decimi sexto Levinum, undecimi quarto Judam. Tum vero a
Rachele, quod sterilis esset, muliebri adversus sororem invidia flagrante,
Zelpham ancillam in Jacobi lectum eodem tempore summissam fuisse, quo
etiam Balla Nephthalimum conceperit, anni scilicet undecimi mense
quinto, ac duodecimi secundo filium peperisse, quem Gathum Lia nomi-
narit; alterumque deinceps ejusdem anni mense duodecimo, cui Aseris
4 nomen eadem Lia dederit. Rursum vero Liam pro mandragoræ pomis,
quæ Rubenus ad Rachelem attulerat, eodemque tempore Zelpham an-
cillam, hoc est anni duodecimi mense tertio filium concepisse, ejusdemque
5 anni duodecimo genuisse, quem Issacharem nuncuparit. Atque iterum
Liam decimi tertii decimo alterum suscepisse nomine Zabulonem; iterum-
que decimi quarti octavo Danum peperisse. Rachelem vero, quum eodem

ΑΛΕΞ-ΑΝ-ΔΡΟΥ

Ῥαχὴλ λαβεῖν ἐν γαστρὶ τῷ αὐτῷ χρόνῳ, ᾧ καὶ Λείαν τεκεῖν θυγατέρα Δείναν, καὶ τεκεῖν τῷ τεσσαρεσκαιδεκάτῳ ἔτει μηνὶ ὀγδόῳ υἱὸν, ὃν ὀνομασθῆναι Ἰωσὴφ, ὥστε γεγονέναι ἐν τοῖς
6 ἑπτὰ ἔτεσι τοῖς παρὰ Λάβαν δώδεκα παιδία. Θέλοντα δὲ d
τὸν Ἰακὼβ πρὸς τὸν πατέρα εἰς Χαναὰν ἀπιέναι, ἀξιωθέντα ὑπὸ Λάβαν ἄλλα ἔτη ἓξ μεῖναι, ὥστε τὰ πάντα αὐτὸν μεῖναι
7 ἐν Χαρρὰν παρὰ Λάβαν ἔτη εἴκοσι. Πορευομένῳ δὲ αὐτῷ εἰς Χαναὰν ἄγγελον τοῦ Θεοῦ παλαῖσαι, καὶ ἅψασθαι τοῦ πλάτους τοῦ μηροῦ τοῦ Ἰακώβ· τὸν δὲ ναρκήσαντα ἐπισκάζειν· ὅθεν οὐκ ἐσθίεσθαι τῶν κτηνῶν τὸ ἐν τοῖς μηροῖς νεῦρον. Καὶ φάναι αὐτῷ τὸν ἄγγελον, ἀπὸ τοῦδε μηκέτι Ἰακὼβ, ἀλλ'
8 Ἰσραὴλ ὀνομασθήσεσθαι. Καὶ ἐλθεῖν αὐτὸν τῆς Χαναὰν γῆς εἰς ἑτέραν πόλιν Σικίμων, ἔχοντα παιδία Ῥουβὶν ἐτῶν ιβ' μηνῶν δυοῖν, Συμεῶνα ἐτῶν ιβ' μηνῶν τεσσάρων, Λευὶν ἐτῶν ιβ' μηνῶν ἓξ, Ἰούδαν ἐτῶν θ' μηνῶν ὀκτὼ, Νεφθαλεὶμ ἐτῶν p.424

c 9. δείναν] δίναν B. 10. ὃν ὀνομασθῆναι] ᾧ ὄνομα θέσθαι B. d. παιδία] παῖδας B. 3. Χαναὰν] χαρρὰν C.F.G. 4. τὰ πάντα αὐτὸν] τὰ et αὐτὸν om. B. Idem om. παρὰ λάβαν. 7. παλλεῦσαι] παλαῖσαι B.F.G. παλέσαι C. 10. οὐ καθίεσθαι] οὐκ ἐσθίεσθαι B.C. F.G. Vigeri margo. Mox B. τὸ ἐν τοῖς μηροῖς τῶν κτηνῶν. 11. αὐτῷ om. B. 12. μηκέτι] μὴ B. ὀνομασθήσεσθαι om. F. 13. τῆς Χαναὰν γῆς om. B. τῆς Χαναναίας C.F.G. 14. ἑτέραν] πόλιν B. ἑτέραν πόλιν C.F.G. ῥουβὶν] ῥουβὶμ B.I. ῥουβεὶμ F. ῥυβεὶμ G. Συμεῶνα—ἑκατὸν ἑπτὰ om. B. ιβ'] ια' C.F.G. Λευὶν ἐτῶν ιβ'] Λ. ἐ. δέκα C.F.G.

fere tempore, quo Lia Dinam filiam susceperat, uterum gestare cœpisset, anni decimi quarti mense octavo filium procreasse, quem Josephum appellarit; atque ita liberos omnino duodecim Jacobo, septem annis quibus
6 apud Labanum vixerat, natos fuisse. Tum vero, ad patrem licet in terram Chananæam redire cupientem, Labani tamen precibus victum alios sex annos ibidem commoratum esse, itaque Charræ apud Labanum totos et
7 continentes viginti annos egisse. Quibus exactis, patriam repetenti obvium Dei angelum, postquam aliquandiu cum eo luctatus esset, femur ejus qua parte latius est percussisse, Jacobumque simul eo membro torpescentem claudicare cœpisse: (quo factum deinceps, ut ex pecudibus femoris nervum Judæorum attingat nemo.) Ab angelo autem futurum audiisse,
8 ut in posterum non Jacobus, sed Israel vocaretur. Itaque in eam terræ Chanaan successisse partem, quæ Sicimis adversa esset, liberorum suorum comitatu stipatum. E quibus Rubenus annos duodecim mensesque duos natus erat, Simeon annos totidem et menses quatuor, Levinus annos duodecim, mensesque sex, Judas annos novem ac menses octo, Nephthalimus

ΑΛΕΞΑΝΔΡΟΥ

ὀκτὼ μηνῶν δέκα, Γὰδ ἐτῶν ὀκτὼ μηνῶν δέκα, Ἀσὴρ ἐτῶν
ὀκτὼ, Ἰσσαχὰρ ἐτῶν ὀκτὼ, Ζαβουλὼν ἐτῶν ἑπτὰ μηνῶν
δυοῖν, Δείναν ἐτῶν ἓξ μηνῶν τεσσάρων, Ἰωσὴφ ἐτῶν ἓξ μη-
9 νῶν τεσσάρων. Παροικῆσαι δὲ Ἰσραὴλ παρὰ Ἐμμὼρ ἔτη
δέκα, καὶ φθαρῆναι τὴν Ἰσραὴλ θυγατέρα Δείναν ὑπὸ Συχὲμ
τοῦ Ἐμμὼρ υἱοῦ, ἐτῶν οὖσαν δεκαὲξ μηνῶν τεσσάρων. Ἐξ-
[248] αλλομένους δὲ τοὺς Ἰσραὴλ υἱοὺς, Συμεῶνα μὲν ὄντα ἐτῶν
εἰκοσιενὸς μηνῶν τεσσάρων, Λευὶν δὲ ἐτῶν εἴκοσι μηνῶν ἕξ, b
ἀποκτεῖναι τόν τε Ἐμμὼρ, καὶ Συχὲμ τὸν υἱὸν αὐτοῦ, καὶ
πάντας τοὺς ἄρσενας, διὰ τὴν Δείνας φθοράν· Ἰακὼβ δὲ
10 τότε εἶναι ἐτῶν ἑκατὸν ἑπτά. Ἐλθόντα δὲ οὖν αὐτὸν εἰς
Λουζὰ τῆς Βαιθὴλ, φάναι τὸν Θεὸν μηκέτι Ἰακὼβ ἀλλ'
Ἰσραὴλ ὀνομάζεσθαι. Ἐκεῖθεν δὲ ἐλθεῖν εἰς Χαφραθὰ, ἔν-
θεν παραγενέσθαι εἰς Ἐφραθὰ, ἣν εἶναι Βηθλεέμ, καὶ γεννῆ-
σαι αὐτὸν ἐκεῖ Βενιαμὶν, καὶ τελευτῆσαι Ῥαχὴλ, τεκοῦσαν
τὸν Βενιαμὶν, συμβιῶσαι δ' αὐτῇ τὸν Ἰακὼβ ἔτη εἰκοσιτρία.
11 Αὐτόθεν δὲ ἐλθεῖν τὸν Ἰακὼβ εἰς Μαμβρὶ τῆς Χεβρὼν, c
πρὸς Ἰσαὰκ τὸν πατέρα. Εἶναι δὲ τότε Ἰωσὴφ ἐτῶν δε-

p. 424. δέκα Γὰδ] τριῶν Γὰδ C.F.G. 8. Ἐμμὼρ] ἐμὼρ D. b 5. ἐλθόντα δὲ] καὶ ἐλθόντα εἰς λουζὰ B. ἐλθόντα τε C.D.F.G. Mox βαιθὴλ F.G. pro βαθήλ. 6. Ἰσραὴλ] εἰς ἰσραὴλ D. 8. Χαφραθὰ] χαφθαρὰ F. et mox ἔφθαρα. 10. τελευτῆσαι] θνῆξαι B. 11. συμβιῶσαι] συμβιῶναι B. αὐτῇ om. B. c. μαμβρὶ] μαβρῇ B. μαβρὶ C. 2. ἐτῶν om. B. Supra τὸν ἰωσὴφ F.G.

annos octo, mensesque decem, Gadus totidem, Aser et Issachar annos octo, Zabulon annos septem mensesque duos, Dina et Josephus annos sex
9 et menses quatuor. Cæterum Israelem annis sibi decem juxta Emmorem domicilium delegisse: cujus filiæ Dinæ annos natæ sedecim mensesque quatuor, cum Sychemus Emmoris filius stuprum obtulisset, Symeonem, qui mensem quartum supra annum vicesimum primum, et Levinum qui mensem sextum supra annum vicesimum ageret, Israelis filios, sororis injuria graviter commotos, Emmorem ac Sychemum ejus filium, maresque universos impetu facto cecidisse; quo tempore annorum septem supra
10 centum Jacobus esset. Eum porro, cum Lusam Bathelis urbem venisset, a Deo jussum, relicto Jacobi nomine, Israelem nuncupari cœpisse. Tum Caphratham, indeque Ephratham, quam Bethleemum vocant, petiisse, ubi Rachel, suscepto Benjamino, diem supremum obierit, postquam annos
11 tres ac viginti cum ea Jacobus vixisset: inde rursus Mambren Chebronis oppidum ad Isaacum patrem venisse. At Josephum eo tempore cum esset

ΑΛΕΞ-
ΑΝ-
ΔΡΟΥ

καεπτὰ, καὶ πραθῆναι αὐτὸν εἰς Αἴγυπτον, καὶ ἐν τῷ δεσμω-
τηρίῳ μεῖναι ἔτη δεκατρία, ὥστ' εἶναι αὐτὸν ἐτῶν τριάκοντα,
Ἰακὼβ δὲ ἐτῶν ἑκατὸν δέκα, ἐν ᾧ καὶ τελευτῆσαι τὸν Ἰσαὰκ
12 ἔτει ἑνὶ ἔμπροσθεν, ἐτῶν ὄντα ἑκατὸν ὀγδοήκοντα. Κρίναντα
δὲ τῷ βασιλεῖ τὸν Ἰωσὴφ τὰ ἐνύπνια, ἄρξαι Αἰγύπτου ἔτη
ἑπτὰ, ἐν οἷς καὶ συνοικῆσαι Ἀσενέθ, Πεντεφρῆ τοῦ Ἡλιου-
πόλεως ἱερέως θυγατρὶ, καὶ γεννῆσαι Μανασσῆν καὶ Ἐφραΐμ· d
13 καὶ τοῦ λιμοῦ ἐπιγενέσθαι ἔτη β'. Τὸν δὲ Ἰωσὴφ ἔτη ἐν-
νέα εὐτυχήσαντα, πρὸς τὸν πατέρα μὴ πέμψαι, διὰ τὸ ποι-
μένα αὐτόν τε καὶ τοὺς ἀδελφοὺς εἶναι· ἐπονείδιστον δὲ Αἰ-
γυπτίοις εἶναι τὸ ποιμαίνειν. Ὅτι δὲ διὰ τοῦτο οὐκ ἔπεμψεν
αὐτὸν δεδηλωκέναι. Ἐλθόντων γὰρ αὐτοῦ τῶν συγγενῶν,
φάναι αὐτοῖς, ἐὰν κληθῶσιν ὑπὸ τοῦ βασιλέως καὶ ἐρωτῶνται
14 τί διαπράσσονται, λέγειν κτηνοτρόφους αὐτοὺς εἶναι. Δια-
πορεῖσθαι δὲ, διὰ τί ποτε ὁ Ἰωσὴφ Βενιαμὶν ἐπὶ τοῦ ἀρίστου
πενταπλασίονα μερίδα ἔδωκε, μὴ δυναμένου αὐτοῦ τοσαῦτα
καταναλῶσαι κρέα. Τοῦτο οὖν αὐτὸν πεποιηκέναι διὰ τὸ p. 425

c 6. ἑκατὸν δέκα] ρκ' B.C.F.G. 8. ὄντα om. B. 9. βασιλεῖ τὸν Ἰωσὴφ] τὸν Ἰωσὴφ τῷ βασιλεῖ C.F.G. 11. πεντεφρῆ] πετεφρῆ B.F. d. μανασσῆν] μανασῆν B.C. 3. ἔτη om. F. 5. ἐπονείδιστον δὲ] δι' ὀνείδους εἶναι B. Supra τοὺς om. F. 6. ποιμαίνειν] ποιμένειν C. 8. αὐτοῖς] πρὸς αὐτοὺς B. Supra γὰρ om. D.E.I. 11. διὰ τί ποτε ὁ] τί δήποτε B. 12. ἐπὶ] ὑπὸ F.G. πενταπλασίονα] πενταπλάσιον B.F.G.

annorum septemdecim, Ægyptiis venditum, totos tredecim annos in vin-
culis fuisse, donec ipse quidem tricesimum, Jacobus vero decimum supra
centesimum ætatis annum confecisset, Isaaco jam anno superiore, hoc est
12 ætatis octogesimo supra centesimum vita functo. Ac Josephum quidem
post felicem regis somniorum explicationem, toti Ægypto annis septem
præfuisse, quo tempore Asenethem Pentephræ Heliopoleos sacerdotis
filiam conjugem duxerit, atque ex ea Manassem Ephraimumque susce-
13 perit. Tum annis duobus fame laborari cœptum. Eundem vero novem
annorum spatio, quibus fortunate admodum vixerit, patrem accersere
noluisse, quod tam ipse quam fratres pascendis ovibus operam darent, quæ
vitæ ratio apud Ægyptios probro duceretur. Atque hanc ei cur patrem
non acciret causam fuisse, ab eo re ipsa declaratum. Fratribus enim suis,
cum ad eum aliquando venissent, hoc in mandatis ipsum dedisse, uti, si
forte a rege accerserentur, rogati ecquod vitæ genus profiterentur, equis
14 alendis vacare sese responderent. Benjaminum quod attinet, quæsitum a
plerisque, quamobrem Josephus inter prandendum partem ei quintuplo
singulis majorem apponi voluerit, cum tot cibis adolescens par esse non
posset. Cujus rei hanc ille rationem afferebat, quod Jacobo patri septem

ΑΛΕΞ-
ΑΝ-
ΔΡΟΥ

ἐκ τῆς Λείας τῷ πατρὶ αὐτοῦ γεγονέναι υἱοὺς ἑπτὰ, ἐκ δὲ
Ῥαχὴλ τῆς μητρὸς αὐτοῦ δύο· διὰ τοῦτο τῷ Βενιαμὶν πέντε
μερίδας παραθεῖναι, καὶ αὐτὸν λαβεῖν μίαν· γενέσθαι οὖν
15 ἑπτὰ, ὅσας καὶ τοὺς ἐκ τῆς Λείας υἱοὺς λαβεῖν. Ὡσαύτως δὲ
καὶ ἐπὶ τοῦ τὰς στολὰς δοῦναι ἑκάστῳ διπλᾶς, τῷ δὲ Βενια-
μὶν πέντε καὶ τριακοσίους χρυσοῦς, καὶ τῷ πατρὶ δὲ ἀπο-
στεῖλαι κατὰ ταὐτὰ, ὥστε τὸν οἶκον αὐτοῦ τῆς μητρὸς εἶναι b
16 ἴσον. Οἰκῆσαι δὲ αὐτοὺς ἐν γῇ Χαναὰν, ἀφ' οὗ ἐκλεγῆναι
Ἀβραὰμ ἐκ τῶν ἐθνῶν καὶ μετελθεῖν εἰς Χαναὰν, Ἀβραὰμ
ἐτῶν εἰκοσιπέντε, Ἰσαὰκ ἐτῶν ἑξήκοντα, Ἰακὼβ ἐτῶν ἑκατὸν
17 τριάκοντα, γίνεσθαι τὰ πάντα ἔτη ἐν γῇ Χαναὰν σιε'. Καὶ
τῷ τρίτῳ ἔτει λιμοῦ οὔσης ἐν Αἰγύπτῳ, ἐλθεῖν εἰς Αἴγυπτον
τὸν Ἰακὼβ, ὄντα ἐτῶν ἑκατὸν τριάκοντα, Ῥουβὶν ἐτῶν με',
Συμεῶνα ἐτῶν μδ', Λευὶν ἐτῶν μγ', Ἰούδαν ἐτῶν μβ' μηνῶν
τριῶν, Ἀσὴρ ἐτῶν μ' μηνῶν ὀκτώ, Νεφθαλεὶμ ἐτῶν μα' μη- c
νῶν ζ', Γὰδ ἐτῶν μα' μηνῶν γ', Ζαβουλὼν ἐτῶν μ', Δείναν
18 ἐτῶν λθ', Βενιαμὶν ἐτῶν κη'. Τὸν δὲ Ἰωσὴφ φησι γενέσθαι
ἐν Αἰγύπτῳ ἔτη λθ'. Εἶναι δὲ ἀπὸ τοῦ Ἀδὰμ ἕως τοῦ

p. 425. 4. παραθεῖναι] παραθῆναι D. 5. καὶ αὐτὸν] αὐτὸν δὲ B. μίαν] ἴσ. δύο Vigeri margo. b 2. Χαναὰν] Χανὰν C. 4. ἐτῶν om. B.C. 7. οὔσης] ὄντος B.C.F.G. 9. ἐτῶν om. B. Mox Ῥουβεὶμ C. Usque ad ἐτῶν κη' om. B. 11. τριῶν] δ' C.F.G. qui Ἀσὴρ—ὀκτὼ (κ' F.) ponunt ante Ζαβουλών. c. μηνῶν ζ'—μηνῶν γ' om. C. 4. φησὶ om. B.C. 5. ἀπὸ τοῦ] τοῦ om. B.C.F.G.

ex Lia, ex Rachele vero matre sua, duo tantum liberi nati essent; eoque
Benjamino partes quinque, sibi autem duas tribuisse, ut cum septenario
15 Liæ filiorum numero partium numerus æquaretur. Similiter stolas quidem
singulis geminas, at Benjamino quinque cum aureis trecentis dedisse, toti-
demque ad patrem misisse, uti ne qua in re materna familia alteri conce-
16 deret. Cæterum, ex quo Abraamus universis e gentibus divina voluntate
selectus in terram Chananæam primum concesserat, ipsum quidem annos
viginti quinque, Isaacum vero sexaginta, Jacobum denique triginta supra
centum, ibidem egisse, qui omnes annorum quindecim supra ducentos
17 summam efficiant. Atque hoc ipso, qui famis apud Ægyptios tertius
erat, cunctam eorum familiam in Ægyptum migrasse, cum Rubenus annos
quinque supra quadraginta natus esset, Symeon quatuor et quadraginta,
Levinus tres et quadraginta, Judas duos et quadraginta, cum tribus in-
super mensibus, Aser quadraginta et menses octo, Nepththalimus unum
et quadraginta mensesque septem, Gadus totidem mensesque tres, Zabulon
18 quadraginta, Dina novem ac triginta, Benjaminus octo et viginti. Jose-
phum autem in Ægypto annis novem ac triginta vixisse. Itaque ab

ΑΛΕΞΑΝΔΡΟΥ

εἰσελθεῖν εἰς Αἴγυπτον τοὺς τοῦ Ἰωσὴφ συγγενεῖς ἔτη γχκδʹ·
ἀπὸ δὲ τοῦ κατακλυσμοῦ ἕως τῆς Ἰακὼβ παρουσίας εἰς
Αἴγυπτον ἔτη ατξʹ· ἀφ᾽ οὗ δὲ ἐκλεγῆναι Ἀβραὰμ ἐκ τῶν
ἐθνῶν καὶ ἐλθεῖν ἐκ Χαρρὰν εἰς Χαναὰν ἕως εἰς Αἴγυπτον d
19 τοὺς περὶ Ἰακὼβ ἐλθεῖν ἔτη σιεʹ. Ἰακὼβ δὲ ἐκ Χαρρὰν
πρὸς Λάβαν ἐλθεῖν, ἐτῶν ὄντα πʹ, καὶ γεννῆσαι Λευίν· Λευὶν
δὲ ἐν Αἰγύπτῳ ἐπιγενέσθαι ἔτη ιζʹ ἀφ᾽ οὗ ἐκ Χαναὰν αὐτὸν
ἐλθεῖν εἰς Αἴγυπτον, ὥστε εἶναι αὐτὸν ἐτῶν ξʹ, καὶ γεννῆσαι
Κλάθ· τῷ αὐτῷ δὲ ἔτει ᾧ γενέσθαι Κλὰθ, τελευτῆσαι Ἰα-
κὼβ ἐν Αἰγύπτῳ, εὐλογήσαντα τοὺς Ἰωσὴφ υἱοὺς, ὄντα ἐτῶν
ρμζʹ, καταλιπόντα Ἰωσὴφ ἐτῶν νϛʹ. Λευὶν δὲ γενόμενον
ἐτῶν ρλζʹ τελευτῆσαι, Κλὰθ δὲ ὄντα ἐτῶν μʹ γεννῆσαι
[249] Ἀμρὰμ, ὃν ἐτῶν εἶναι ιδʹ ἐν ᾧ τελευτῆσαι Ἰωσὴφ ἐν Αἰ-
γύπτῳ ὄντα ριʹ ἐτῶν· Κλὰθ δὲ γενόμενον ἐτῶν ἑκατὸν λγʹ
τελευτῆσαι. Ἀμρὰμ λαβεῖν γυναῖκα τὴν τοῦ θείου θυγα- p. 426
τέρα Ἰωχαβὲτ, καὶ ὄντα ἐνιαυτῶν οεʹ γεννῆσαι Ἀαρὼν καὶ

c 8. ἰακὼβ] τοῦ ἰακ. B. 10. ἐκ Χαρ.] ἐν Χαρ. B. et sic infra. d. ἂν εἰς] ἂν om. B.C.F.G.I. 5. ἐτῶν] τῆς E. 7. ἐτῶν ξʹ] ξʹ ἐτῶν B. αὐτῷ] τῷ αὐτῷ B.C.D.E.F.G.I. 8. γενέσθαι] γεννῆσαι B. 10. υἱοὺς om. D. 11. ἐτῶν] ὄντα ἐτῶν F.G. 13. ἀβραὰμ] ἄμβραν B. qui mox ὃν ἐτῶν ρμζʹ καταλιπόντα ἰωσὴφ ὄντα ἐτῶν νϛʹ. omissis ἐν ᾧ—τελευτῆσαι. Dedi Ἀμρὰμ hic et infra. Facilis est confusio literarum μβ et μ. Sic paullo infra mss. nonnulli pro Ἰωχαβέτ præbent Ἰωχαμέτ. 14. ριʹ ἐτῶν] ἐτῶν ριʹ C.F.G. 15. ἑκατὸν λγʹ] ἐτῶν ρλγʹ C.F.G.

p. 426. ἀβραὰμ] ἄμβραν δὲ B. θυγατέρα] θυγατέραν B. Tum ἰωχαμὲτ C.F.G. 2. ἐνιαυτῶν] ἐτῶν C. Hinc usque ad ἀβραὰμ om. B.

Adamo ad illud usque tempus, quo Josephi cognatio in Ægyptum migravit, annos sexcentos et viginti quatuor supra ter mille numerari: a diluvio usque ad eundem Jacobi in Ægyptum adventum, trecentos et sexaginta supra mille: ex quo autem Abraamus ex gentium medio segregatus, Charra in terram Chananæam venerat, quindecim supra ducentos.
19 Porro Jacobum ad Labanum Charra pervenisse circiter octogenarium, ibique Levinum genuisse, qui anno decimo septimo quam in Ægyptum venerat, hoc est ætatis sexagesimo, Clathum procrearit; eoque ipso anno Jacobum in Ægypto, postquam Josephi liberis bene precatus esset, annosque quadraginta septem supra centum exegisset, diem obiisse, relicto Josepho annorum sex et quinquaginta. Addit Levinum anno ætatis trigesimo septimo supra centesimum vita excessisse; Clathum vero, annorum quadraginta cum esset, Abraamum genuisse, cujus anno decimo quarto, Josephus circa annum ætatis decimum supra centesimum obierit: supremum autem Clathi diem anno illius tricesimo tertio supra centesimum contigisse. Rursus, Abraamum cum avunculi sui filia, quam Iochabetem vocabant, matrimonium iniisse, ex eaque anno ætatis suæ quinto ac sep-

Μωσῆν· γεννῆσαι δὲ Μωσῆν τὸν Ἀμρὰμ ὄντα ἐτῶν οή, καὶ γενόμενον Ἀμρὰμ ἐτῶν ρλϛʹ τελευτῆσαι. ΑΛΕΞ-ΑΝ-ΔΡΟΥ

Ταῦτά μοι κείσθω ἀπὸ τῆς Ἀλεξάνδρου τοῦ Πολυΐστορος γραφῆς. Ἑξῆς ἐπισυνήφθω καὶ τάδε·

22 Τὰ δὲ Σίκιμά φησι Θεόδοτος ἐν τῷ περὶ Ἰουδαίων ἀπὸ b
Σικιμίου τοῦ Ἑρμοῦ λαβεῖν τὴν ὀνομασίαν· τοῦτον γὰρ καὶ κτίσαι τὴν πόλιν· κεῖσθαι δ' αὐτήν φησιν ἐν τῇ περὶ Ἰουδαίων οὕτως,

Ἡ δ' ἄρ' ἔην ἀγαθή τε, καὶ αἰγινόμος, καὶ ὑδρηλή,
οὐδὲ μὲν ἔσκεν ὁδὸς δολιχὴ πόλιν εἰσαφικέσθαι
ἀγρόθεν· οὐδέ ποτε δριὰ λαχνήεντα πονεῦσιν. c
ἐξ αὐτῆς δὲ μάλ' ἄγχι δύ' οὔρεα φαίνετ' ἐρυμνά,
ποίης τε πλήθοντα καὶ ὕλης· τῶν δὲ μεσηγὺ
ἀτραπιτὸς τέτμηται, ἀραιή, [αὐλῶπις·] ἐν δ' ἑτέρωθι
ἠδ' ἱερὴ Σικίμων καταφαίνεται, ἱερὸν ἄστυ,
νέρθεν ὑπὸ ῥίζῃ δεδμημένον, ἀμφὶ δὲ τεῖχος
λισσὸν ὑπώρειαν, ὑπὸ δ' ἔδραμεν αἰπύθεν ἕρκος. d

p. 426. 4. ἀβραὰμ] ἄμβραν C.F.G. 7. ἑξῆς] ἑξῆς δ' B. Mox τόδε C.F.G. pro τάδε. Deinde B.C.G. Θεοδότου περὶ τοῦ Ἰακώβ. b. σίκιμα] σίκιμι B. σίκημα D.E. 4. αὐτήν] αὐτὸν C.G. Tum φασι D. Mox delendum videtur περί. 8. ἔσκεν ὁδὸς] ἔση ἐν B. c. πονεῦσιν] πονοῦσιν C.F. πονεῦσι D. 2. ἐξ αὐτῆς—ἶκτο om. B. 6. τέτμητ' ἀραῆ] τέτμηται ἀραιὴ C.F.G.I. τ. ἀραιὴ D. τέτμηται ἀ. E. 8. ἱερὴ] ἑτέρη C.F.G. d. ἔδραμεν] ἔδρομεν C.D.F.G.I. Mox αἰπύεν Scaliger.

tuagesimo Aaronem, tertioque post anno Mosem suscepisse: ac tandem annos natum sex et triginta supra centum ex hac vita migrasse.

Atque hæc omnia ex Alexandri Polyhistoris annalibus. Quibus sequentia ex Theodoto commodum attexemus.

22 Ille enim eo quem de Judæis conscripsit libro, Sicima a Sicimo quodam Mercurii filio, ejus urbis conditore, nomen accepisse auctor est, cujus situm his expressit versibus:

Quippe hæc terra ferax, tenerisque aptissima capris,
Irriguique soli: brevis unde excursus in urbem.
At nulli fessos molli lanugine saltus
Hic recreant. Tecti juncto prope vertice montes
Hinc gemini excipiunt, herbasque, nemusque ministrant.
Quos inter raro angustus discrimine callis
Rumpit iter. Parte adversa se tollit in auras
Urbs ingens Sicimûm, radicem extructa sub imam:
Qua circum lævi consurgunt mœnia saxo,
Atque infra supraque urbem munimine cingunt.

ΑΛΕΞΑΝΔΡΟΥ

2 Ὕστερον δέ φησιν αὐτὴν ὑπὸ Ἑβραίων κατασχεθῆναι, δυναστεύοντος Ἐμμώρ· τὸν γὰρ Ἐμμὼρ υἱὸν γεννῆσαι Συχέμ. Φησὶ δέ,

Ἐνθένδε, ξένε, ποιμενόθι πόλιν ἤλυθ' Ἰακὼβ
εὐρεῖαν Σικίμων· ἐπὶ δ' ἀνδράσι τοῖσιν ἔτησιν
ἀρχὸς Ἐμὼρ σὺν παιδὶ Συχὲμ, μάλ' ἀτειρέε φῶτε.

3 Εἶτα περὶ Ἰακὼβ καὶ τὴν εἰς Μεσοποταμίαν αὐτοῦ παρουσίαν, καὶ τῶν δύο γυναικῶν γάμον, καὶ τὴν τῶν τέκνων γένεσιν, καὶ τὴν παρουσίαν τὴν ἐκ Μεσοποταμίας ἐπὶ τὰ Σίκιμα, p. 427

(Ἐπεὶ δ') Ἰακὼβ Συρίην κτηνοτρόφον ἷκτο, καὶ εὐρὺ
ῥεῖθρον Εὐφρήταο λίπεν ποταμοῦ κελάδοντος·
ἤλυθε γὰρ κἀκεῖθι λιπὼν δριμεῖαν ἐνιπὴν
αὐτοκασιγνήτοιο· πρόφρων ὑπέδεκτο δόμονδε
Λάβαν, ὅς οἱ ἔην μὲν ἀνεψιὸς, ἀλλὰ τότ' οἷος b
ἤνασσεν Συρίης, νεηγενὲς αἷμα λελογχώς.
Τῷ δὲ γάμον κούρης μὲν ὑπέσχετο καὶ κατένευσεν
ὁπλοτάτης· οὐ μὴν τελέθειν ἐπεμαίετο πάμπαν,

d 3. αὐτὴν] αὐτοὺς E. 4. Ἐμμὼρ] Ἐμὼρ ni fallor D. 11. ἀτηρέε] ἀτειρέε Scaliger. 13. δυοῖν] τῶν δύο F.G.
p. 427. τῆς ἐκ] τῆς om. F. τὴν ἐκ G. 3. εἰς δ' ἰακὼβ] ἐπεὶ δ' ἰακὼβ C.D.E.F.G.I. Mox κενοτρόφον E. ἷκτο] εἴατο C.F.G. ἵατο D.E.I. 5. εὐφρήταο om. B. εὐφητάω C. ἀφρήταο D.E. Tum λεῖπεν B.C. λεῖπε G. 7. ἤλυθε] ἤλυθι C. 9. πρόφρων] προφόρων C. 11. ὅς γ'] ὅς οἱ ἔτας B.D.E.I. ὅσοι ἔτας C.F. ὅσοι ἔτους G. Illud ἔην videtur a Stephano profectum. b. τότ' οἷος] τοθ' οἷος C.D.G. 2. νειηγενὲς] νεηγενὲς B.C.D.F.G.I. 4. κούρης] καὶ κού. C.F.G. 6. τελέθειν] τελέθον C. τελέθειν ἐπειμαίετο e corr. F.

2 Eandem ab Hebræis regnante Emmore occupatam fuisse, postmodum affirmat: Emmorem enim Sychemum genuisse. Sic autem cecinit,

Illinc, o hospes, tandem vaga liquit Jacobo
Pascua, et immensam Sicimum successit in urbem,
Dum socios Emmor populos, atque Emmore natus
Imperio premeret Sychemus, patri æmula pestis.

3 Tum Jacobi partim in Mesopotamiam adventum, partim nuptias duabus cum mulieribus initas, partim liberos ex utraque susceptos, partim denique hanc ipsam e Mesopotamiæ finibus Sicimorum in urbem migrationem exequitur,

At pecorum altricem in Syriam concedit Jacob,
Atque sonante vagos volventem gurgite fluctus
Deserit Euphratem: irati simul aspera fratris
Jurgia declinat. Blando pia tecta nepoti
Pectore Labanus, Syriæ tum, stirpe recenti,
Sceptra tenens, pandit. Cui mox promissa minoris,
(Sic male certa fides,) natæ connubiæ mutat,

ΑΛΕΞΑΝΔΡΟΥ

ἀλλὰ δόλον τολύπευσε, καὶ εἰς λέχος ἀνέρι πέμπε
Λείαν, ἥ οἱ ἔην προγενεστέρη. Οὐδέ μιν ἔμπης
ἔλλαθεν, ἀλλ᾽ ἐνόησε κακορραφίην, καὶ ἔδεκτο c
παῖδ᾽ ἑτέρην, ἀμφοῖν δ᾽ ἐμίγη σὺν ὁμαίμοσιν ᾗσι.
Τῷ δ᾽ υἱεῖς ἐγένοντο νόῳ πεπνυμένοι αἰνῶς
ἕνδεκα, καὶ κούρη Δεῖνα περικαλλὲς ἔχουσα
εἶδος, ἐπίτρεπτον δὲ δέμας, καὶ ἀμύμονα θυμόν.

4 Ἀπὸ δὲ τοῦ Εὐφράτου φησὶ τὸν Ἰακὼβ ἐλθεῖν εἰς τὰ Σί- d
κιμα πρὸς Ἐμμώρ· τὸν δ᾽ ὑποδέξασθαι αὐτὸν, καὶ μέρος τι
[250] τῆς χώρας δοῦναι. Καὶ αὐτὸν μὲν τὸν Ἰακὼβ γεωμορεῖν,
τοὺς δὲ υἱοὺς αὐτοῦ ἕνδεκα τὸν ἀριθμὸν ὄντας ποιμαίνειν, τὴν
δὲ θυγατέρα Δεῖναν καὶ τὰς γυναῖκας ἐριουργεῖν· καὶ τὴν
Δεῖναν παρθένον οὖσαν εἰς τὰ Σίκιμα ἐλθεῖν πανηγύρεως οὔ-
σης, βουλομένην θεάσασθαι τὴν πόλιν· Συχὲμ δὲ τὸν τοῦ
Ἐμμὼρ υἱὸν ἰδόντα ἐρασθῆναι αὐτῆς, καὶ ἁρπάσαντα ὡς
5 ἑαυτὸν διακομίσαι καὶ φθεῖραι αὐτήν. Αὖθις δὲ σὺν τῷ πατρὶ
ἐλθόντα πρὸς τὸν Ἰακὼβ, αἰτεῖν αὐτὴν πρὸς γάμου κοινωνίαν·
τὸν δὲ οὐ φάναι δώσειν, πρὶν ἂν ἢ πάντας τοὺς οἰκοῦντας τὰ

b 8. τολίπ.] τολύπ. B.G. τολύτ. C. δόλοντο λίπευσεν D. Mox λάχος D.I. 11. ἔμπης] ἔμπις B. c. ἔλαθεν] ἔλλαθεν C.G. 7. δεῖνα] δίνα B. 9. ἐπίτρεπτον] ἐπίπρεπον B. ἐπίτρεπον G. d 3. τοὺς δὲ υἱοὺς αὐτοῦ ἕνδεκα] τοὺς δ᾽ ἕνδ. υἱοὺς αὐτοῦ B. 4. τὸν ἀρ. ὄντ.] ὄντ. τὸν ἀρ. C.F.G. Mox τὴν δὲ δίναν θυγ. B. 9. υἱὸν ἰδόντα] υἱὸν om. B. qui pergit, ἰδόντα καὶ τρωθέντα, ἁρπάσαι καὶ εἰς ἑαυτόν. 11. αὐτὴν] αὐτὴν εἰς γυναῖκα· τὸν δ᾽ οὔ φησι δοῦναι πρὶν ἢ πάντας τοὺς ἐν Σικίμοις περιτμηθέντας B. 13. ἂν ἢ] ἢ om. C.

Majoremque viro thalami in penetralia furtim
Summittit Liam genitor: sed fraude retecta,
(Sensit enim conjux;) natuque minore potitus,
Esse utramque dedit solerti prole parentem.
Undenis maribus pulchro spectabilis ore
Additur, et molli præstans in corpore Dina
Exerit ingenium.

4 Ab Euphrate vero Jacobum scribit cum ad Emmorem in Sicima venisset, exceptum ab eo humaniter, agrique parte donatum fuisse; ubi cum agriculturæ operam ipse daret, tum vero undecim filii in pastionem, Dinaque filia cum cæteris mulieribus in lanificium incumberet. Verum, quo die solennis forte conventus Sicimis ageretur, Dinam tametsi adhuc virginem, in urbem tamen visendi studio penetrasse; ac Sychemum Emmoris filium, ejus simulac vidisset amore captum, ipsi per vim raptæ ac domum ab-
5 ductæ stuprum cum obtulisset, paulo post una cum patre ad Jacobum venisse, ab eoque filiæ nuptias expetisse; quas ille cum negaret, priusquam incolæ Sicimorum universi et circumcisionem et ritus Judaicos ac-

ΑΛΕΞΑΝΔΡΟΥ

Σίκιμα περιτεμνομένους Ἰουδαΐσαι· τὸν δὲ Ἐμμὼρ φάναι πείσειν αὐτούς. Φησὶ δὲ περὶ τοῦ δεῖν περιτέμνεσθαι αὐτοὺς p. 428 ὁ Ἰακὼβ,

6 Οὐ γὰρ δὴ θεμιτόν γε τόδ' Ἑβραίοισι τέτυκται,
γαμβροὺς ἄλλοθεν εἴς γε νυοὺς ἀγέμεν ποτὶ δῶμα,
ἀλλ' ὅστις γενεῆς ἐξεύχεται εἶναι ὁμοίης.

7 Εἶτα ὑποβὰς περὶ τῆς περιτομῆς,

Ὅς ποθ' ἑῆς πάτρης ἐξήγαγε δῖον Ἀβραὰμ,
αὐτὸς ἀπ' οὐρανόθεν κέλετ' ἀνέρα παντὶ σὺν οἴκῳ b
σάρκ' ἀποσυλῆσαι πόσθης ἄπο, καὶ ῥ' ἐτέλεσσεν·
ἀστεμφὲς δὲ τέτυκται, ἐπεὶ Θεὸς αὐτὸς ἔειπε.

8 Πορευθέντος οὖν εἰς τὴν πόλιν τοῦ Ἐμμὼρ, καὶ τοὺς ὑποτασσομένους παρακαλοῦντος περιτέμνεσθαι, ἕνα τῶν Ἰακὼβ υἱῶν τὸ ὄνομα Συμεῶνα διαγνῶναι τόν τε Ἐμμὼρ καὶ τὸν Συχὲμ ἀνελεῖν, τὴν ὕβριν τῆς ἀδελφῆς μὴ βουληθέντα πολιτικῶς c ἐνεγκεῖν· ταῦτα δὲ διαγνόντα Λευὶν τῷ ἀδελφῷ κοινώσασθαι·

d 14. περιτεμνομένους] περιτεμνομέναν D.
p. 428. φησὶ δὲ—αὐτοὺς om. B. 2. ὁ Ἰακὼβ] καὶ δὴ ὁ Ἰακὼβ B. ὁ Ἰακὼβ αὐτοὺς C.F.G. 5. ἄλλοθεν] καὶ ἀλλ. B. γε νυοὺς ἀγέμεν ποτὶ] γεννοὺς ι. τεταγμένους ὅτι δῶμα C. γένοιος τεταγμένη ὅτι B. εἰς γεννοὺς τεταγμένης ὅτι D. γε νυοὺς τεταγμένης ὅτι I. γεννοὺς τεταγμένη F.G. 7. γενεᾶς] γενεῆς B.C.D.F.G.I. 9. ὅς ποθ' ἑῆς] ὅς ποτ' ἐπὶ C.D.F.G.I. Hinc usque ad ἔειπε om. B. Mox ἐξ ἡ pro ἐξήγαγε E.I. b. κέλετ'] κέλεσ' C. κάλεσ' D.E.F.G.I. 7. τοῦ ἐμμὼρ] τοῦ om. C. F.G. 9. ὄνομα] τὸ ὄν. C.D.F.G.I. c. ταῦτα δὲ] ταῦτα δὲ τῷ ἀδελφῷ λευὶν κοινωνήσασθαι B.

cepissent: Emmorem futurum spopondisse, uti eos hanc ad conditionem adducere conaretur. Et eos quidem circumcidi omnes oportere, Jacobus ita declarat,

6 Hebræam divina vetant oracula gentem,
Externos sponsæ generos in tecta vocare,
Hæc patrius tantum novit commercia sanguis.

7 Moxque de circumcisione,

Qui magnum patriis Abraamum eduxit ab oris,
Cœlitus hunc tota jussit cum stirpe recurvo,
Glande sub extrema, præputia demere ferro.
Paruit, atque Dei verbis immotus inhæsit.

8 Emmor itaque in civitatem reversus, cum suos ad capessendum circumcisionis ritum hortatus esset, unum ex Jacobi filiis Symeonem, quod sororis injuriam iniquius graviusque ferret, Emmorem ac Sychemum interficere statuisse: communicatoque cum Levino fratre consilio, socium eum comi-

ΑΛΕΞ-ΑΝ-ΔΡΟΥ

λαβόντα δ' αὐτὸν συγκάταινον ἐπὶ τὴν πρᾶξιν παρορμῆσαι, λόγιον προφερόμενον τὸν Θεὸν ἀνελεῖν φάμενον τοῖς
9 Ἀβραὰμ ἀπογόνοις δέκα ἔθνη δώσειν. Φησὶ δὲ οὕτως ὁ Συμεὼν πρὸς τὸν Λευὶν,

Εὖ γὰρ ἐγὼ μῦθόν γε πεπυσμένος εἰμὶ θεοῖο·
δώσειν γάρ ποτ' ἔφησε δέκ' ἔθνεα παισὶν Ἀβραάμ.

Τὸν δὲ Θεὸν αὐτοῖς τοῦτον τὸν νοῦν ἐμβαλεῖν, διὰ τὸ τοὺς d
ἐν Σικίμοις ἀσεβεῖς εἶναι. Φησὶ δέ·

Βλάπτε Θεὸς Σικίμων οἰκήτορας, οὐ γὰρ ἔτιον
εἰς αὐτοὺς ὅστις κε μόλῃ κακὸς, οὐδὲ μὲν ἐσθλός·
οὐδὲ δίκας ἐδίκαζον ἀνὰ πτόλιν οὐδὲ θέμιστας·
λοίγια δ' ὠρώρει τοῖσιν μεμελημένα ἔργα.

10 Τὸν οὖν Λευὶν καὶ τὸν Συμεῶνα εἰς τὴν πόλιν καθωπλισμένους ἐλθεῖν, καὶ πρῶτα μὲν τοὺς ἐντυγχάνοντας ἀναιρεῖν,
11 ἔπειτα δὲ καὶ τὸν Ἐμμὼρ καὶ τὸν Συχὲμ φονεῦσαι. Λέγει δὲ περὶ τῆς ἀναιρέσεως αὐτῶν οὕτως·

Ὡς τότε δὴ Συμεὼν μὲν Ἐμὼρ ὤρουσεν ἐπ' αὐτὸν,

c 3. λαβόντα δ' αὐτὸν οὖν κατ.] λ. αὐτὸν οὖν κατ. E. 4. παρορμῆσαι] ὁρμῆσαι B. προσφερόμενον] προφ. B.C.I. 7. πρὸς λευὶν] τῷ λευὶ B. π. τὸν λ. C.D.F.G.I. 8. μῦθόν γε] γε om. B.C.D.F.G.I. Mox πεπεισμένος D.G.I. 10. δέκ' ἔθνεα om. B. d 4. ἄατος] αἴτιον B.D.E.I. ἔτιον C.F.G. 5. κὲ] καὶ B.D.I. Tum μόλει C.F. καλὸς] κακὸς B.C.F.G. Mox μὴν B. 7. ἀνὰ πόλιν] ἀνάπτολιν C.F.G. 9. λοίγια—πλῆξέ τε οἱ om. B. 10. Σιμεῶνα D. 16. αὐτὸν] αὐτῷ C.F.G. αὐτῶν D.I.

temque facinoris adhibuisse, cum decem ille gentes Abraami posteris
9 divino promissas oraculo fuisse jactaret. Sic autem Levinum alloquitur Symeon,

Verba Dei penitus medio sub pectore servo,
Quem denas Abraæ natis promittere gentes
Commemini.

Ac Deum quidem propter Sicimitarum impietatem, hanc iis mentem injecisse, testatur his verbis :

Ardenti vindex Sicimos Deus obruit ira,
Quo virtutis amans nemo inviolatus adiret :
Hic ubi nulla æqui tenuit reverentia cives,
Sed tantum infandi sceleris vesana libido.

10 Ergo Levinum ac Symeonem armatos in urbem venisse, obviisque pri-
11 mum cæsis, Emmorem ac Sychemum peremisse, quam ille cædem ita describit :

Tunc Emori vasto Symeon caput arduus ictu

ΑΛΕΞ-ΑΝ-ΔΡΟΥ

πλῆξέ τε οἱ κεφαλήν, δειρὴν δ' ἕλεν ἐν χερὶ λαιῇ, p. 429
λεῖψε δ' ἔτι σπαίρουσαν, ἐπεὶ πόνος ἄλλος ὀρώρει.
Τόφρα δὲ καὶ Λευὶν μένος ἄσχετος ἔλλαβε χαίτης
γούνων ἁπτόμενον Συχὲμ, ἄσπετα μαργήναντα.
Ἤλασε δὲ κληῖδα μέσην· δῦ δὲ ξίφος ὀξὺ
σπλάγχνα διὰ στέρνων, λίπε δὲ ψυχὴ δέμας εὐθύς.

Πυθομένους δὲ καὶ τοὺς ἑτέρους ἀδελφοὺς τὴν πρᾶξιν αὐτῶν b ἐπιβοηθῆσαι, καὶ τὴν πόλιν ἐκπορθῆσαι, καὶ τὴν ἀδελφὴν ἀναρρυσαμένους μετὰ τῶν αἰχμαλώτων εἰς τὴν πατρῴαν [251] ἔπαυλιν διακομίσαι.

23 Τούτοις καὶ τὰ ἑξῆς περὶ τοῦ Ἰωσὴφ ἐκ τῆς αὐτῆς τοῦ Πολυΐστορος γραφῆς ἐπισυνήφθω·

Ἀρτάπανος δέ φησιν ἐν τῷ περὶ Ἰουδαίων τῷ Ἀβραὰμ c Ἰωσὴφ ἀπόγονον γενέσθαι, υἱὸν δὲ Ἰακώβου· συνέσει δὲ καὶ φρονήσει παρὰ τοὺς ἄλλους διενεγκόντα ὑπὸ τῶν ἀδελφῶν ἐπιβουλευθῆναι· προειδόμενον δὲ τὴν ἐπισύστασιν δεηθῆναι τῶν ἀστυγειτόνων Ἀράβων εἰς τὴν Αἴγυπτον αὐτὸν διακο-

p. 429. κεφαλὴν] ἀλλὰ κεφ. B. 7. ἁπτόμενον γούνων] γουν. ἁπτ. B.C.D.E.F.G.I. 11. εὐθὺς] αὖθις B.C.D.F.G.I. b 2. ἐκπορθῆσαι] ἐκπορᾶσαι F. 4. διακομίσαι] διακομήσασαι E. 7. καὶ τὰ ἑξῆς] ἑξῆς om. C.F.G. καὶ τὰ περὶ Ἰωσ. ἐκ τοῦ πολυΐστορος ἐπισυνήφθω B. pro ἐπισυνῆφθαι. vid. p. 426 a. 9. Ἀρτάπανος] Inserunt B.C. Ἀρταπάνου περὶ Ἰωσὴφ ἀπὸ τῆς πολυΐστορος γραφῆς. (Ἀρτ. π. τοῦ Ἰ. ἀπὸ (τῆς G.) αὐτοῦ τοῦ πολ. C.F.G.) c. τοῦ ἀβραὰμ] τῷ ἁ. Ἰωσὴφ B.C.D.F.G.I. 3. ἀδελφῶν] τῶν ἀδ. B.C.D.F.G.I. 5. δεηθῆναι] δειχθῆναι C.F.G.

Amputat, ac læva truncam suspendere gestit
Cervicem; donec, quod pugna atrocior instet,
Linquat humi singultantem. At violentior ardet
Levinus, frustraque solo pedibusque volutum,
Ausum immane nefas Sychemum, pendentibus hærens
Crinibus, invadit. Jugulum delatus in altum,
Mox toto gladius subit in præcordia ferro,
Exturbatque animam.

Postmodum vero fratres cæteros, ubi rem inaudiissent, conjunctis viribus, civitatem diripuisse, ac sororem cum ipsa captivorum manu paternam in villam transtulisse. Hæc Polyhistor.

23 Quibus deinceps Josephi rerum commemorationem adjungit, hunc in modum:

Artapanus autem in suo de Judæis commentario, Josephum ait Abraami nepotem, Jacobi filium, cum reliquis fratribus ingenio, sapientiaque præstaret, eorum insidiis appetitum esse; quorum ipse conjuratione prospecta, vicinos Arabas, uti se in Ægyptum abducerent, obsecrarit, ejusque preci-

ΑΛΕΞ-ΑΝ-ΔΡΟΥ

μίσαι· τοὺς δὲ τὸ ἐντυγχανόμενον ποιῆσαι· εἶναι γὰρ τοὺς
τῶν Ἀράβων βασιλεῖς ἀπογόνους Ἰσραήλ, υἱοὺς τοῦ Ἀ-
2 βραάμ, Ἰσαὰκ δὲ ἀδελφούς. Ἐλθόντα δὲ αὐτὸν εἰς τὴν
Αἴγυπτον καὶ συσταθέντα τῷ βασιλεῖ διοικητὴν τῆς ὅλης d
γενέσθαι χώρας. Καὶ πρότερον ἀτάκτως τῶν Αἰγυπτίων
γεωμορούντων, διὰ τὸ τὴν χώραν ἀδιαίρετον εἶναι καὶ τῶν
ἐλασσόνων ὑπὸ τῶν κρεισσόνων ἀδικουμένων, τοῦτον πρῶτον
τήν τε γῆν διελεῖν καὶ ὅροις διασημήνασθαι, καὶ πολλὴν χερ-
σευομένην γεωργήσιμον ἀποτελέσαι, καί τινας τῶν ἀρουρῶν
3 τοῖς ἱερεῦσιν ἀποκληρῶσαι. Τοῦτον δὲ καὶ μέτρα εὑρεῖν,
καὶ μεγάλως αὐτὸν ὑπὸ τῶν Αἰγυπτίων διὰ ταῦτα ἀγαπη-
θῆναι. Γῆμαι δ' αὐτὸν Ἡλιουπολίτου ἱερέως Ἀσενὲθ θυ-
γατέρα, ἐξ ἧς γεννῆσαι παῖδας. Μετὰ δὲ ταῦτα παραγε-
νέσθαι πρὸς αὐτὸν τόν τε πατέρα καὶ τοὺς ἀδελφοὺς κομί- p. 430
ζοντας πολλὴν ὕπαρξιν, καὶ κατοικισθῆναι ἐν τῇ πόλει Και-
4 σάν, καὶ τοὺς Σύρους πλεονάσαι ἐν τῇ Αἰγύπτῳ. Τούτους δέ
φησι καὶ τὸ ἐν Ἀθὼς καὶ τὸ ἐν Ἡλιουπόλει ἱερὸν κατα-

c 7. τὸ ἐντυγχανόμενον] οὕτω B. 9. Ἰσραήλ, υἱοὺς] Leg. Ἰσμαήλ, υἱοῦ. τοῦ ἀβ.] τοῦ om. B. d. καὶ πρότερον—εὑρεῖν om. B. 6. τὴν πολλὴν] τὴν om. C.D.F.G.I. Mox χερσευομένην om. D. 11. ἡλιουπολίτου om. B. 12. ἀσενὲθ] ἀσενεθὲμ B. Ἀσσενὲθ D. ἐξ ἧς—ταῦτα om. B. qui addit δὲ post παραγενέσθαι.

p. 430. 2. κατοικισθῆναι] κατοικῆσαι B. 3. ἐν τῇ πόλει] ἐν ἡλιουπόλει B. ἐν ἡλιουπόλει καὶ σάει C.F.G. Vide Joseph. Ant. II. 7, 6. p. 95. καισὰν] καισαὶν D.I. 4. τούτους] τοῦτον B. qui om. καὶ τὸ ἐν Ἀθώς.

bus illos annuisse. Arabum enim reges Israelis nepotes, Abraami filios,
2 et Isaaci fratres esse. Ergo Josephum, paulo post quam Ægyptum atti-
gisset; eo regis studio ac benevolentia exceptum esse, ut præfectus ab eo
totius regni constitutus fuerit. Eundem vero, cum Ægyptii terram
eatenus magna perturbatione coluissent, quod neque divisa regio esset, ac
tenuioris fortunæ homines a potentioribus iniquius haberentur; agros
ante omnia divisisse, certis passim finibus terminisque descriptos, adeoque
magnam soli partem incultam prius atque sylvescentem, culturæ oppor-
tunam commodamque reddidisse, suosque sacerdotibus agros singulares ac
3 proprios assignasse. Mensuras præterea invenisse, quibus ille officiis
Ægyptiorum sibi voluntatem majorem in modum devinxerit. Cæterum,
Asenethen Heliopolitani sacerdotis filiam uxorem duxisse, ac liberos ex ea
suscepisse. Postea vero, patrem cunctosque fratres, multis cum opibus
ac facultatibus ad eum venisse, fixisque in urbe Cæsana domiciliis, Syro-
4 rum in Ægypto auctam admodum ac propagatam sobolem fuisse. Eosdem
insuper tum quod apud Athon, tum quod apud Heliopolim est, templum

ΑΛΕΞΑΝΔΡΟΥ σκευάσαι τοὺς Ἑρμιοὺθ ὀνομαζομένους. Μετὰ δὲ ταῦτα τελευτῆσαι τόν τε Ἰωσήφ, καὶ τὸν βασιλέα τῶν Αἰγυπτίων. Τὸν οὖν Ἰωσὴφ κρατοῦντα τῆς Αἰγύπτου τὸν τῶν ἐτῶν ἑπτὰ σῖτον, γενόμενον κατὰ τὴν φορὰν ἄπλετον, παραθέσθαι, καὶ τῆς Αἰγύπτου δεσπότην γενέσθαι. b

24 Μαρτυρεῖ δὲ ταῖς ἱεραῖς βίβλοις καὶ Φίλων ἐν τῇ ιδʹ τῶν περὶ Ἱεροσόλυμα, λέγων οὕτως,

> Τοῖσιν ἕδος μακαριστὸν ὅλης μέγας ἔκτισεν ἄκτωρ c
> ὕψιστος, καὶ πρόσθεν ἀφʼ Ἀβραάμοιο καὶ Ἰσὰκ,
> Ἰακὼβ εὐτέκνοιο τόκος Ἰωσήφ, ὃς ὀνείρων
> θεσπιστὴς, σκηπτοῦχος ἐν Αἰγύπτοιο θρόνοισι,
> δινεύσας λαθραῖα χρόνου πλημμύριδι μοίρης.

καὶ τὰ ἑξῆς. Ταῦτα καὶ περὶ τοῦ Ἰωσήφ.

25 Ἄκουε δὲ οἷα καὶ περὶ τοῦ Ἰὼβ ὁ αὐτὸς ἱστορεῖ· d
Ἀριστέας δέ φησιν ἐν τῷ περὶ Ἰουδαίων, τὸν Ἠσαῦ

a 6. τοὺς Ἑρμιοὺθ—Αἰγυπτίων om. B. qui addit Φίλωνος περὶ τοῦ Ἰωσήφ, et C.F.G. Φίλωνος ἀπὸ τῆς αὐτῆς γραφῆς περὶ τοῦ Ἰωσ. 7. τὸν] τόν τε C.F. 9. τὸν ἐτῶν—παραθέσθαι om. B. Nescio an τῶν ἐτῶν D. τὸν τῶν ἑπτὰ σῖτον E.I. τὸν τῶν ἑπτὰ ἐτῶν σῖτον F.G. σῖτον] ἐτῶν C. 10. ἄπλετον] ἄπλητα C.F.G. b 5. ταῖς ἱεραῖς β. om. B. 8. μέγας] μέσας B. c 2. Ἀβράμοιο D. 3. ἰσὰκ] ἰσαὰκ B.C. 4. τόκος] τόθεν B.C.D.E.F.G.I. In E. item εὐτέκτοιο. 7. λαθραῖα] λατραῖα C.D.E.I. 9. ταῦτα—Ἰουδαίων] ἄκουε δὲ καὶ τὰ περὶ Ἰὼβ μετὰ Ἰωσήφ. Ἀρισταίου περὶ τοῦ Ἰὼβ ὁμοίως B. Ἀριστέου περὶ τοῦ Ἰὼβ F.G. d 4. Ἀρισταίας] Ἀριστέας D.E.F.G.

condidisse, Hermiuthios vulgo nominatos. Postremo, Josephum, Ægyptiorumque regem obiisse. Ac Josephum quidem, cum Ægypto præesset, immensam frumenti vim quæ toto septennio provenerat, in medium contulisse, ac totius Ægypti dominum fuisse.

24 Quinetiam divinis literis Philonis quoque testimonium suffragatur. Is enim libro decimo quarto de Hierosolymis ita scribit,

> Ollis ampla potens ultro dat jugera princeps,
> Fœcundoque solo locat incorruptus Joseph,
> Abrami Isacique nepos, quemque almus Jacob,
> Sustulit, obscuræ cui pervia somnia noctis,
> Qui solio incumbens Ægyptia regna tuetur,
> Ambiguo fati varie jactatus ab æstu.

Et quæ sequuntur. Atque hæc de Josepho.

25 Nunc autem audi sis quæ de Jobo idem ipse commemoret.
Aristæas, inquit, in sua de Judæis historia, auctor est Esaüm ex Bassara

ΑΛΕΞΑΝΔΡΟΥ

γήμαντα Βασσάραν ἐν Ἐδώμ, γεννῆσαι Ἰώβ· κατοικεῖν δὲ
τοῦτον ἐν τῇ Αὐσίτιδι χώρᾳ, ἐπὶ τοῖς ὅροις τῆς Ἰδουμαίας
2 καὶ Ἀραβίας. Γενέσθαι δ' αὐτὸν δίκαιον καὶ πολύκτηνον·
κτήσασθαι γὰρ αὐτὸν πρόβατα μὲν ἑπτακισχίλια, καμή-
λους δὲ τρισχιλίας, ζεύγη βοῶν πεντακόσια, ὄνους θηλείας
3 νομάδας πεντακοσίας· εἶχε δὲ καὶ γεωργίας ἱκανάς. Τοῦτον
δὲ τὸν Ἰὼβ πρότερον Ἰωβὰθ ὀνομάζεσθαι. Πειράζοντα δ' p. 431
αὐτὸν τὸν Θεὸν ἐμμεῖναι, μεγάλαις δὲ περιβαλεῖν αὐτὸν
ἀτυχίαις. Πρῶτον μὲν γὰρ αὐτοῦ τούς τε ὄνους καὶ βοῦς
ὑπὸ λῃστῶν ἀπελαθῆναι, εἶτα τὰ πρόβατα ὑπὸ πυρὸς ἐκ τοῦ
οὐρανοῦ πεσόντος κατακαῆναι σὺν τοῖς ποιμέσι· μετ' οὐ πολὺ
δὲ καὶ τὰς καμήλους ὑπὸ λῃστῶν ἀπελαθῆναι· εἶτα τὰ τέκνα
αὐτοῦ ἀποθανεῖν, πεσούσης τῆς οἰκίας· αὐθημερὸν δὲ αὐτοῦ
4 καὶ τὸ σῶμα ἑλκῶσαι. Φαύλως δὲ αὐτοῦ διακειμένου, ἐλθεῖν
εἰς ἐπίσκεψιν Ἐλίφαν τὸν Θαιμανιτῶν βασιλέα, καὶ Βαλδὰδ b
τῶν Σαυχαίων τύραννον, καὶ Σωφὰρ τὸν Μινναίων βασιλέα,

d 5. βασσάρας] βασσάραν B. qui mox ἰὼβ pro υἱὸν post γεννῆσαι, et sic sane e conj. Vigerus et Scaliger. βασάρας υἱὸν et mox Ἰώβ F.G. 7. χώρᾳ om. B. 8. Ἰδουμαίας] Ἰουδαίας B.C.G. γενέσθαι δ'] δ' om. C. 9. κτήσασθαι] κτ. μὲν B. 10. καμήλους δὲ] δὲ om. B.

p. 431. ἰωβάμ] ἰωβὰθ B.C. ἰωβὰβ F.G. 2. περιβαλεῖν αὐτὸν] αὐτὸν περ. B. ὑπερβαλεῖν ἀ. E. 3. τούς τε] τε om. B. 4. ἀπελαθῆναι] ἀπολέσθαι B.C.F.G. Supra τοὺς βοῦς D.F.G. 5. ὑπὸ τοῦ] τοῦ om. C.D.F.I. ὑπουρανίου πυρὸς κατακ. B. 8. λῃστῶν] τῶν λῃστῶν F. 10. φαύλως etc.] καὶ ὑπὸ τῶν φίλων παρακαλούμενον ἐμμένειν ἔν τε B. b 2. σαυχαίων—σωφὰρ—μανναίων] σαυχέων—σοφὰρ—μινναίων C. σαυχέων et μινναίων F.G. 3. Μανναίων] μιναίων D. μινναίων I.

conjuge Jobum in Idumæa filium genuisse, sedemque sibi in Ausitide
2 regione ad ipsum Idumææ et Arabiæ confinium delegisse. Eundem æqui-
tate præstantem, ac pecore in primis abundantem fuisse: quippe, ovium
enim septem, camelorum tria millia, paria boum quingenta, gregalesque
3 asinas totidem numerasse. Copiam agrorum non absimilem. Ac Jobum
quidem Jobamum antea nominatum esse. Porro, Deum explorandæ
hominis probandæque virtutis gratia, diuturnis eum gravibusque calamita-
tibus exercuisse. Primum enim asinarum boumque armenta a latronibus
per vim abacta esse; tum oves simul atque pastores igne cœlitus immisso
conflagrasse; mox et camelos a latronibus similiter abductas, filiosque
omnes ædium ruina oppressos fuisse: postremo illum etiam eo ipso die
4 fœdissimo totius corporis ulcere laborasse. Quibus in angustiis positus
cum esset, ad eum invisendi caussa Elipham Themanitarum regem, Bal-
dadem Sauchæorum tyrannum, Sopharem Mannæorum regem, et Elium

ΑΛΕΞΑΝΔΡΟΥ

ἐλθεῖν δὲ καὶ Ἐλιοῦν τὸν Βαραχιὴλ τὸν Ζωβίτην. Παρακαλούμενον δὲ φάναι καὶ χωρὶς παρακλήσεως ἐμμενεῖν αὐτὸν ἔν τε τῇ εὐσεβείᾳ καὶ τοῖς δεινοῖς. Τὸν δὲ Θεὸν ἀγασθέντα [252] τὴν εὐψυχίαν αὐτοῦ, τῆς τε νόσου αὐτὸν ἀπολῦσαι, καὶ πολλῶν κύριον ὑπάρξεων ποιῆσαι.

Τοσαῦτα καὶ περὶ τούτων ὁ Πολυΐστωρ.

26 Καὶ περὶ Μωσέως δὲ ὁ αὐτὸς πάλιν πλεῖστα παρατίθεται, ὧν καὶ αὐτῶν ἐπακοῦσαι ἄξιον· c

Εὐπόλεμος δέ φησι τὸν Μωσῆν πρῶτον σοφὸν γενέσθαι, καὶ γράμματα παραδοῦναι τοῖς Ἰουδαίοις πρῶτον, παρὰ δὲ Ἰουδαίων Φοίνικας παραλαβεῖν, Ἕλληνας δὲ παρὰ Φοινίκων, νόμους τε πρῶτον γράψαι Μωσῆν τοῖς Ἰουδαίοις.

27 Ἀρτάπανος δέ φησιν ἐν τῇ περὶ Ἰουδαίων, Ἀβραὰμ τε- d
λευτήσαντος, καὶ τοῦ υἱοῦ αὐτοῦ Μεμψασθενὼθ, ὁμοίως δὲ καὶ τοῦ βασιλέως τῶν Αἰγυπτίων, τὴν δυναστείαν παραλα-
2 βεῖν τὸν υἱὸν αὐτοῦ Παλμανώθην. Τοῦτον δὲ τοῖς Ἰου-

b 4. παρακαλουμένων] παρακαλούμενον C.D.E.I. 9. τούτων etc.] Ἰὼβ ὁ πολυΐστωρ φησί. καὶ περὶ Μωυσέως δὲ τάδε παρατίθεται B. c 4. πλεῖστα] πάλιν πλεῖστα C. 6. Εὐπόλεμος] Scil. ἐν τῷ περὶ τῶν ἐν τῇ Ἰουδαίᾳ βασιλέων teste Cyrillo c. Julian. VII. p. 231 d. ex Clement. Alex. Str. I. 23. s. 153. p. 413. μωσῆν] μωσέα C.F. μωυσῆν B. Post ἄξιον B.C.F.G. inserunt Εὐπολέμου περὶ Μωσέως. 10. γράψαι μωσῆν τοῖς ἰουδαίοις] μωσῆν γράψαι (G.) τοὺς ἰουδαίους B.F Tum inserit C.F.G. Ἀρταπάνου περὶ Μωσέως ὁμοίως. Totum seq. cap. om. B.

Barachielis filium Zobitem convenisse. Qui cum eum alloquio solarentur, ipsum, tametsi consolatione omni careret, futurum tamen respondisse, uti pietatis suæ laudem hac in tanta malorum acerbitate perpetuam retineret. Deum vero hac ejus integritatis et constantiæ vi majorem in modum probata, non ipsum tantum morbo liberasse, verum etiam ingentibus deinceps opibus ac fortunis cumulasse.

Hæc omnia Polyhistor.

26 Idem quoque plurima de Mose habet auditu digna.

Mosem, inquit, narrat Eupolemus primum sapientem fuisse, Judæisque primum literas tradidisse, a quibus eas Phœnices, ut a Phœnicibus Græci, acceperint: eundemque Judæis leges principem condidisse.

27 Artapanus autem in suo de Judæis opere scribit, Abraamo cum Mempsasthenothe filio, ipsoque Ægyptiorum rege, vita functo, Palmanothem
2 ejusdem filium Ægypti imperium capessisse, Judæumque populum durius habuisse. Ab hoc primum Cessam conditam, in eaque delubrum, mox

δαίοις φαύλως προσφέρεσθαι· καὶ πρῶτον μὲν τὴν Κεσσὰν ΑΛΕΞΑΝΔΡΟΥ
οἰκοδομῆσαι, τό τε ἐπ᾽ αὐτῇ ἱερὸν καθιδρύσασθαι, εἶτα τὸν ἐν
3 Ἡλιουπόλει ναὸν κατασκευάσαι. Τοῦτον δὲ γεννῆσαι θυ- p. 432
γατέρα Μέρριν, ἣν Χενεφρῇ τινὶ κατεγγυῆσαι, τῶν ὑπὲρ
Μέμφιν τόπων βασιλεύοντι· πολλοὺς γὰρ τότε τῆς Αἰ-
γύπτου βασιλεύειν· ταύτην δὲ στεῖραν ὑπάρχουσαν ὑποβα-
λέσθαι τινὸς τῶν Ἰουδαίων παιδίον, τοῦτο δὲ Μώϋσον ὀνο-
μάσαι· ὑπὸ δὲ τῶν Ἑλλήνων αὐτὸν ἀνδρωθέντα Μουσαῖον
4 προσαγορευθῆναι. Γενέσθαι δὲ τὸν Μώϋσον τοῦτον Ὀρ-
φέως διδάσκαλον· ἀνδρωθέντα δ᾽ αὐτὸν πολλὰ τοῖς ἀνθρώ-
ποις εὔχρηστα παραδοῦναι. Καὶ γὰρ πλοῖα, καὶ μηχανὰς
πρὸς τὰς λιθοθεσίας, καὶ τὰ Αἰγύπτια ὅπλα, καὶ τὰ ὄργανα b
τὰ ὑδρευτικὰ καὶ πολεμικά, καὶ τὴν φιλοσοφίαν ἐξευρεῖν·
ἔτι δὲ τὴν πόλιν εἰς λϛʹ νόμους διελεῖν, καὶ ἑκάστῳ τῶν
νόμων ἀποτάξαι τὸν Θεὸν σεφθήσεσθαι, τά τε ἱερὰ γράμ-
ματα τοῖς ἱερεῦσιν· εἶναι δὲ καὶ αἰλούρους, καὶ κύνας, καὶ
ἴβεις· ἀπονεῖμαι δὲ καὶ τοῖς ἱερεῦσιν ἐξαίρετον χώραν.
5 Ταῦτα δὲ πάντα ποιῆσαι χάριν τοῦ τὴν μοναρχίαν βεβαίαν
τῷ Χενεφρῇ διαφυλάξαι. Πρότερον γὰρ ἀδιατάκτους ὄντας
τοὺς ὄχλους ποτὲ μὲν ἐκβάλλειν ποτὲ δὲ καθιστάνειν βασι- c

d 10. κεσσὰν] τέσσαν C.D.F.G.I.
p. 432. 6. τοῦτο] τοῦτον E.F. 7. ἀνδρωθέντα αὐτὸν F. 9. τοῦτον om. E. b 6. δὲ καὶ] καὶ om. C.F.G. ἴβεις] ἴβις C.F.G. 10. γὰρ om. E.I.

3 templum apud Heliopolim excitatum esse. Ab eodem Merrhin filiam
susceptam, ac Chenephræ cuidam regioni supra Memphim sitæ imperanti
desponsam fuisse: tum enim plures Ægyptum regulos habuisse. Hanc
porro, sterilis cum esset, Judææ mulieris infantem supposuisse, quem
Moysum ipsa primum, deinde vero Græci, cum ad virilem ætatem perve-
4 nisset, Musæum nominarint. Atque hunc Orphei magistrum fuisse me-
morant, ac permulta humano generi utilissima tradidisse. Illi enim, et
navigiorum, et machinarum quibus adducti sursum lapides inter sese
postea coagmententur, et armorum Ægyptiacorum, et instrumentorum
partim hauriendæ vel deducendæ aquæ, partim bello necessariorum, ipsius-
que adeo philosophiæ inventionem acceptam ferunt. Ad hæc civitatem ab
eo in sex et triginta præfecturas divisam, suosque singulis Numini colendo
ritus assignatos, literasque sacras, puta felium, canum, ibium figuras sacer-
5 dotibus cum singulari ac propria regione attributas fuisse. Quæ omnia eo
consilio perfecerit, ut summum Chenephræ imperium stabiliret; cum nullo
distincta ordine multitudo reges antea modo ejiceret, modo crearet, ac

ΑΛΕΞ-ΑΝ-ΔΡΟΥ

6 λεῖς, καὶ πολλάκις μὲν τοὺς αὐτούς, ἐνιάκις δὲ ἄλλους. Διὰ
ταῦτα οὖν τὸν Μώϋσον ὑπὸ τῶν ὄχλων ἀγαπηθῆναι, καὶ ὑπὸ
τῶν ἱερέων ἰσοθέου τιμῆς καταξιωθέντα προσαγορευθῆναι
7 Ἑρμῆν, διὰ τὴν τῶν ἱερῶν γραμμάτων ἑρμηνείαν. Τὸν δὲ
Χενεφρῆν ὁρῶντα τὴν ἀρετὴν τοῦ Μωΰσου φθονῆσαι αὐτῷ,
καὶ ζητεῖν αὐτὸν ἐπ' εὐλόγῳ αἰτίᾳ τινὶ ἀνελεῖν. Καὶ δή ποτε
τῶν Αἰθιόπων ἐπιστρατευσαμένων τῇ Αἰγύπτῳ, τὸν Χενε-
φρῆν ὑπολαβόντα εὑρηκέναι καιρὸν εὔθετον πέμψαι τὸν d
Μώϋσον ἐπ' αὐτοὺς στρατηγὸν μετὰ δυνάμεως· τὸ δὲ τῶν
γεωργῶν αὐτῷ συστῆσαι πλῆθος, ὑπολαβόντα ῥᾳδίως αὐτὸν
διὰ τὴν τῶν στρατιωτῶν ἀσθένειαν ὑπὸ τῶν πολεμίων ἀναι-
8 ρεθήσεσθαι. Τὸν δὲ Μώϋσον ἐλθόντα ἐπὶ τὸν Ἑρμοπολί-
την ὀνομαζόμενον νόμον, ἔχοντα περὶ δέκα μυριάδας γεωρ-
γῶν, αὐτοῦ καταστρατοπεδεῦσαι· πέμψαι δὲ στρατηγοὺς τοὺς
προκαθεδουμένους τῆς χώρας, οὓς δὴ πλεονεκτεῖν ἐπιφανῶς
κατὰ τὰς μάχας· λέγειν δέ φησιν Ἡλιουπολίτας γενέσθαι
9 τὸν πόλεμον τοῦτον ἔτη δέκα. Τοὺς οὖν περὶ τὸν Μώϋσον
διὰ τὸ μέγεθος τῆς στρατιᾶς πόλιν ἐν τούτῳ κτίσαι τῷ

c 4. ἀξιωθέντα F.G. 8. αἰτίᾳ τινὶ] τινὶ αἰτίᾳ C.F.G. 9. γε-νεφρῆ...διαφυλάξας D. d 2. συγγενῶν] γεωργῶν C.F.G. Vid infra l. 7. γονέων D.I. Mox ὑπολαβὼν C. 5. ἀναιρεθήσασθαι D. 6. Ἑρμου-πολίτην] Ἑρμοπολίτην D.E.F.I. 8. καταστρατεῦσαι] καταστρατοπε-δεῦσαι C.F.G. 13. στρατιᾶς] στρατείας C.D.F.G.

6 sæpe quidem eosdem, interdum etiam alios. Quibus ipse rebus non modo
populorum sibi amorem conciliarit, verum etiam parem superis honorem a
sacerdotibus, qui Ἑρμῆν illum, hoc est Mercurium, sive interpretem, ob
sacrarum literarum ἑρμηνείαν, interpretationem, appellarunt, facile impe-
7 trarit. At vero Chenephren Moysi virtutibus invidentem, perimendi
hominis colorem aliquem, honestamque speciem quæsivisse. Itaque cum
in Ægyptum armati Æthiopes invasissent, commodam sibi facinoris ob-
latam occasionem esse ratum, Moysum imperatorem adversus eos cum
exercitu, ex gentilibus et propinquis ejus maximam partem conflato mi-
sisse, quod eum propter militum imbecillitatem ab hoste nullo negotio
8 conficiendum putaret. Moysum autem ad præfecturam quandam, cui
Hermopolitæ nomen, quæque colonorum ad centum millia numerabat,
profectum, castra ibi posuisse; legatorum suorum fortissimis ac strenuis-
simis quibusque præmissis, qui locum ac sedem occuparent. Quod bellum
9 toto decennio gestum esse, ab Heliopolitanis sese accepisse testatur. Porro
Moysum, copiarum magnitudine instructum, eodem in loco urbem condi-

ΑΛΕΞΑΝΔΡΟΥ

τόπῳ, καὶ τὴν ἶβιν ἐν αὐτῇ καθιερῶσαι, διὰ τὸ ταύτην τὰ
βλάπτοντα ζῷα τοὺς ἀνθρώπους ἀναιρεῖν. Προσαγορεῦσαι
10 δὲ αὐτὴν Ἑρμοῦ πόλιν. Οὕτω δὴ τοὺς Αἰθίοπας, καίπερ p. 433
ὄντας πολεμίους, στέρξαι τὸν Μώϋσον, ὥστε καὶ τὴν περι-
τομὴν τῶν αἰδοίων παρ' ἐκείνου μαθεῖν· οὐ μόνον δὲ τούτους,
11 ἀλλὰ καὶ τοὺς ἱερεῖς ἅπαντας. Τὸν δὲ Χενεφρῆν, λυθέντος
τοῦ πολέμου, λόγῳ μὲν αὐτὸν ἀποδέξασθαι, ἔργῳ δὲ ἐπι-
βουλεύειν. Παρελόμενον γοῦν αὐτοῦ τοὺς ὄχλους, τοὺς μὲν
ἐπὶ τὰ ὅρια τῆς Αἰθιοπίας πέμψαι, προφυλακῆς χάριν· τοῖς
[253] δὲ προστάξαι τὸν ἐν Διὸς πόλει ναὸν ἐξ ὀπτῆς πλίνθου
κατεσκευασμένον καθαιρεῖν, ἕτερον δὲ λίθινον κατασκευάσαι
τὸ πλησίον ὄρος λατομήσαντας· τάξαι δὲ ἐπὶ τῆς οἰκοδομίας b
12 ἐπιστάτην Ναχέρωτα. Τὸν δὲ ἐλθόντα μετὰ Μωΰσου εἰς
Μέμφιν, πυθέσθαι παρ' αὐτοῦ, εἴ τι ἄλλο ἐστὶν εὔχρηστον
τοῖς ἀνθρώποις· τὸν δὲ φάναι γένος τῶν βοῶν, διὰ τὸ τὴν
γῆν ὑπὸ τούτων ἀροῦσθαι· τὸν δὲ Χενεφρῆν, προσαγορεύ-
σαντα ταῦρον Ἄπιν, κελεῦσαι ἱερὸν αὐτοῦ τοὺς ὄχλους καθι-
δρύσασθαι, καὶ τὰ ζῷα τὰ καθιερωθέντα ὑπὸ τοῦ Μωΰσου
κελεύειν ἐκεῖ φέροντας θάπτειν, κατακρύπτειν θέλοντα τὰ
13 τοῦ Μωΰσου ἐπινοήματα. Ἀποξενωσάντων δὲ αὐτὸν τῶν

ult. αὐτῇ] αὐτῷ C.F.G.
p. 433. 9. προσφυλακῆς D. qui mox αὐτόν. πρὸς φυλακῆς E.F.I. 11. ὀπτῆς] ὀπτοῦ E. λίθινον ὄρος κατασκευάσαι F.G. b 11. θέλων] θέλοντας C.D.E.F.G.I. θέλοντα reponendum vidit Vigerus. ἀποξενωσάντων] ἀποξενώσαντας C.D.E.F.G.I.

disse, Hermopolim nomine, in qua primum ibim, quod noxias hominibus
10 animantes perimat, consecrarit. Æthiopes autem ipsos, tametsi hostes,
tam propenso tamen in Moysum animo fuisse, ut ipsius quoque circum-
cisionis ab eo ritum acciperent. Id quod a sacerdotibus etiam omnibus
11 præstitum fuerit. Cæterum Chenephren, confecto bello, tametsi benevo-
lentiam ore simularet, clam ei tamen insidiari re ipsa perrexisse. Itaque
Moysi copias ita distraxisse, ut partim ad Æthiopiæ confinia per caussam
præsidii ablegaret, partim Diospoleos templum operis lateritii diruere,
aliudque, lapidibus ex vicino monte cæsis, lapideum ædificare juberet.
12 Huic operi Nacherotem quendam ab eo præfectum esse, qui Memphim
una cum Moyso profectus, quæsierit ex eo, num quid præterea humano
generi commodum utileque nosset: cui Moyses, se vero nosse, boves
nimirum, quibus in aranda terra uti liceret. At Chenephren, ubi tauro
Apis nomen indidisset, ei continuo templum a multitudine poni, eodemque
translatas animantes a Moyse prius consecratas sepeliri voluisse, uti rerum
13 ab eo institutarum memoriam una sepeliret. Verum abalienatos a se

ΑΛΕΞ-
ΑΝ-
ΔΡΟΥ

Αἰγυπτίων, ὁρκωμοτῆσαι τοὺς φίλους μὴ ἐξαγγεῖλαι τῷ c
Μωΰσῳ τὴν ἐπισυνισταμένην αὐτῷ ἐπιβουλήν, καὶ προβαλέ-
14 σθαι τοὺς ἀναιρήσοντας αὐτόν. Μηδενὸς δ' ὑπακούσαντος,
ὀνειδίσαι τὸν Χενεφρῆν Χανεθώθην, τὸν μάλιστα προσαγο-
ρευόμενον ὑπ' αὐτοῦ· τὸν δὲ ὀνειδισθέντα ὑποσχέσθαι τὴν
15 ἐπίθεσιν, λαβόντα καιρόν. Ὑπὸ δὲ τοῦτον τὸν καιρὸν τῆς
Μερρίδος τελευτησάσης, ὑποσχέσθαι τὸν Χενεφρῆν τῷ τε
Μωΰσῳ καὶ τῷ Χανεθώθῃ τὸ σῶμα διακομίσαντας εἰς τοὺς
ὑπὲρ Αἴγυπτον τόπους θάψαι, ὑπολαβόντα τὸν Μώϋσον d
16 ὑπὸ τοῦ Χανεθὼθ ἀναιρεθήσεσθαι. Πορευομένων δὲ αὐ-
τῶν τὴν ἐπιβουλὴν τῷ Μωΰσῳ τῶν συνειδότων ἐξαγγεῖλαί
τινα· τὸν δὲ φυλάσσοντα αὐτὸν τὴν μὲν Μέρριν θάψαι, τὸν
δὲ ποταμὸν καὶ τὴν ἐν ἐκείνῳ πόλιν Μερόην προσαγορεῦσαι.
Τιμᾶσθαι δὲ τὴν Μέρριν ταύτην ὑπὸ τῶν ἐγχωρίων οὐκ
17 ἔλαττον ἢ τὴν Ἶσιν. Ἀάρωνα δὲ τὸν τοῦ Μωΰσου ἀδελ-
φὸν τὰ περὶ τὴν ἐπιβουλὴν ἐπιγνόντα, συμβουλεῦσαι τῷ
ἀδελφῷ φυγεῖν εἰς τὴν Ἀραβίαν· τὸν δὲ πεισθέντα, ἀπὸ
Μέμφεως τὸν Νεῖλον διαπλεύσαντα, ἀπαλλάσσεσθαι εἰς τὴν
18 Ἀραβίαν. Τὸν δὲ Χανεθώθην πυθόμενον τοῦ Μωΰσου τὴν p. 434

c. μωΰσῳ] μωυσεῖ C.F.G. et sic infra. Μωϋσῇ D.I. 2. προβαλέσθαι] προβάλλεσθαι D.I. 5. προσαγορευόμενον] προσαγόμενον C.F.G. 8. μερρίδος] μερίδος I. 10. σῶμα ὥστε] ὥστε om. C.D.F.G.I. d 2. χανεθὼθ] χανεθώθη C.F.G. 3. Μωυσῇ E. μωσεῖ F.G.I. Supra αὐτῶν καὶ ἐπιβ. F. 8. ἔλαττον] ἐλαχίστως C.D.E.F.G.I.

propterea cum Ægyptiorum animos intelligeret, clam jurejurando amicorum suorum fidem obstrinxisse, uti ne quis Moyso paratas insidias ape-
14 riret, simulque futuros cædis auctores designasse. Reclamantibus omnibus, Chanethothen, quem ex omnibus præcipue nominant, acerbius increpasse, qui regis tandem offensione permotus, commodo se tempore facinus obi-
15 turum receperit. Ergo cum in eos forte dies Merrhis obitus incidisset, Chenephren transferendi ultra Ægypti fines corporis, ibidemque sepeliendi, Moyso et Chanethothæ potestatem fecisse, cum interfectum iri
16 ab isto Moysum putaret. Verum insidiis a conscio quodam in itinere sibi patefactis, Moysum saluti suæ diligentius cavisse: cui, post sepultam Merrhin, Meroesque nomen fluvio atque urbi ad fluvium ædificatæ impositum, quam quidem Merrhin, indigenæ haud minori quam Isin ipsam
17 religione venerentur, Aaron frater, qui et ipse conjurationem resciverat, auctor fuerit, uti fugam in Arabiam capesseret. Illum ergo consilium fratris sequutum, Memphi solvisse, Niloque trajecto in Arabiam appulisse.
18 Chanethotem vero fuga intellecta, insidias ei tetendisse, quibus exeeptum

ΑΛΕΞ-
ΑΝ-
ΔΡΟΥ

φυγὴν ἐνεδρεύειν ὡς ἀναιρήσοντα· ἰδόντα δὲ ἐρχόμενον σπά-
σασθαι τὴν μάχαιραν ἐπ' αὐτὸν, τὸν δὲ Μώϋσον προκατα-
ταχήσαντα, τήν τε χεῖρα κατασχεῖν αὐτοῦ, καὶ σπασάμενον
19 τὸ ξίφος φονεῦσαι τὸν Χανεθώθην· διεκδρᾶναι δὲ εἰς τὴν
Ἀραβίαν, καὶ Ῥαγουήλῳ τῷ τῶν τόπων ἄρχοντι συμβιοῦν,
λαβόντα τὴν ἐκείνου θυγατέρα· τὸν δὲ Ῥαγουῆλον βούλεσθαι
στρατεύειν ἐπὶ τοὺς Αἰγυπτίους, κατάγειν βουλόμενον τὸν
Μώϋσον, καὶ τὴν δυναστείαν τῇ τε θυγατρὶ καὶ τῷ γαμβρῷ b
κατασκευάσαι· τὸν δὲ Μώϋσον ἀποκωλῦσαι, στοχαζόμενον τῶν
ὁμοφύλων· τὸν δὲ Ῥαγουῆλον διακωλύοντα στρατεύειν τοῖς
20 Ἄραψι, προστάξαι λῃστεύειν τὴν Αἴγυπτον. Ὑπὸ δὲ τὸν
αὐτὸν χρόνον, καὶ τὸν Χενεφρῆν πρῶτον ἁπάντων ἀνθρώπων
ἐλεφαντιάσαντα μεταλλάξαι· τούτῳ δὲ τῷ πάθει περιπεσεῖν
διὰ τὸ τοὺς Ἰουδαίους προστάξαι σινδόνας ἀμφιέννυσθαι,
ἐρεᾶν δ' ἐσθῆτα μὴ ἀμπέχεσθαι, ὅπως ὄντες ἐπίσημοι κολά-
21 ζωνται ὑπ' αὐτοῦ. Τὸν δὲ Μώϋσον εὔχεσθαι τῷ Θεῷ, ἤδη c
ποτὲ τοὺς λαοὺς παῦσαι τῶν κακοπαθειῶν. Ἱλασκομένου δ'
αὐτοῦ, αἰφνιδίως φησὶν ἐκ τῆς γῆς πῦρ ἀναφθῆναι, καὶ τοῦτο

p. 434. 3. ἐπ. αὐτὸν om. F. 4. προκαταταχήσαντα] προκαταχήσαντα D. ἴσ. προκατασχήσαντα Vigeri margo. 7. τῷ τῶν] τῷ om. F.G. b 2. στοχαζόμενον] τὸ στοχαζ. D.I. 5. χενεφρῆν] τὸν χεν. C.D.E.F.I. 6. ἁπάντων ἀνθρώπων] ἀνθ. ἁπ. C. ἐλεφαντασιάσαντα E. 7. τῷ πάθει] τά πάθη E. 9. ἀμπέχ.] ἀπέχ. C.D. Supra ἐρέαν D.E.F.G.I. non ἐρεᾶν. Vid. Platon. Polit. p. 283 A. 10. κολάζωνται] κολάζονται D. c. λαοὺς om. D.

opprimeret; adeoque venienti stricto gladio occurrisse: at Moysum
hominem occupasse, nec ejus tantum inhibuisse manum, sed etiam illum
19 educto ense confodisse. E vestigio elapsum in Arabiam, ad Raguelum
ejus tum regionis principem adhæsisse, ab eoque filiam in uxorem acce-
pisse. Porro cum in Ægyptios movere Raguelus vehementer optaret, ut
Moysum eo deduceret, filiæque simul ac genero imperium assereret:
Moysum, quod gentilibus suis metueret, ab ea ipsum mente dimovere
conatum esse quidem, sed tamen et Arabibus abstinere, et ex Ægypto
20 prædas agere a Raguelo jussum fuisse. Interea Chenephren elephantiæ
morbo mortalium omnium principem obiisse, cum in eum incidisset, quod
Judæos, laneæ vestis usu prohibito, sindones jussisset induere, quo faci-
21 lius in eos hoc a cæteris cultu distinctos sævire posset. At Moysum
gentis suæ miserias apud Deum assidue deprecantem, eo demum tempore
Numen propitium habuisse, ac repente succensum e terra ignem erupisse

ΑΛΕΞΑΝΔΡΟΥ καέσθαι, μήτε ὕλης, μήτε ἄλλης τινὸς ξυλείας οὔσης ἐν τῷ
τόπῳ. Τὸν δὲ Μώϋσον δείσαντα τὸ γεγονὸς φεύγειν· φω-
νὴν δ' αὐτῷ θείαν εἰπεῖν, στρατεύειν ἐπ' Αἴγυπτον, καὶ τοὺς
Ἰουδαίους διασώσαντα εἰς τὴν ἀρχαίαν ἀγαγεῖν πατρίδα.
22 Τὸν δὲ θαρρήσαντα δύναμιν πολεμίαν ἐπάγειν διαγνῶναι τοῖς
Αἰγυπτίοις. Πρῶτον δὲ πρὸς Ἀάρωνα τὸν ἀδελφὸν ἐλθεῖν·
τὸν δὲ βασιλέα τῶν Αἰγυπτίων πυθόμενον τὴν τοῦ Μωΰσου d
παρουσίαν καλέσαι πρὸς αὐτὸν, καὶ πυνθάνεσθαι ἐφ' ὅ τι ἥκοι·
τὸν δὲ φάναι, διότι προστάσσειν αὐτῷ τὸν τῆς οἰκουμένης
23 δεσπότην ἀπολῦσαι τοὺς Ἰουδαίους. Τὸν δὲ πυθόμενον εἰς
φυλακὴν αὐτὸν καθεῖρξαι. Νυκτὸς δὲ ἐπιγενομένης, τάς τε
[254] θύρας πάσας αὐτομάτως ἀνοιχθῆναι τοῦ δεσμωτηρίου, καὶ
τῶν φυλάκων οὓς μὲν τελευτῆσαι, τινὰς δὲ ὑπὸ τοῦ ὕπνου
24 παρεθῆναι, τά τε ὅπλα κατεαγῆναι. Ἐξελθόντα δὲ τὸν
Μώϋσον ἐπὶ τὰ βασίλεια ἐλθεῖν· εὑρόντα δὲ ἀνεῳγμένας τὰς
θύρας εἰσελθεῖν, καὶ ἐνθάδε τῶν φυλάκων παρειμένων τὸν
βασιλέα ἐξεγεῖραι. Τὸν δὲ ἐκπλαγέντα ἐπὶ τῷ γεγονότι
κελεῦσαι τῷ Μωΰσῳ τὸ τοῦ πέμψαντος αὐτὸν Θεοῦ εἰπεῖν p. 435

c 5. γένος] γεγονὸς C.F.G. Vigeri margo. 7. διασώσαντα] ἀνασώσαντα C. 8. ἀρχαίαν om. F. d. τὴν τοῦ] τὴν ἐκ τοῦ D.E.I. 2. ὅτῳ—προστάξαι] ὅτι—προστάσσειν C.E.F. ὅτι—διότι προστάσσειν D.G.I. 13. τὸν βασ.] καὶ τὸν βασ. C.F.G.

ait, qui, tametsi locus ab omni ligno aliaque materia igni pascendo apta
vacuus esset, ardere tamen non desineret. Quo prodigio Moysum, cum
exterritus fugeret, voce divinitus immissa admonitum esse, ut in Ægyptum
expeditione suscepta, Judæos liberaret, ac pristinam in patriam aliquando
22 reduceret. Itaque confirmato animo bellum Ægyptiis inferre statuisse, sic
tamen ut Aaronem fratrem ante omnia conveniret. Cujus adventu nunciato, Ægyptium regem ex eo, quem ad sese confestim evocaverat, quæsiisse, quorsum illuc venisset: ipsum autem, orbis universi moderatoris
jussu ac nomine regi denuntiasse, uti Judæos liberos securosque dimitteret.
23 Quamobrem, cum in carcerem ab eo conjectus esset, noctu portas omnes
carceris sponte patuisse, custodesque partim repentino sublatos interitu,
24 partim alto somno solutos fractis passim armis jacuisse. Moysum e
vestigio sese in regiam, patefactis etiam ultro januis intulisse, ac præsidiariis militibus profundo quoque somno sepultis, regem excitasse; qui facti
novitatem primum quidem obstupuerit, mox tamen, quasi ludos Moysum
faceret, Dei a quo missus esset, nomen eum aperire jusserit: quod ubi

ΑΛΕΞΑΝΔΡΟΥ

25 ὄνομα, διαχλευάσαντα αὐτόν· τὸν δὲ προσκύψαντα πρὸς
τὸ οὖς εἰπεῖν, ἀκούσαντα δὲ τὸν βασιλέα πεσεῖν ἄφωνον, δια-
26 κρατηθέντα δὲ ὑπὸ τοῦ Μωΰσου πάλιν ἀναβιῶσαι· γράψαντα
δὲ τοὔνομα εἰς δέλτον κατασφραγίσασθαι· τῶν δὲ ἱερέων τὸν
ἐκφαυλίσαντα ἐν τῇ πινακίδι τὰ γεγραμμένα μετὰ σπασμοῦ
27 τὸν βίον ἐκλιμπάνειν· εἰπεῖν τε τὸν βασιλέα σημεῖόν τι αὐτῷ
ποιῆσαι· τὸν δὲ Μώϋσον ἣν εἶχε ῥάβδον ἐκβαλόντα ὄφιν
ποιῆσαι· πτοηθέντων δὲ πάντων, ἐπιλαβόμενον τῆς οὐρᾶς b
28 ἀνελέσθαι, καὶ πάλιν ῥάβδον ποιῆσαι· προελθόντα δὲ μι-
κρὸν, τὸν Νεῖλον τῇ ῥάβδῳ πατάξαι· τὸν δὲ ποταμὸν πολύ-
χουν γενόμενον κατακλύζειν ὅλην τὴν Αἴγυπτον· ἀπὸ τότε
δὲ καὶ τὴν κατάβασιν αὐτοῦ γίνεσθαι· συναγαγὸν δὲ τὸ ὕδωρ
ἀποζέσαι, καὶ τὰ ποτάμια διαφθεῖραι ζῷα, τούς τε λαοὺς διὰ
29 τὴν δίψαν φθείρεσθαι. Τὸν δὲ βασιλέα, τούτων γενομένων
τῶν τεράτων, φάναι μετὰ μῆνα τοὺς λαοὺς ἀπολύσειν, ἐὰν
ἀποκαταστήσῃ τὸν ποταμόν· τὸν δὲ Μώϋσον πάλιν τῇ ῥάβδῳ c
30 πατάξαντα τὸ ὕδωρ συστεῖλαι τὸ ῥεῦμα. Τούτου δὲ γενο-
μένου, τὸν βασιλέα τοὺς ἱερεῖς τοὺς ὑπὲρ Μέμφιν καλέσαι,

p. 435. 2. προσκύψαντα] πέμψαντα E. 3. ἄφωνον] ἄφθωνον E. 6. τῶν δὲ] τῶν τε C.D.F.G. ἐκφαυλίσαντα] τὸν φαυλήσ. C. φαυλίσαντα D.I. τὸν φαυλίσ. F.G. 7. τὰ ἐν τῇ π.] ἐν τῇ π. τὰ C.D.F.G.I. τὰ γεγ. E. b 2. προελθ.] προσελθ. C.G. 5.* συναγαγὸν] συναγαγὼν C.D.E. 6. ἀποζέσαι] ἐποζέσαι I. c. τῇ ῥάβδῳ om. C.F.G.

25 Moysus in aurem insinuasset, regem illico mutum concidisse, donec ab
26 eodem arreptus sibi ac vitæ redderetur. Et illum quidem indicatum
nomen tabellis inscripsisse, quas postmodum obsignarit: quendam vero
sacerdotem, qui scripti nominis majestatem elevaret, repentino spasmo
27 correptum periisse. Præterea, cum rex a Moyso prodigium aliquod expe-
teret, eum quam manu virgam tenebat, in serpentem subito convertisse,
omnibusque stupentibus, arrepta cauda priorem ei rursus virgæ formam
28 reddidisse. Paulo post Nilum eadem virga percussum, intumescentibus
undis Ægyptum universam proluisse; ex eoque tempore statis deinceps
vicibus in agros sese Nilum effudisse. Mox collectas et stagnantes passim
aquas efferbuisse, nec piscibus modo interitum, sed exitialem quoque
29 hominibus sitim attulisse. Itaque regem tot prodigiis territum, sese post
mensem Judæos dimissurum spopondisse, si pristinus flumini status a
Moyso redderetur: illum aquam denuo virga tetigisse, eodemque mo-
30 mento insolentem ejus impetum constitisse. Hic vero regem, evocatis qui
trans Memphim incolebant sacerdotibus, necem omnibus interminatum,

ΑΛΕΞ-
ΑΝ-
ΔΡΟΥ

καὶ φάναι αὐτοὺς ἀναιρήσειν, καὶ τὰ ἱερὰ κατασκάψειν, ἐὰν μὴ
καὶ αὐτοὶ τερατουργήσωσί τι. Τοὺς δὲ τότε διά τινων μαγ-
γάνων καὶ ἐπαοιδῶν δράκοντα ποιῆσαι, καὶ τὸν ποταμὸν
31 μεταχρῶσαι. Τὸν δὲ βασιλέα φρονηματισθέντα ἐπὶ τῷ
γεγονότι, πάσῃ τιμωρίᾳ καὶ κολάσει καταικίζειν τοὺς Ἰου-
δαίους. Τὸν δὲ Μώϋσον ταῦτα ὁρῶντα ἄλλα τε σημεῖα
ποιῆσαι, καὶ πατάξαντα τὴν γῆν τῇ ῥάβδῳ ζῷόν τι πτηνὸν
ἀνεῖναι λυμαίνεσθαι τοὺς Αἰγυπτίους, πάντα τε ἐξελκωθῆναι d
τὰ σώματα. Τῶν δὲ ἰατρῶν μὴ δυναμένων ἰᾶσθαι τοὺς κά-
32 μνοντας, οὕτω πάλιν ἀνέσεως τυχεῖν τοὺς Ἰουδαίους. Πάλιν
τε τὸν Μώϋσον βάτραχον διὰ τῆς ῥάβδου ἀνεῖναι, πρὸς δὲ
τούτοις ἀκρίδας καὶ σκνίφας. Διὰ τοῦτο δὲ καὶ τοὺς Αἰ-
γυπτίους τὴν ῥάβδον ἀνατιθέναι εἰς πᾶν ἱερὸν, ὁμοίως δὲ καὶ
τῇ Ἴσιδι, διὰ τὸ τὴν γῆν εἶναι Ἶσιν, παιομένην δὲ τῇ ῥάβδῳ
33 τὰ τέρατα ἀνεῖναι. Τοῦ δὲ βασιλέως ἔτι ἀφρονουμένου, τὸν
Μώϋσον χάλαζάν τε καὶ σεισμοὺς διὰ νυκτὸς ἀποτελέσαι,
ὥστε τοὺς τὸν σεισμὸν φεύγοντας ἀπὸ τῆς χαλάζης ἀναι-
ρεῖσθαι, τούς τε τὴν χάλαζαν ἐκκλίνοντας ὑπὸ τῶν σεισμῶν

c 5. τερατουργήσωσι] τι addit C. et F.G. suprasc. 13. ὁ λυμήνασθαι] λυμαίνεσθαι C.D.F.G.I. ὁ item om. E. d. πάντα τε ἐξελκωθῆναι] πάντας τε ἐξελαυνωθῆναι F. πάντας G. 4. τε τὸν] τὸν om. C. F.G. 6. σκνίπας] σκνίφας C.D.E.F.G. 9. δὲ τῇ] δὲ om. C.F. 12. ὥστε] ὥστε καὶ C.F.G. ult. ὑπὸ] ἀπὸ F.G.

nisi similia ipsi quoque prodigia ostenderent. Eos, præstigiis et cantionibus quibusdam repente draconis speciem objecisse, ac fluminis colorem
31 immutasse; quo facto elatiorem ac tumidiorem quam antea regem, omni pœnarum ac suppliciorum genere postmodum Judæos vexasse. Quod ubi Moysus videret, cum alia pleraque ab eo miracula edita esse, tum ex terra quam virga percusserat, genus quoddam alati animantis extitisse, quod Ægyptios pessime vexaret, omniumque corporibus fœdum morsibus punctionibusque suis ulcus inureret. Cui morbo cum nullum medici
32 remedium invenirent, Judæos aliquantulum denuo respirasse. Moysum vero, ejusdem virgæ contactu ranas præterea, locustas, ac culices excitasse: quæ quidem in caussa fuerint, quamobrem singulis in templis virgam Ægyptii consecrarint, eademque omnino qua ipsammet Isin religione coluerint; Isin quippe terram esse rati, quæ virga percussa tot
33 miraculorum formas exclusisset. At furente nihilo minus rege, Moysum ad grandinis calamitatem nocturnos terræ motus addidisse, ut qui sese motui subducere conarentur, grandine afflicti contusique perirent: qui autem grandinis impetum declinarent, terræ quassatione interirent. Ac

διαφθείρεσθαι. Συμπεσεῖν δὲ τότε τὰς μὲν οἰκίας πάσας, τῶν p. 436
ΑΛΕΞ-ΑΝ-ΔΡΟΥ
34 τε ναῶν τοὺς πλείστους. Τελευταῖον τοιαύταις συμφοραῖς
περιπεσόντα τὸν βασιλέα τοὺς Ἰουδαίους ἀπολῦσαι· τοὺς δὲ
χρησαμένους παρὰ τῶν Αἰγυπτίων πολλὰ μὲν ἐκπώματα, οὐκ
ὀλίγον δὲ ἱματισμὸν, ἄλλην τε παμπληθῆ γάζαν, διαβάντας
τοὺς κατὰ τὴν Ἀραβίαν ποταμοὺς, καὶ διαβάντας ἱκανὸν τό-
35 πον ἐπὶ τὴν ἐρυθρὰν τριταίους ἐλθεῖν θάλασσαν. Μεμφίτας
μὲν οὖν λέγειν, ἔμπειρον ὄντα τὸν Μώϋσον τῆς χώρας τὴν
ἄμπωτιν τηρήσαντα διὰ ξηρᾶς τῆς θαλάσσης τὸ πλῆθος b
περαιῶσαι· Ἡλιουπολίτας δὲ λέγειν, ἐπικαταδραμεῖν τὸν
βασιλέα μετὰ πολλῆς δυνάμεως, [ἅμα] καὶ τοῖς καθιερωμένοις
ζώοις, διὰ τὸ τὴν ὕπαρξιν τοὺς Ἰουδαίους τῶν Αἰγυπτίων
[255] 36 χρησαμένους διακομίζειν. Τῷ δὲ Μωΰσῳ θείαν φωνὴν γε-
νέσθαι, πατάξαι τὴν θάλασσαν τῇ ῥάβδῳ καὶ διαστῆναι· τὸν
δὲ Μώϋσον ἀκούσαντα, ἐπιθίγειν τῇ ῥάβδῳ τοῦ ὕδατος, καὶ
οὕτω τὸ μὲν νᾶμα διαστῆναι, τὴν δὲ δύναμιν διὰ ξηρᾶς ὁδοῦ
37 πορεύεσθαι. Συνεμβάντων δὲ τῶν Αἰγυπτίων καὶ διωκόντων, c
φησὶ πῦρ αὐτοῖς ἐκ τῶν ἔμπροσθεν ἐκλάμψαι, τὴν δὲ θάλασ-
σαν πάλιν τὴν ὁδὸν ἐπικλύσαι· τοὺς δὲ Αἰγυπτίους ὑπό τε

p. 436. 5. ἐκπτώματα D.I. 7. παμπληθεὶ E. 10. μὲν λέγειν] μὲν οὖν λ. C.F.G. καὶ om. D.E.F.G.I. ante Μεμφίτας. b 4. ἅμα καὶ] ἅμα om. C.D.E.F.G.I. 6. μωύσῳ] μωσεῖ C.F.G. Tum φωνὴν θείαν F.G.I. 8. ῥάβδῳ] ῥάβδῳ καὶ διαστῆναι C.D.E.F.G.I. ἐπιθίγειν] ἐπιθήσειν C.

34 domos quidem universas, fanaque tum plurima corruisse: regem vero tot
malis cladibusque fractum, Judæos sero licet, aliquando tamen dimisisse.
Qui multis ab Ægyptiis cum poculis, tum vestibus corrogatis, aliaque
multiplici gaza, trajectis Arabiæ fluminibus, magnoque confecto itinere, ad
35 mare rubrum tertio demum die pervenerint. Atque a Memphitis quidem
ita narrari, Moysum totius regionis scientissimum, observato reciprocantis
æstus tempore, sicco mari universam multitudinem transmisisse: ab
Heliopolitanis vero secus; quippe regem abeuntes Judæos, quæque ab
Ægyptiis mutuo acceperant secum auferentes, ingenti exercitu cum ani-
36 mantibus consecratis persequutum esse. At Moysum uti mare virga
percuteret, divinitus admonitum, aquam virga tetigisse, ac discedentibus
37 illico fluctibus, copias sicco tramite deduxisse. Eandem porro viam ten-
tantibus, ac fugientium terga prementibus Ægyptiis, cum adversum re-
pente ignem coruscasse, tum ipsum quoque mare patentem semitam reflu-
entibus undis obruisse, itaque partim igni, partim æstu maritimo Ægyptios

ΑΛΕΞ-ΑΝ-ΔΡΟΥ

τοῦ πυρὸς καὶ τῆς πλημμυρίδος πάντας διαφθαρῆναι· τοὺς δὲ Ἰουδαίους διαφυγόντας τὸν κίνδυνον τεσσαράκοντα ἔτη ἐν τῇ ἐρήμῳ διατρίψαι, βρέχοντος αὐτοῖς τοῦ Θεοῦ κρῖμνον, ὅμοιον ἐλύμῳ, χιόνι παραπλήσιον τὴν χρόαν. Γεγονέναι δέ φησι τὸν Μώϋσον μακρὸν, πυρρακῆ, πολιὸν, κομήτην, ἀξιωματικόν. Ταῦτα δὲ πρᾶξαι περὶ ἔτη ὄντα ὀγδοήκοντα d ἐννέα.

28 Περὶ δὲ τοῦ τὸν Μώϋσον ἐκτεθῆναι ὑπὸ τῆς μητρὸς εἰς τὸ ἕλος, καὶ ὑπὸ τῆς τοῦ βασιλέως θυγατρὸς ἀναιρεθῆναι καὶ τραφῆναι, ἱστορεῖ καὶ Ἐζεκιῆλος ὁ τῶν τραγῳδιῶν ποιητὴς, ἄνωθεν ἀναλαβὼν τὴν ἱστορίαν ἀπὸ τῶν σὺν Ἰακὼβ παραγενομένων εἰς Αἴγυπτον πρὸς Ἰωσήφ. Λέγει δὲ οὕτως, τὸν Μώϋσον παρεισάγων λέγοντα,

> Ἀφ᾽ οὗ δ᾽ Ἰακὼβ γῆν λιπὼν Χαναναίαν p. 437
> κατῆλθ᾽ ἔχων Αἴγυπτον ἑπτάκις δέκα
> ψυχὰς σὺν αὐτῷ, κἀπεγέννησεν πολὺν

c 5. διαφυγόντας] διαφυγόντα C. 6. τριάκοντα] μ′ C.F.G. 8. κρίμνον] κρίμνον σπέρμα ὅμοιον κρι(θ). ὁμοίως καὶ ἔλυμος σπερ. βοτάνης, ὃ ἕψοντες λα. . . . ἐσθίουσιν· ἐν τοῖς ἕλεσι καὶ τοῖς ὑγροῖς τόποις φυο(μ). E. marg. 9. φησὶ] φασὶ C.F.G. Supra χρώαν E. 10. κομήτην] κομίτην C.F.G. 11. ὄντα om. C.F.G. Addunt statim B.C.F.G. Ἐζεκήλου περὶ Μωυσέως ὁμοίως. d 5. ἀναιρεθῆναι καὶ τραφῆναι] ἀνευρεθῆναι B. καὶ τραφῆναι om. item C. 6. ἐζεκιῆλος] ἐζεκίλος B. ἐζεκῆλος C.D.F.G. pen. εἰς αἴγ. πρὸς ἰωσήφ] πρὸς ἰωσ. εἰς αἴγ. C.

p. 437. ἀφ᾽ οὗ] ἀφ᾽ οὗ δ᾽ B.D.F.G.I. 2. κατῆλθ᾽ εἰς αἴγυπτον ἔχων] κατῆλθεν ἔχων Αἴγ. B.C.D.E. κατ᾽ ἦλθ᾽ ἔχων F.G.I.

ad unum omnes periisse. Judæos vero ab imminenti periculo liberatos, per solitudinem annos triginta continenter vagatos esse, ac farina, quam cœlitus iis Deus plueret, panicum figura, candore nivem referente vitam sustentasse. Cæterum idem Moysum statura proceriorem, colore subrufum, promissa jam cæsarie canum, totoque corpore augustiorem fuisse, hæcque omnia circa annum ætatis nonum et octogesimum perfecisse tradit.

28 Jam vero, quemadmodum ipse quoque Moyses a matre paludi expositus, atque a regis filia receptus educatusque fuerit, Ezechielus poeta tragicus fuse persequitur, historia jam usque a Jacobi familiæ in Ægyptum ad Josephum adventu repetita. Is ergo Moysem ipsum hunc in modum loquentem introducit :

> Chananæa postquam deserens Jacob sola,
> Deciesque septem corporum cinctus globo,
> In Pharia venit regna ; numerosam insuper

ΑΛΕΞΑΝΔΡΟΥ

λαὸν κακῶς πράσσοντα καὶ τεθλιμμένον,
ἐς ἄχρι τοῦτον τὸν χρόνον κακούμενον
κακῶν ὑπ' ἀνδρῶν καὶ δυναστείας χερός.
Ἰδὼν γὰρ ἡμῶν γένναν ἅλις ηὐξημένην,
δόλον καθ' ἡμῶν πολὺν ἐμηχανήσατο
βασιλεὺς Φαραὼ, τοὺς μὲν ἐν πλινθεύμασιν b
οἰκοδομίας τε βαρέσιν αἰκίζων βροτοὺς,
πόλεις τ' ἐπύργου, σφῶν ἕκατι δυσμόρων.
Ἔπειτα κηρύσσει μὲν Ἑβραίων γένει
τἀρσενικὰ ῥίπτειν ποταμὸν ἐς βαθύρροον.
Ἐνταῦθα μήτηρ ἡ τεκοῦσ' ἔκρυπτέ με
τρεῖς μῆνας, ὡς ἔφασκεν. Οὐ λαθοῦσα δὲ
ὑπεξέθηκε, κόσμον ἀμφιθεῖσά μοι, c
παρ' ἄκρα ποταμοῦ, λάσιον, εἰς ἕλος δασύ.
Μαριὰμ δ' ἀδελφή μου κατώπτευεν πέλας·
κἄπειτα θυγάτηρ βασιλέως ἅβραις ὅμου
κατῆλθε λουτροῖς χρῶτα φαιδρῦναι νέον·

a 7. τούτων τῶν χρόνων] τοῦτον τὸν χρόνον C. 10. χερός] χειρὸς B. 11. ἡμῶν—ηὐξημένην] ὑμῶν—ηὐξημένα B. Seqq. usque ad συμφανὲς τόδε leguntur in Clem. Alex. Str. I. 23. p. 414. ed. Pott. b. πλινθεύμασιν] πληθ. B. 3. οἰκοδομαῖς] Lege οἰκοδομίας cum Clemente. βαρείαις ἀεικίζων] βάρεσιν αἰκίζων B.C.D.F.G. βάρεσιν item E.I. 5. πόλεις τε πύργους] πόλεσί τε πύργους Clem. ubi reponit Sylburgius πόλεις τ' ἐπύργου. τε σφῶν] τε om. B.D.E.F.G.I. 8. ἐς] εἰς B. 11. ὡς] οὓς C.E.F.I. c 2. ὄχθην] ἄκρα τοῦ B. ἄκρα C.D.E.F.G.I. 4. ἀδελφή μου] ἄδελφ' ἡμῶν B.C.D.F.G.I. 6. ἅβραις] αὔραις B. 8. φαιδρύναι τὸ ἐὸν δέμας] χρῶτα φαιδρύναι νέον B.C.D.E.F.G.I.

Sobolem creavit, quæ gravi fato hactenus
Vexata, dirum gentis infandæ jugum
Sævasque dominæ pertulit plagas manus.
Nam cum videret gliscere Hebræum genus,
Caput inde nostrum fraudibus multis petit
Rex Pharao, miseros opere lateritio premens,
Vastasque moles urbium atque turrium
Labore casso tollere in cœlum jubens.
Exin profundo masculum quicquid dies
Natum videret, flumine immersum obrui.
Me vero genitrix, quod mihi lætam haud semel
Narrare memini, mensibus texit tribus.
Deprensa tandem, qua tumens jacet palus,
Exponit undis plurima insignem nota.
Procul Mariama stabat observans soror.
Ecce tibi regis nata cum famulis subit,
Lustrare liquido gestiens corpus vado.

ΑΛΕΞ-ΑΝ-ΔΡΟΥ

ἰδοῦσα δ' εὐθὺς καὶ λαβοῦσ' ἀνείλετο.
Ἔγνω δ' Ἑβραῖον ὄντα· καὶ λέγει τάδε
Μαριὰμ ἀδελφὴ προσδραμοῦσα βασιλίδι· d
θέλεις τροφόν σοι παιδὶ τῷδ' εὕρω ταχὺ
ἐκ τῶν Ἑβραίων; Ἡ δ' ἐπέσπευσεν κόρην·
μολοῦσα δ' εἶπε μητρί· καὶ παρῆν ταχὺ
αὐτή τε μήτηρ, κἄλαβέν μ' ἐς ἀγκάλας.
Εἶπεν δὲ θυγάτηρ βασιλέως· τοῦτον, γύναι,
[256] τρόφευε, κἀγὼ μισθὸν ἀποδώσω σέθεν.
Ὄνομα δὲ Μωσῆν ὠνόμαζε, τοῦ χάριν
ὑγρᾶς ἀνεῖλεν ποταμίας ἀπ' ᾐόνος.

Τούτοις μεθ' ἕτερα ἐπιλέγει καὶ περὶ τούτων ὁ Ἐζεκιῆλος p. 438 ἐν τῇ τραγῳδίᾳ, τὸν Μωϋσῆν παρεισάγων λέγοντα,

Ἐπεὶ δὲ καιρὸς νηπίων παρῆλθέ μοι,
ἠγέν με μήτηρ βασιλίδος πρὸς δώματα,
ἅπαντα μυθεύσασα, καὶ λέξασά μοι
γένος πατρῷον, καὶ Θεοῦ δωρήματα.
Ἕως μὲν οὖν τὸν παιδὸς εἴχομεν χρόνον,
τροφαῖσι βασιλικαῖσι καὶ παιδεύμασιν

c 10. δ' ἰδοῦσα] ἰδοῦσα δ' εὐθὺς B.C.D.E.F.I. Tum ἀνείλετο λαβοῦσα B. d 3. τῷ παιδίῳ] τῷ παιδὶ B.C.F.G.I. παιδὶ τῷδ' Clem. 4. ἐπένευσεν κόρῃ] ἐπέσπευσεν κόρην (κόριν B.) B.C.E.G.I. ἔσπευσε κόρην F. 7. αὐτή γε] αὐτή τε B.C.D.E.F.G.

p. 438. τούτοις—λέγοντα om. B. 2. ἐζεκιῆλος] ἐζεκῆλος C.D.E. F.G.I. 3. παρεισάγων] παρεισάγον C. 5. ἠγέν με] ἤγαγε C.F.G.

Puerum innatantem cernit, ac tollit manu,
Facileque Hebræum agnoscit. Accurrens simul
His ultro verbis principem affatur soror.
Placetne puero gentis Hebrææ statim
Vocem huc nutricem? Placuit. Hæc subito advolans
Casum parenti pandit, et celeri gradu
Jam mater adstat, meque complexu fovet.
Cui nata regis. Hunc mihi puerum educa,
Curæ ac laboris digna te merces manet.
Simul ipsa Mosis nomen imponit mihi,
Quod abs liquenti tulerat incolumem vado.

Quibus idem poeta Mosis ipsius quæ sequitur orationem adjungit,

Matura vix me firmat infantem dies,
Mora nulla, mater principis domum refert,
Sed ante patrium sedulo pandit mihi
Genus, ac potentis munus eximium Dei.
Puerile donec tempus ætatis fluit,
Regina, prorsus ac sua si me satum

ΑΛΕΞΑΝΔΡΟΥ

ἅπανθ' ὑπισχνεῖθ', ὡς ἀπὸ σπλάγχνων ἐῶν· b
ἐπεὶ δὲ πλήρης κόλπος ἡμερῶν παρῆν,
ἐξῆλθον οἴκων βασιλικῶν, (πρὸς ἔργα γὰρ
θυμός μ' ἄνωγε καὶ τέχνασμα βασιλέως·)
ὁρῶ δὲ πρῶτον ἄνδρας ἐν χειρῶν νόμῳ,
τὸν μὲν γένος Ἑβραῖον, τὸν δ' Αἰγύπτιον.
Ἰδὼν δ' ἐρήμους καὶ παρόντα μηδένα,
ἐρρυσάμην ἀδελφὸν, ὃν δ' ἔκτειν' ἐγὼ,
ἔκρυψα δ' ἄμμῳ τοῦτον, ὥστε μὴ εἰσιδεῖν c
ἕτερόν τιν' ἡμᾶς, κἀπογυμνῶσαι φόνον.
Τῇ 'παύριον δὲ πάλιν ἰδὼν ἄνδρας δύο,
μάλιστα δ' αὐτοὺς συγγενεῖς κακουμένους,
λέγω, τί τύπτεις ἀσθενέστερον σέθεν;
Ὁ δ' εἶπεν, ἡμῖν τίς σ' ἀπέστειλε κριτὴν,
ἢ 'πιστάτην ἐνταῦθα; Μὴ κτενεῖς σύ με,
ὥσπερ τὸν ἐχθὲς ἄνδρα; Καὶ δείσας ἐγὼ
ἔλεξα, πῶς ἐγένετο συμφανὲς τόδε;
Καὶ πάντα βασιλεῖ ταῦτ' ἀπήγγειλεν ταχύ·
ζητεῖ δὲ Φαραὼ τὴν ἐμὴν ψυχὴν λαβεῖν· d

b 2. κόλπος] κόλτος B.C.F. παρῆν] ἐῆν B. 3. πρὸς ἔργα γὰρ— ταχὺ om. B. 5. νόμῳ] νομαῖς C.D.E.F.G.I. 6. An leg. τὸ γένος Ἑβραῖον ὄντα, τὸν δ' Αἰ. Vid. Porson. ad Eurip. Orest. 891. Ἑβραῖον] Ἑβραίων D. 9. μὲν ἀδελφὸν] μὲν om. C.D.F.G.I. Mox ὃν D.E. F.G.I. pro τόν. 11. εἰσιδεῖν] εἰσδίδειν C. ἰσιδεῖν I. c 2. ἕτερον] ἅτερον D. 4. δι' αὐτῶν] δ' αὐτοὺς C.F.G. δ' αὐτῶν ni fallor D.I. qui mox παρουμένους. Hoc item E.F.G. 10. τίς πάντα] καὶ πάντα C.D.E.F.G.I. d. ζήτει δὲ φ.] ἀκούσας δὲ ζητεῖ φ. B. ζητεῖ D.E.I.

Fudisset alvo, regium quicquid genus,
Tantæque sobolis cura poscebat, libens
Volensque spondet. Ast ubi plenus mihi
Sinus dierum, regio egressus lare,
(Quo sponte rapior, quo vocat regis dolus,)
Duos in homines, pugna quos gravior ciet,
Hebræus alter, alter est Ægyptius,
Incurro. Facti nemo cum testis foret,
Fratrem eruturus, alterum trado neci:
Mox illum arena condo, ne quisquam arbiter
Oculo notatos prodat, ac cædem indicet.
Iterum sequenti video gentiles die,
Quos dirus in se mutuo armabat furor.
Hic ego, cruenta non parem quorsum manu
Vesane pulsas? Ille tum contra ferox,
Quis cognitorem te dedit? quis judicem?
Men' ergo perimes, alteri qui jam necem
Heri obtulisti? Trepidus ad vocem hæreo,
Nota unde cædes? Principi cuncta ocyus
Quis gesta narrat? Interim Pharao mihi

ΑΛΕΞΑΝΔΡΟΥ

ἐγὼ δ' ἀκούσας ἐκποδὼν μεθίσταμαι,
καὶ νῦν πλανῶμαι γῆν ἐπ' ἀλλοτέρμονα.

Εἶτα περὶ τῶν τοῦ Ῥαγουὴλ θυγατέρων οὕτως ἐπιβάλλει,

Ὁρῶ δὲ ταύτας ἑπτὰ παρθένους τινάς.

Ἐρωτήσαντός τε αὐτὰς τίνες εἴησαν αἱ παρθένοι, φησὶν ἡ Σεπφώρα,

Λιβύη μὲν ἡ γῆ πᾶσα κλῄζεται, ξένε,
οἰκοῦσι δ' αὐτὴν φῦλα παντοίων γενῶν,
Αἰθίοπες ἄνδρες μέλανες· ἄρχων δ' ἐστὶ γῆς
εἷς, καὶ τύραννος, καὶ στρατηλάτης μόνος. p. 439
Ἄρχει δὲ πόλεως τῆσδε καὶ κρίνει βροτοὺς
ἱερεὺς, ὅς ἐστ' ἐμοῦ τε καὶ τούτων πατήρ.

Εἶτα περὶ τοῦ ποτισμοῦ τῶν θρεμμάτων διελθὼν περὶ τοῦ τῆς Σεπφώρας ἐπιβάλλει γάμου, δι' ἀμοιβαίων παρεισάγων
[257] τόν τε Χοὺμ καὶ τὴν Σεπφώραν λέγοντας,

Ὅμως κατειπεῖν χρή σε, Σεπφώρα, τάδε.
Ξένῳ πατήρ με τῷδ' ἔδωκεν εὐνέτιν.

d 8. *ἑπτὰ παρθένους*] *παρθένους ἑπτὰ* B. 9. *αὐτοῦ τίνος*] *αὐτὰς τίνες* B.C.D.F.G.I. Tum *εἴσαν* I. 11. *κλῄζεται*] *κλῄξεται* D.E.I.
p. 439. 5. *εἶτα καὶ* F. 6. *τῆς σεπφ.*] *τῆς* om. B.F.G. 7. *ἀμοιβ.*] *ἀμειβ.* C. 8. *λέγοντας*] *λέγουσαν* B.C.F.G. Mox *σεπφόρᾳ* B. Idem infra addit *Δημήτριος περὶ τοῦ αὐτοῦ ὁμοίως*, et sic fere F.G. qui *Δημητρίου*. 9. *ὅμως*] *ὅπως* E.

Eripere vitam cogitat: sed rem audio,
Diræque celeri me fuga morti eximo,
Nunc ecce terris exul alienis vagor.

Quibus deinde ista de Raguelis filiabus attexit,

Has ecce coram virgines septem intuor.

Quærenti vero cujus essent illæ virgines, ita Sepphora respondet,

Hæc omnis, hospes, terra quam cernis procul,
Libye vocatur, mille quam populi tenent,
Æthiopes atro corpore. Hanc unus tamen
Regit imperator, unus ac bellis præest.
At urbis hujus rector, ac judex sedet
Almus sacerdos, meus et istarum sator.

Tum de aquatione pecorum loquutus, Sepphoræ nuptias inserit, Chumumque simul ac Sepphoram mutuo colloquentes introducit:

Sepphora, tamen id hospitem moneas decet,
Huic a parente nuptui jam te datam.

ΑΛΕΞΑΝΔΡΟΥ

29 Δημήτριος δὲ περὶ τῆς ἀναιρέσεως τοῦ Αἰγυπτίου, καὶ τῆς διαφορᾶς τῆς πρὸς τὸν μηνύσαντα τὸν τελευτήσαντα, ὁμοίως τῷ τὴν ἱερὰν βίβλον γράψαντι ἱστόρησε· φυγεῖν μέντοιγε τὸν Μωσῆν εἰς Μαδιὰν, καὶ συνοικῆσαι ἐκεῖ τῇ Ἰοθὸρ θυγα- c τρὶ Σεπφώρᾳ, ἣν εἶναι, ὅσα στοχάζεσθαι ἀπὸ τῶν ὀνομάτων, τῶν γενομένων ἐκ Χεττούρας, τοῦ Ἀβραὰμ γένους, ἐκ τοῦ Ἰεζὰν τοῦ γενομένου Ἀβραὰμ ἐκ Χεττούρας· ἐκ δὲ τοῦ Ἰεζὰν, γενέσθαι Δαδάν· ἐκ δὲ Δαδὰν, Ῥαγουήλ· ἐκ δὲ Ῥαγουὴλ, Ἰοθὸρ, καὶ Ἀβάβ· ἐκ δὲ τοῦ Ἰοθὸρ, Σεπφώραν, ἣν
2 γῆμαι Μωσῆν. Καὶ τὰς γενεὰς δὲ συμφωνεῖν· τὸν γὰρ Μωσῆν εἶναι ἀπὸ Ἀβραὰμ ἕβδομον, τὴν δὲ Σεπφώραν ἕκτην. Συνοικοῦντος γὰρ ἤδη τοῦ Ἰσαὰκ, ἀφ' οὗ Μωσῆν εἶναι, γῆμαι d Ἀβραὰμ τὴν Χεττούραν ὄντα ἐτῶν ρμʹ, καὶ γεννῆσαι Ἰσαὰρ ἐξ αὐτῆς δεύτερον· τὸν δὲ Ἰσαὰκ, ὄντα ἐτῶν ἑκατὸν, γεννῆσαι. Ὥστε μβʹ ἐτῶν ὕστερον γεγονέναι τὸν Ἰσαὰρ, ἀφ' οὗ τὴν
3 Σεπφώραν γεγενεαλογῆσθαι. Οὐδὲν οὖν ἀντιπίπτει τὸν Μωσῆν καὶ τὴν Σεπφώραν κατὰ τοὺς αὐτοὺς γεγονέναι χρόνους. Κατοικεῖν δ' αὐτοὺς Μαδιὰμ πόλιν, ἣν ἀπὸ ἑνὸς τῶν

b 7. ἱστόρησε] ὥρησε F. μωσῆν] μωσέα B. 8. ἰοθὸρ] ἰωθὼ B. ἰωθὼρ C.F. et infra. ἰοθὼρ G. c 4. ἰεξὰν] ἰεζᾶν B.C. et sic infra. ἰεξὸν F. χεττούρας] χετούρας B. 7. ἀβὰβ] ὀβὰβ B. ἰωβὰβ C. ὁ βὰβ I. 10. συνοικοῦντος—γεγενεαλογῆσθαι om. B. 11. ἤδη om. F. d 5. οὐδὲν οὖν] τοίνυν οὐδὲν B. ἂν pro οὖν C.F.G. 8. τῶν] τοῦ F.

29 Demetrius autem et hominis Ægyptii cædem, et susceptæ a Mose cum eo, a quo facti suggillatus est, altercationis exitum eundem in modum, quo sacra historia, commemorat. Quippe, Mosem enim cum sese apud Madianitas fuga recepisset, Jothoris filiam uxorem duxisse, nomine Sepphoram; quo ex nomine, eam ex Chetturæ nepotibus et Abraami genere satam esse conjiciat: Abraamum enim Iexanem et Chettura suscepisse, ab Iexane vero Dadanem, ab hoc Raguelem, a Raguele Jothorem atque Ababum procreatos fuisse; postremo Jothoris filiam Sepphoram hanc ex-
2 titisse, quam secum matrimonio Moses copularit. Et vero ætatum seriem haud inepte huic suspicioni quadrare. Nam Mosem quidem septimam, Sepphoram vero sextam post Abraamum numerari. Isaaco enim, ex quo Moses originem duxerit, jam secum habente, Abraamum annos natum quadraginta supra centum Chetturam duxisse, et Isaarum ex ea secundo loco suscepisse, cum Isaacum anno centesimo genuisset, sicque annis circiter duobus et quadraginta serius Isaarum illum esse natum, cujus ex
3 stirpe Sepphora prodiisset. Caussæ igitur nihil esse, quamobrem Moses et Sepphora eodem tempore vivere non potuerint. Cæterum eos Madiam

ΑΛΕΞΑΝΔΡΟΥ

Ἀβραὰμ παίδων ὀνομασθῆναι. Φησὶ γὰρ, τὸν Ἀβραὰμ τοὺς παῖδας πρὸς ἀνατολὰς ἐπὶ κατοικίαν πέμψαι· διὰ τοῦτο δὲ καὶ Ἀαρὼν καὶ Μαριὰμ εἰπεῖν ἐν Ἀσηρὼθ Μωσῆν Αἰ-
4 θιοπίδα γῆμαι γυναῖκα. Λέγει δὲ περὶ τούτων καὶ Ἐζεκιῆλος ἐν τῇ Ἐξαγωγῇ, προσπαρειληφὼς τὸν ὄνειρον τὸν ὑπὸ Μωσέως μὲν ἑωραμένον, ὑπὸ δὲ πενθεροῦ διακεκριμένον. Λέγει δὲ αὐτὸς ὁ Μωσῆς δι' ἀμοιβαίων πρὸς τὸν πενθερὸν p. 440 οὕτω πως,

5 Ἐξ ὄρους, κατ' ἄκρας οὗ θρόνον
μέγαν τιν' εἶναι μέχρις οὐρανοῦ πτύχας,
ἐν τῷ καθῆσθαι φῶτα γενναῖόν τινα
διάδημ' ἔχοντα, καὶ μέγα σκῆπτρον χερὶ
εὐωνύμῳ μάλιστα. Δεξιᾷ δέ μοι
ἔνευσε, κἀγὼ πρόσθεν ἐστάθην θρόνου.
Σκῆπτρον δέ μοι παρέδωκε, κ' εἰς θρόνον μέγαν b
εἶπεν καθῆσθαι· βασιλικὸν δ' ἔδωκέ μοι
διάδημα, κ' αὐτὸς ἐκ θρόνων χωρίζεται.
Ἐγὼ δ' ἐσεῖδον γῆν ἅπασαν ἔγκυκλον,

13. *γυναῖκα*] Addunt B.C. Ἐζεκήλου περὶ τοῦ αὐτοῦ ὁμοίως B.C.F.G. Mox ἐζεκῆλος C.F.G. 14. προσπαρειληφὸν I.

p. 440. αὐτὸς et δι' ἀμοιβαίων om. B. 2. οὕτω πως] πως om. B.C. F.G. 3. ἐδόκουν ὁρᾶν κατ' ἄκρας που θρόνον] ἐξ ὄρους κατ' ἄκρας ἰνοῦ (ἴνου F.G) θρόνου (θρόνον C.F.G.) B.C.F.G. ἐξ ὄρους κατ' ἄκρας οὗ D. E.I. 5. τιν' εἶναι] τ' εἶναι B. βεβηκότα] πτύχας B.C.F.G. πτυχὸς D.I. πτηχὸς E. 6. ἐν ᾧ] ἐν τῷ B.D.E.F.G.I. 8. χερὶ] χειρὶ B.F.G. b 3. μ' εἶπεν] μ' om. B.C.D.E.F.G.I. Mox ἔδωκέ μοι dedi pro μοι ἔδ. 5. ἑκὼν ἐκ θρόνου] ἐκ θρόνων B.C.F.G.I. ἑκὼν om. D.E. F.G. Mox inserui κ' ante αὐτός. 7. εἰσεῖδον] εἶδον B. ὡς εἶδον D.E.I.

urbem incoluisse, quæ ab uno ex Abraami liberis nomen acceperit. Liberos enim suos orientem versus domicilii quærendi caussa Abraamum dimisisse, ac propterea Mosi deinceps ad Aserothen exprobratum ab Aarone ac
4 Maria fuisse, quod Æthiopissam mulierem in uxorem duxisset. Hæc ipsa Ezechielus, ubi de Judaici populi Eductione, persequitur, addito præterea Mosis somnio, quod ab ejus socero explicatur. Sic ergo Mosem cum socero vicissim loquentem inducit:

5 Objicitur ingens vertice in summo thronus,
Radiantis altum fornicem attingens poli.
Augustus illum nobili specie insidens
Diadema princeps gestat, ac sceptri arduum
Pondus sinistra sustinens, dextra annuit.
Mora nulla, solio proximus gradum premo,
At ille sponte regio cedens loco,
Ferenda tradit sceptra, et excelsum jubet
Thronum insidere, denique augustum comis
Diadema nectit. At mihi vastum procul

κἄνερθε γαίας κἀξύπερθεν οὐρανοῦ, ΑΛΕΞΑΝΔΡΟΥ
καί μοί τι πλῆθος ἀστέρων πρὸς γούνατα
ἔπιπτ', ἐγὼ δὲ πάντας ἠριθμησάμην,
κἀμοὶ παρῆγεν ὡς παρεμβολὴ βροτῶν. c
Εἶτ' ἐμφοβηθεὶς ἐξανίσταμ' ἐξ ὕπνου.

6 Ὁ δὲ πενθερὸς αὐτοῦ τὸν ὄνειρον ἐπικρίνει οὕτως,

Ὦ ξένε, καλόν σοι τοῦτ' ἐσήμηνεν Θεός·
ζῴην δ' ὅταν σοι ταῦτα συμβαίη ποτέ.
Ἆρά γε μέγαν τιν' ἐξαναστήσεις θρόνον,
[258] καὐτὸς βραβεύσεις, καὶ καθηγήσῃ βροτῶν.
Τὸ δ' εἰσθεᾶσθαι γῆν ὅλην τ' οἰκουμένην,
καὶ θ' ὑπένερθεν, χ' ὑπὲρ οὐρανὸν Θεοῦ,
ὄψει τά τ' ὄντα, τά τε προτοῦ, τά θ' ὕστερον. d

7 Περὶ δὲ τῆς καιομένης βάτου, καὶ τῆς ἀποστολῆς αὐτοῦ τῆς

b 8. ἔνερθεν] ἔρρεθε B. καὶ γῆς ἔνερθεν Toupius. 9. καὶ μοὶ] καί τοι E. γούνατ'] γ' οὖν τ' B. γούνατα C.I. 10. ἐξῆς πάντας] ἐξῆς om. B.C.D.E.F.G.I. Mox ἠριθμ. C.D.E.F.G.I. non ἐξηρ. c. κἀμοὶ δὴ] κἀμοῦ B.C.D.F.G.I. 2. εἶτα φοβηθεὶς] εἶτ' ἐμφ. B.C.G.I. (cum Vigero) qui statim om. πότ'. 4. ξεῖνε] ξένε C.D.G. Tum καλόν σοι om. B. καλοῦ σοι C.D.F.G.I. ἐσήμηνεν] ἐμήνυσε C.F.G. ἐσόμηνε D. ἐσόμενε E. 5. ζῴην] ζωοῖν B.C.F.G. ζώειν D. ζώοιν E.I. συμβαίνῃ] συμβαίη B.C.D.E.F.G. 6. ἄρα γε] γε om. C.F.G. 7. καθηγήσῃ] καθηγήσει B. 9. τὸ δέ σε τεθεᾶσθαι] τὸ δ' εἰσθεᾶσθαι B.C.D.E.F.G.I. ὅλην] ὅλην τ' B.C.F.G. ὅλην τὴν D.E.I. 11. τά θ' ὑπένερθεν] καὶ τὰ ὑπ. B.C.D.E.F.G.I. καὶ τὰ] τὰ om. C.D.F.G.I. 12. θεοῦ] μ̄ F. d. πρὸ τοῦ] πρὸ τούτου B.C.D.E.F.I. 3. περὶ δὲ τῆς—ἐμοῖς λόγοις om. B. 4. τῆς πρὸς] τῆς om. F.

Orbem intuenti, qua patens infra solum,
Cœlumque supra funditur: toto æthere
Vis ecce magna siderum ad pedes ruit.
Hæc ego seorsum numero: procedunt, velut
Distinctus ordo militum, excutior metu,
Somnumque solvo.

6 Quod generi somnium ita socer interpretatur,

Quam læta numen, hospes, ostendit tibi!
O vivus oculis hauriam hanc sortem meis!
Eia age: superbum, nate, tu solium eriges,
Ipse imperabis, ipse tu populos reges.
Nam quod videbas quicquid aut infra soli
Cœlive supra vastus ambiret sinus,
Quod est videbis, quod fuit, quod post erit.

7 Jam de ardente rubo, et quemadmodum ad Pharaonem allegatus is fuerit, rursus ita Mosem cum Deo loquentem facit:

ΑΛΕΞΑΝΔΡΟΥ

πρὸς Φαραὼ, πάλιν παρεισάγει δι' ἀμοιβαίων τὸν Μωσῆν τῷ Θεῷ διαλεγόμενον. Φησὶ δὲ ὁ Μωσῆς,

Ἔα· τί μοι σημεῖον ἐκ βάτου τόδε,
τεράστιόν τε καὶ βροτοῖς ἀπιστία;
ἄφνω βάτος μὲν καίεται πολλῷ πυρὶ,
αὐτοῦ δὲ χλωρὸν πᾶν μένει τὸ βλαστάνον.
τί δή; προελθὼν ὄψομαι τεράστιον
μέγιστον· οὐ γὰρ πίστιν ἀνθρώποις φέρει.

8 Εἶτα ὁ Θεὸς αὐτῷ προσομιλεῖ·

Ἐπίσχες, ὦ φέριστε, μὴ προσεγγίσῃς
Μωσῆ, πρὶν ἢ τῶν σῶν ποδῶν λῦσαι δέσιν·
ἁγία γὰρ ἡ γῆ, ὅπου σὺ ἐφέστηκας, πέλει· p. 441
ὁ δ' ἐκ βάτου σοι θεῖος ἐκλάμπει λόγος·
θάρσησον, ὦ παῖ, καὶ λόγων ἄκου' ἐμῶν·
ἰδεῖν γὰρ ὄψιν τὴν ἐμὴν ἀμήχανον
θνητὸν γεγῶτα, τῶν λόγων δ' ἔξεστί σοι
ἐμῶν ἀκούειν, τῶν ἕκατ' ἐλήλυθα.
Ἐγὼ Θεὸς σῶν, ὧν λέγεις, γεννητόρων,
Ἀβραάμ τε καὶ Ἰσαὰκ καὶ Ἰακώβου τρίτου.
Μνησθεὶς δ' ἐκείνων καὶ ἔτ' ἐμῶν δωρημάτων, b
πάρειμι σῶσαι λαὸν Ἑβραίων ἐμὸν,

d 6. δὲ ὁ μωσῆς] δ' ὅμως C.F.G. 8. ἄπιστον ὂν] ἀπιστία C.D.E. F.G.I. 9. βάτου] βάτος C. 16. Μωσεῖ I.

p. 441. 5. παῖ] πᾶν F. 8. εἵνεκεν] ἕκατι C.F. ἕκατον D.I. ἑκατὸν E.

Hem, quod flagrantis hoc velit signum rubi?
Quid hocce monstri est, quod fidem nunquam impetret?
Ingens repente flamma corripuit rubum,
Tamen inter ignes totus, ac viridis manet,
Cur ita? subibo propius, hoc miraculum
Præsens videbo, cui fidem auditus neget.

8 Tum ei vicissim Deus,

Heu siste, bone vir, propius huc subeas cave,
Moses, priusquam vincla dissolvas pedum.
Hoc quippe gressu quod teris sanctum est solum.
Divinus aures afflat ex dumo sonus:
Animosus audi, nate, sermones meos:
Mortalis oculus frontis aspectum haud ferat,
Haurire vocem, cujus hic caussa steti,
Fas tibi. Tuorum, quos vocas, patrum Deus
Ego sum, Abraam, Isaac, et Jacob tertii.
Horum, meæque nunc memor clementiæ,
Huc ipse venio, melior Hebrææ parens
Vindexque gentis: cujus ærumnas graves

ΑΛΕΞΑΝΔΡΟΥ

ἰδὼν κάκωσιν καὶ πόνον δούλων ἐμῶν.
Ἀλλ' ἕρπε, καὶ σήμαινε τοῖς ἐμοῖς λόγοις,
πρῶτον μὲν αὐτοῖς πᾶσιν Ἑβραίοις ὁμοῦ,
ἔπειτα βασιλεῖ, τὰ ὑπ' ἐμοῦ τεταγμένα,
ὅπως σὺ λαὸν τὸν ἐμὸν ἐξάγῃς χθονός.

9 Εἶτα ὑποβάς τινα ἀμοιβαῖα αὐτὸς ὁ Μωσῆς λέγει,

Οὐκ εὔλογος πέφυκα, γλῶσσα δ' ἐστί μου c
δύσφραστος, ἰσχνόφωνος, ὥστε μὴ λόγους
ἐμοὺς γενέσθαι βασιλέως ἐναντίον.

10 Εἶτα πρὸς ταῦτα ὁ Θεὸς αὐτῷ ἀποκρίνεται,

Ἀάρωνα πέμψον σὸν κασίγνητον ταχὺ,
ᾧ πάντα λέξεις τἀξ ἐμοῦ λελεγμένα,
καὐτὸς λαλήσει βασιλέως ἐναντίον,
σὺ μὲν πρὸς ἡμᾶς, ὁ δὲ λαβὼν σέθεν πάρα.

11 Περὶ δὲ τῆς ῥάβδου καὶ τῶν ἄλλων τεράτων οὕτω δι' ἀμοιβαίων εἴρηκε,

Τί δ' ἐν χεροῖν σοῖν τοῦτ' ἔχεις; Λέξον τάχος. d
Ῥάβδον τετραπόδων καὶ βροτῶν κολαστρίαν.
Ῥίψον πρὸς οὖδας, κἀποχώρησον ταχύ·

b 3. πόνον] πόνων D. 4. ἕρπε] ἔτερπε D. 5. πρῶτον] καὶ πρ. B. 8. ἐξάγῃς] ἐξάγοις B.C.D.F.G. 9. ὑποβὰς] ἀποβὰς C. Tum τινα ἀμοιβαῖα om. B. 12. μοι] μου B.C.F.G. c 3. ἐναντίον] ἐναντίους C.E.F.G.I. ἐναντίον—ταῦτα om. B. qui pergit καὶ ὁ θεὸς ἀποκ. 5. πέμψον—ταχὺ] πέμψω—ταχὺν B.C.F.G. ταχὺν D.E.I. 7. βασιλέως] βασιλέων C.F.G. 8. ἡμῶν] ἡμᾶς B.D.E.F.G.I. d. σὺ] σοῖν C.D.E.F.G.I. Mox τάχος B.C.D.F.G.I. 5. ἀποχώρησον] ἀποχώρισον B.

Duramque vidi sortis infestæ vicem.
I perge, Moses, nomine Hebræos meo
Regemque moneas quicquid hic fieri placet,
Meum ut ipse populum barbaro educas solo.

9 Cui Moses hunc in modum respondet,

Ego impeditus ore, cui titubans moram
Nectit loquendo lingua, qui regem alloquar?

10 Deus autem,

Aarona fratrem mitte, cui verbis meis
Mandata pandas singula. Is regem tua
Vice alloquatur. Ore tu quidem ex meo
Audita referes; ille quæ tuo audiet.

11 Tum etiam de virga illa, cæterisque prodigiis ita vicissim colloquuntur:

D. Dic age, quid illud quod manu inclusum tenes?
M. Virga illa pecoris pariter atque hominum arbitra.
D. Hanc mihi solo allide: at simul fuge ocyus,

[259] ΑΛΕΞΑΝΔΡΟΥ

δράκων γὰρ ἔσται φοβερὸς, ὥστε θαυμάσαι.
Ἰδοὺ βέβληται· δέσποθ', ἵλεως γενοῦ·
ὡς φοβερὸς, ὡς πέλωρος· οἴκτειρον σύ με,
πέφρικ' ἰδὼν, μέλη δὲ σώματος τρέμει.
Μηδὲν φοβηθῇς, χεῖρα δ' ἐκτείνας λαβὲ
οὐρὰν, πάλιν δὲ ῥάβδος ἔσσεθ' ὥσπερ ἦν.
Ἔνθες δὲ χεῖρ' εἰς κόλπον, ἐξένεγκέ τε. p. 442
Ἰδοὺ τὸ ταχθὲν, γέγονεν ὡσπερεὶ χιών.
Ἔνθες πάλιν δ' εἰς κόλπον, ἔσται δ' ὥσπερ ἦν.

12 Τούτοις ἐπάγει, μετά τινα τὰ μεταξὺ αὐτῷ εἰρημένα, λέγων·

Ταῦτα δέ φησιν οὕτω καὶ Ἐζεκιῆλος ἐν τῇ Ἐξαγωγῇ λέγων, περὶ μὲν τῶν σημείων τὸν Θεὸν παρεισάγων λέγοντα οὕτως,

Ἐν τῇδε ῥάβδῳ πάντα ποιήσεις κακά·
πρῶτον μὲν αἷμα ποτάμιον ῥυήσεται,
πηγαί τε πᾶσαι, χ' ὑδάτων συστήματα·
βατράχων τε πλῆθος, καὶ σκνίπας ἐμβαλῶ χθονί. b

d 6. *ἔσται*] *ἐστι* B.C.D.G.I. 8. *ἰδοὺ—ταχὺ* om. B. *σὺ δὲ μοί ποθ'*] *δέσποθ'* C.F.G. *δέ ποθ'* D.E.I. ult. *ἔσσεθ' ἥπερ*] *ἔσεται ὥσπερ* C.F.G. *ἔσετ' ὅπερ* D.E.I.

p. 442. 5. *τούτοις*] *τούτοις δ'* F. 7. *ἐζεκιῆλος*] *ἐζεκῆλος* C.F. *λέγει*] *λέγων* C.D.E.F.G.I. 8. *λέγοντα*] *λέγων* E.I. 12. *πᾶσαι*] *πᾶσι* C.F.G. Tum inserui *χ'*. b. *σκνίπας*] *σκίπας* C. *σύνιπας* F *κνίπας* D. Tum *ἐμβάλλω* D.I. *ἐμβάλω* E. *ἐμβαλῶ* F.

Quippe ad stuporem vastus existet draco.
M. Allisa terræ est. Dexter o serves precor:
Heu quam tremendus! quanta se moles agit!
Obsecro, fer opem: corpus en trepidum horruit.
D. Nihil est timendum: corripe hunc cauda modo,
Eritque rursus virga, quæ prius fuit.
Immitte dextram pectori, ac subito extrahe.
Viden' ut repente canduit ritu nivis?
Immitte rursus, extrahes qualis fuit.

12 Tum quibusdam interjectis, ita subdit.

Hæc eadem, inquit, Ezechielus in sua Eductione commemorat. Ac de prodigiis quidem ita Deum loquentem inducit:

Virga hac timendus cuncta perficies mala.
Mutabit altum flumen immundus cruor,
Fontesque liquidos, atque torpentes aquas.
Ranis scatebit, atque culicibus solum.

ΑΛΕΞ-
ΑΝ-
ΔΡΟΥ

Ἔπειτα τέφραν οἷς καμιναίαν πάσω,
ἀναβλύσει δὲ ἐν βροτοῖς ἕλκη πικρά.
Κυνόμυια δ' ἥξει, καὶ βροτοὺς Αἰγυπτίων
πολλοὺς κακώσει. Μετὰ δὲ ταῦτ' ἔσται πάλιν
λοιμὸς, θανοῦνται δ' οἷς ἔνεστι καρδία
σκληρά· πικρανῶ δ' οὐρανόν· χάλαζα νῦν
σὺν πυρὶ πεσεῖται, καὶ νεκροὺς θήσει βροτούς. c
Καρποί τ' ὀλοῦνται, τετραπόδων τε σώματα·
σκότος δὲ θήσω τρεῖς ἐφ' ἡμέρας ὅλας,
ἀκρίδας τε πέμψω, καὶ περισσὰ βρώματα
ἅπαντ' ἀναλώσουσι, καὶ καρποῦ χλόην.
Ἐπὶ πᾶσι τούτοις τέκν' ἀποκτενῶ βροτῶν
πρωτόγονα. Παύσω δ' ὕβριν ἀνθρώπων κακῶν.
Φαραὼ δὲ βασιλεὺς πείσετ' οὐδὲν ὧν λέγω, d
πλὴν τέκνον αὐτοῦ πρωτόγονον ἕξει νεκρόν·
καὶ τότε φοβηθεὶς λαὸν ἐκπέμψει ταχύ·
πρὸς τοῖσδε λέξεις πᾶσιν Ἑβραίοις ὁμοῦ,
Ὁ μεὶς ὅδ' ὑμῖν πρῶτος ἐνιαυτοῦ πέλει·
ἐν τῷδ' ἀπάξω λαὸν εἰς ἄλλην χθόνα,

b 3. οἷον] οἷς D.E.F.G.I. σπερῶ] πάσσω C.D.F.G.I. παίσω E. 4. ἀναβλήσει] ἀναβρύσει D. ἀναβλύσει E. ἀναβρυήσει F.G. 5. κυνόμυια] κυνόμενα F. c 5. δὲ] τε D.G.I. 6. αἳ πέριξ τὰ] καὶ περισσὰ C.D.E.F.G.I. Supra D.I. πέμψαι. d 3. ἕξειν F.G. 5. ἐκπέμψῃ F. 7. πρὸς τοῖσδε] καὶ πρ. τ. B. Inserunt C.F.G. h. l. περὶ δὲ τῆς θυσίας καὶ τὸν ἀζύμων (τῶν ἀζυμένων F.) ὁ θεὸς τῷ μωσεῖ ὑποτίθεται. 9. ὑμῖν] ἡμῖν B.C.G. ὅτι μῖν F. ἐνιαυτοῦ] ἐνιαυτὸς B. ἐνιαυτῶν C.F.G.I.

Similis favillæ pulvis involvet diem,
Lacerumque diris corpus ulceribus fluet.
Caninus etiam ricinus ac rostro minax
Fodicabit artus. Fœda mox passim lues
Bacchata, rigido ferreos corde auferet.
Cœlum addet iras, grando sulphureis ruet
Permixta flammis, et gravi quassum opprimet
Rebelle vulgus pondere: afflictas ager
Segetes, trucique verbere obtritum pecus
Videbit. atris densa nox umbris polum
Terrasque triduo volvet: erumpens humo
Locusta cunctos penitus absumet cibos,
Frugumque late quicquid in campis viret.
Quemcunque primum mater in lucem extulit,
Ferro metetur. Sæva tum populi cadet
Rabies minacis. Pharao nil horum feret,
Nisi quod jacentem maximum natu videns,
Mora nulla, populo liberum egressum dabit.
At tu hac Hebræum voce compella genus.
En primus anni mensis hic vobis erit,
Quo lætus illas cursus in terras patet,

ΑΛΕΞΑΝΔΡΟΥ

εἰς ἣν ὑπέστην πατράσιν Ἑβραίων γένους.
Λέξεις δὲ λαῷ παντί· μηνὸς οὗ λέγω p. 443
διχομηνίᾳ, τὸ πάσχα θύσαντας Θεῷ
τῇ πρόσθε νυκτὶ, αἵματι ψαῦσαι θύρας,
ὅπως παρέλθῃ σῆμα δεινὸς ἄγγελος.
Ὑμεῖς δὲ νυκτὸς ὀπτὰ δαίσεσθε κρέα.
Σπουδῇ δὲ βασιλεὺς ἐκβαλεῖ πρόπαντ᾽ ὄχλον.
[260] Ὅταν δὲ μέλλητ᾽ ἀποτρέχειν, δώσω χάριν
λαῷ, γυνή τε παρὰ γυναικὸς λήψεται
σκεύη, κόσμον τε πάνθ᾽, ὃν ἄνθρωπος φέρει, b
χρυσόν τε καὶ ἄργυρον ἠδὲ καὶ στολὰς, ἵνα
ἀνθ᾽ ὧν ἔπραξαν μισθὸν ἀποδῶσι βροτοῖς.
Ὅταν δ᾽ ἐς ἴδιον χῶρον εἰσέλθηθ᾽, ὅπως
ἀφ᾽ ἧσπερ ἠοῦς ἐφύγετ᾽ Αἰγύπτου δ᾽ ἄπο
ἑπτὰ διοδοιποροῦντες ἡμερῶν ὁδὸν,
πάντες τοσαύτας ἡμέρας ἔτος κάτα
ἄζυμ᾽ ἔδεσθε, καὶ Θεῷ λατρεύσετε,
τὰ πρωτότευκτα ζῷα θύοντες Θεῷ, c

d 12. ὑπέστην] ὕπεστιν B.

p. 443. 2. διχομήνια D. 3. ψαῦσαι] παῦσαι E. 9. μέλλητ᾽] μέλλετ᾽ C.F. b 2. χρυσοῦν—ἀργυροῦν] χρυσὸν—ἄργυρον B.C.D.E.F.G.I. ἠδὲ στολὰς ἵνα ἀνθ᾽ ὧν] ἠδὲ καὶ στολὰς ἵν᾽ ὧν B.C.F.G. Tum περ B. ἀνθ᾽ om. D.E.I. 4. ἀποδῶσι] ἀποδόσει B. 6. ἐς] εἰς B. qui mox εἰσέλθῃ ὅπως. 7. ἄπο] δ᾽ ἄπο B.C.D.F.G.I. 8. διοδοιπ.] ὁδοιπ. C.F.G. δ᾽ ὁδοιπ. D.I. ἡμερῶν] ἡμέρας B.C.D.E.F.G.I. 9. πάντες] πάντας E. qui mox κᾶτα. c. τά τε] τε om. B.C.D.E.F.G. Tum πρωτότευκτα C.D.F.G.I. pro πρωτοτόκα.

Quas non movenda patribus indulsi fide,
Simul ista manda. Mense quem certum indico,
Perfecta plenum luna cum pandet jubar,
Nocte antegressa, pascha supremo sacrum
Faciant tonanti : victimæ postes cruor
Designet altos, sævus ut justæ angelus
Cædis minister servet aspersas domos.
Hac nocte cunctis assa comedetur caro.
Rex ipse vestram pavidus urgebit fugam.
Qua jam imminente, gratia fretus mea
Ditescet omnis populus : aggestas opes,
Mundum, atque vestes, auri et argenti grave
Ingensque pondus : quicquid exposcit via,
Mulieris ultro mulier in gremium feret,
Ut justa vester præmia accipiat labor.
Exinde propria sede cum steterit gradus,
Ut septem ab illo qui fugam primus dabit,
Jam tunc Hebræus triverit cursu dies,
Totidem quotannis, azymos panes edat,
Deoque supplex, quicquid aut primum pecus
Satum sub auras fundet, aut primum parens

ΑΛΕΞ-ΑΝ-ΔΡΟΥ

ὅσ᾽ ἂν τέκωσι παρθένοι πρώτως τέκνα
τἀρσενικὰ, διανοίγοντα μήτρας ματέρων.

13 Καὶ πάλιν περὶ τῆς αὐτῆς ταύτης ἑορτῆς φησὶ ἐπεξεργαζόμενον ἀκριβέστερον εἰρηκέναι,

Ἀνδρῶν Ἑβραίων τοῦδε τοῦ μηνὸς λαβὼν
κατὰ συγγενείας πρόβατα καὶ μόσχους βοῶν
ἄμωμα δεκάτῃ· καὶ φυλαχθήτω μέχρι
τετρὰς ἐπιλάμψει δεκάδι, καὶ πρὸς ἑσπέραν d
θύσαντες, ὀπτὰ πάντα σὺν τοῖς ἔνδοθεν
οὕτω φάγεσθε ταῦτα· περιεζωσμένοι,
καὶ κοῖλα ποσσὶν ὑποδέδεσθε, καὶ χερὶ
βακτηρίαν ἔχοντες. Ἐν σπουδῇ τε γὰρ
βασιλεὺς κελεύσει πάντας ἐκβαλεῖν χθονός·
κεκλήσεται δὲ πᾶς. Χὤταν θύσητε δὲ,
δεσμὴν λαβόντες χερσὶν ὑσσώπου κόμης
εἰς αἷμα βάψαι, καὶ θίγειν σταθμῶν δυοῖν,

c 2. ὅσα τ᾽ ἂν] ὅσ᾽ ἂν B.C.D.E.F.G.I. 4. διανοίγοντα] διανοίχοντα C. μήτρας] μήτραν B. Tum μητέρων C.F.G. 7. ἐπεξεργαζόμενον] ἐπεξεργαζόμενος C.G. ἐπεξεργαζομένης D.E. ἐπεργαζόμενος F. usque ad εἰρηκέναι om. B. 8. λαβὲ] λαβὼν B.C.D.F.G.I. d 3. ὀπτὰ] ἑπτὰ B. omisso πάντα. 4. ταῦτα] πάντα B.C.G. 5. ποσσὶν] ποσὶν B.C.D.F.G.I. Tum ὑποδεδέσθαι B. —εσθε C. Mox χερσὶ B.C.E.F.G.I. ὑποδεδεῖσθε—χερσὶ D. 7. βακτηρίαν] βακτηρίας C.F.G. Mox τε om. B. 8. πάντας] πάντα B. qui om. ἐκβ. χθονός. 11. δεῖ] δὲ B.C.D.E.F.G.I. 12. λαβόντας] λαβόντες B.C.D.E.F.G.I. Tum ὑσσώπω B. ὑσώπου C.F.G. Mox κομίσεις D.E.I. omisso εἰς in v. seq. 13. θίγειν] θήγειν C.F.G.

Enixa virgo masculum vitæ dabit,
Quo vulva matris solvitur, sacrum ferat.

13 Tunc de ejusdem festi ritibus ita Deum ipsum enucleatius præcepisse scribit:

Cum mensis hujus decima fulgebit dies, Exod. 12, 3.
Per Hebræorum sanguine affines domos,
Oviumque lectos et boum fœtus cape:
Serventur illi, festa post decimam dies
Dum quarta mundo luceat. Tum vespere
Familia tostas rite consumat dapes,
Quas immolarit. Latera succinctus, pedes Exod. 12, 11.
Indutus ambos, ac manu baculum tenens,
Epuletur omnis populus. Hanc etenim tremens
Urgebit ipse Pharao cum reliquis fugam.
Agno immolato, fusus Hyssopi cruor Exod. 12, 22.
Fascem rigabit, qui domus vestræ sacer
Utrumque limen spargat: ut gladius feram

ΑΛΕΞΑΝΔΡΟΥ

ὅπως παρέλθῃ θάνατος Ἑβραίων ἄπο.
Ταύτην δ' ἑορτὴν δεσπότῃ τηρήσετε,
ἕφθ' ἡμέρας ἄζυμα· κοὐ βρωθήσεται p. 444
ζύμη. Κακῶν γὰρ τῶνδ' ἀπαλλαγήσετε,
καὶ τοῦδε μηνὸς ἔξοδον διδοῖ Θεός·
ἀρχὴ δὲ μηνῶν καὶ χρόνων οὗτος πέλει.

14 Πάλιν μεθ' ἕτερα ἐπιλέγει·

Φησὶ δὲ καὶ Ἐζεκιῆλος ἐν τῷ δράματι τῷ ἐπιγραφομένῳ Ἐξαγωγῇ, παρεισάγων ἄγγελον λέγοντα τήν τε τῶν Ἑβραίων διάθεσιν, καὶ τὴν τῶν Αἰγυπτίων φθορὰν οὕτως·

Ὡς γὰρ σὺν ὄχλῳ τῷδ' ἀφώρμησεν δόμων b
βασιλεὺς Φαραὼ, μυρίων ὅπλων μέτα,
ἵππου τε πάσης, χ' ἁρμάτων τετραόρων,
καὶ προστάταισι καὶ παραστάταις ὁμοῦ,
ἦν φρικτὸς ἀνδρῶν ἐκτεταγμένων ὄχλος.
Πεζοὶ μὲν ἐν μέσοισι καὶ φαλαγγικοὶ
διεκδρομὰς ἔχοντες ἅρμασιν τόπους·

p. 444. 2. ἀπαλλαγὴ ἔσεται] ἀπαλλαγήσεται B.D. ἀπαλλαγήσετε C.F. G.I. 5. δὲ] δὲ καὶ B. οὗτος] οὕτω F.G. 6. ἐζεκιῆλος] ἐζεκῆλος B.F. -κῆλον C. Mox ἐσαγωγῇ D. 7. ἐπιλεγομένῳ] ἐπιγραφομένῳ B.C.F.G. 8. παρεισάγων] παρεισάγει B. 9. τὴν τῶν] τὴν om. B. τὴν τῶν Αἰγ. D.E.F.G. 11. ὡς γὰρ σὺν—τετραόρων om. B. b 3. ἁρμάτων τε] καὶ ἁρμάτων D.F.G.I. 6. ἦν πᾶσι φρικτὸς ἐκτεταγμ.] ἦν φρικτὸς ἀνδρῶν ἐκτεταμένων B.C.G. (ἐκτεταμένος C. ἐκτεταγμένων G.) πᾶσι om. D.E.F.I. ἀνδρῶν item F. 8. διεκδρομῆς] διεκδρομὰς B.C. D.E.F.G.I.

Procul ab Hebræo transferat mortem lare.
Exin supremo maneat hoc festum Patri,
Septemque solidos absque fermento dies
Gens tota peragat. Quippe tot finem malis
Hoc mense statuens, pandit egressum Deus.
Eritque vobis temporum hic mensis caput.

14 Quibus item post alia quædam ista subjungit. Quinetiam Ezechielus, inquit, eo dramate, quod Eductionem inscripsit, nuntio sequentem orationem attribuit, qua cum Hebræorum conditionem et statum, tum Ægyptiorum una cladem commemorat:

Ut Pharao patriis extulit laribus gradum,
Rigido phalanges ære metuendas agens,
Equitumque turmas, et graves currus trahens,
Tot illa ferro millium facies minax,
Alis simulque ducibus horrorem ciet.
Numerosus agmen conficit medium pedes,
Justum subinde curribus linquens locum.

ΑΛΕΞΑΝΔΡΟΥ

[261] ἱππεῖς δ' ἔταξε, τοὺς μὲν ἐξ εὐωνύμων,
ἐκ δεξιῶν δὲ πάντας Αἰγύπτου στρατοῦ.
Τὸν πάντα δ' ἀριθμὸν ἠρόμην ἐγὼ στρατοῦ· c
μυριάδες (εἰσὶν) ἑκατὸν εὐάνδρου λεώς.
Ἐπεὶ δ' Ἑβραίων οὑμὸς ἤντησεν στρατὸς,
οἱ μὲν παρ' ἀκτὴν πλησίον βεβλημένοι
Ἐρυθρᾶς θαλάσσης ἥεσαν ἠθροισμένοι·
οἱ μὲν τέκνοισι νηπίοις δίδουν βορὰν,
ὁμοῦ τε καὶ δάμαρσιν, ἔμπονοι κόπῳ·
κτήνη τε πολλὰ, καὶ δόμων ἀποσκευὴ,
αὐτοὶ δ' ἄνοπλοι πάντες εἰς μάχην χέρας, d
ἰδόντες ἡμᾶς, ἠλάλαξαν ἔνδακρυν
φωνὴν, πρὸς αἰθέρα τ' ἐτάθησαν ἀθρόοι,
θεὸν πατρῷον. Ἦν πολὺς δ' ἀνδρῶν ὄχλος.
Ἡμᾶς δὲ χάρμα πάντας εἶχεν ἐν μέρει.
Ἔπειθ' ὑπ' αὐτοὺς θήκαμεν παρεμβολὴν,
Βεελζεφών τις κλῄζεται πόλις βροτοῖς.
Ἐπεὶ δὲ Τιτὰν ἥλιος δυσμαῖς προσῆν,
ἐπέσχομεν, θέλοντες ὄρθριον μάχην,
πεποιθότες λαοῖσι καὶ φρικτοῖς ὅπλοις.

b 10. *τινας*] *πάντας* B.C.D.F.G.I. Mox vulgo *Αἰγυπτίου*. c. *ἀριθμὸν αὐτῶν*] *αὐτῶν* om. D. et delevi. 3. *μυριάδες*] *μυριάδε* B. Inserui *εἰσὶν* ut versum explerem. 5. *ἡμῖν*] *οὑμὸς* B.C.D.E.F.G.I. 9. An *ἦσαν ἠθροϊσμένοι*? 10. *τέκνοισι—δίδουν*] *τέκνησι—εδίδουν* B. *τέκνοισιν ἠπίοις* D. d. *χερὸς*] *χέρας* C.D.E.F.G.I. om. B. 3. *τ' ἐστάθησαν*] *τε τάθησαν* B. 5. *πολὺς δ' ἦν*] *πολὺς ἦν δ'* B.E.F.G.I. 10. *βεελζεφών τις*] *βεελζεφόντης* B. *–φοντις* C. 12. *ὄρθριον—ἰδέσθαι* om. B.

Eques at utrumque vallat ac cingit latus.
Quot iste quæro capita numeraret globus,
Centum illa decies mille censeri audio.
Hebræa jamque castra spectamus procul.
Alii secundum littus Erythræi maris,
Hinc inde varios in globos fusi jacent,
Alii labore et aspera fracti via,
Famem puerulis atque conjugibus levant.
Passim supellex, et vagum late pecus.
Ut nudus acies vidit Hebræus novas,
Ferale subito exclamat, ac cœlo manus
Oculosque tendens, patrium Numen vocat.
Circum tumultu cuncta malesano fremunt.
At vero nostri gaudio ingenti natant.
Beelsephontis qua procul sese objicit,
Adversa castris castra terrorem movent.
Sed quando pronum Phœbus inclinat diem,
Conserere pugnam mane sub primum placet,
Armis et acri militum fretis manu.

ΑΛΕΞ-ΑΝ-ΔΡΟΥ

Ἔπειτα θείων ἄρχεται τεραστίων
θαυμάστ' ἰδέσθαι. Καί τις ἐξαίφνης μέγας p. 445
στύλος νεφώδης ἐστάθη πρὸ γῆς μέγας,
παρεμβολῆς ἡμῶν τε χ' Ἑβραίων μέσος.
Κἄπειθ' ὁ κείνων ἡγεμὼν Μωσῆς, λαβὼν
ῥάβδον Θεοῦ, τῇ δὴ πρὶν Αἰγύπτῳ κακὰ
σημεῖα καὶ τέρατ' ἐξεμήσατο· b
ἔτυψ' Ἐρυθρᾶς νῶτα, κ' ἔσχισεν μέσον
βάθος θαλάσσης· οἱ δὲ σύμπαντες σθένει
ὤρουσαν ὠκεῖς ἁλμυρᾶς δι' ἀτραποῦ.
Ἡμεῖς δ' ἐπ' αὐτῆς ᾠχόμεσθα συντόμως,
κατ' ἴχνος αὐτῶν νυκτὸς εἰσεκύρσαμεν
βοηδρομοῦντες· ἁρμάτων δ' ἄφνω τροχοὶ
οὐκ ἐστρέφοντο, δέσμιοι δ' ὡς ἥρμοσαν. c
Ἀπ' οὐρανοῦ δὲ φέγγος, ὡς πυρὸς, μέγα
ὤφθη τι ἡμῖν· ὡς μὲν εἰκάζειν, παρῆν
αὐτοῖς ἀρωγὸς ὁ Θεός. Ὡς δ' ἤδη πέραν
ἦσαν θαλάσσης, κῦμα δ' ἐρροίβδει μέγα
σύνεγγυς ἡμῶν· καί τις ἠλάλαξ' ἰδὼν,

p. 445. 7. ἐκείνων] κείνων B.C.F. 9. δὴ πρὶν] δὴ om. C.F.G. b. τέρατ' ἐξεμηχανήσατο] τέρατα ἐξεμήσατο B.C.D.E.F.G.I. Reponendum ni fallor τεράστι' ἐξεμήσατο. 2. ἔτυψ'] ἔτερψ' B. 5. ὤρουσαν] ὥρμησαν C.F.G. 6. δ' ἐπ' αὐτῆς—ἡμῖν δ' om. B. δ' ἀπ' D. 8. τ' αὐτῶν] τ' om. C.D.E.F.G.I. 9. εἰσεδύσαμεν] εἰσεκύρσαμεν C.F.G. εἰσεκύσαμεν D.E.I. c 7. ἐρροίβδει] ἐρροίβδου E. 8. ἠλάλαξ'] ἤλλα. C.G. ἠπήλαξ' F.

At ecce Pharios territat monstris Deus.
Ingens columna nubibus densis coit,
Fixoque Hebræos inter ac nostros pede,
Sublimis hæret. Ductor hic virgam arripit,
Qua tot gementem mersit Ægyptum malis,
Nostrumque fregit mille portentis genus;
Arripit, et alti verberat dorsum maris.
Discedit ictu pontus, et salsas gradu
Subit incitato populus Isacidûm plagas.
At nos fugaces voce sublata sequi,
Mediaque nocte, quam præit Moses viam,
Hanc ultro premere. Gravior at subito rota,
Vinctosque currus pondus insolitum tenet.
Ingens repente fulgor e cœlo micat,
Ardetque flammæ similis. Auxilium Deus,
Deus ipse miseris dexter auxilium tulit.
Isacia ripis steterat adversis phalanx,
Immane Pharios unda jam circum latrat,
Fugiamus eheu, miles exclamat, Deus

ΑΛΕΞ-
ΑΝ-
ΔΡΟΥ

Φεύγωμεν οἴκοι πρόσθεν Ὑψίστου χέρας·
οἷς μὲν γάρ ἐστ᾽ ἀρωγὸς, ἡμῖν δ᾽ ἀθλίοις
ὄλεθρον ἔρδει· καὶ συνεκλύσθη πόρος d
[262] Ἐρυθρᾶς θαλάσσης, καὶ στρατὸν διώλεσε.

15 Καὶ πάλιν μετ᾽ ὀλίγα,

Ἐκεῖθεν ἦλθον ἡμέρας τρεῖς, ὡς αὐτός τε ὁ Δημήτριος λέγει, καὶ συμφώνως τούτῳ ἡ ἱερὰ βίβλος. Μὴ ἔχοντα δὲ ὕδωρ ἐκεῖ γλυκὺ ἀλλὰ πικρὸν, τοῦ Θεοῦ εἰπόντος, ξύλον τι ἐμβαλεῖν εἰς τὴν πηγὴν, καὶ γενέσθαι γλυκὺ τὸ ὕδωρ. Ἐκεῖθεν δὲ εἰς Ἐλεὶμ ἐλθεῖν, καὶ εὑρεῖν ἐκεῖ δώδεκα μὲν πηγὰς ὑδάτων, ἑβδομήκοντα δὲ στελέχη φοινίκων. Περὶ τούτων, καὶ τοῦ φανέντος ὀρνέου Ἐζεκιῆλος ἐν τῇ Ἐξαγωγῇ παρεισάγει τινὰ λέγοντα τῷ Μωσῇ, πέρὶ μὲν τῶν φοινίκων, καὶ τῶν δώδεκα πηγῶν οὕτως,

16 Κράτιστε Μωσῆ πρόσχες, οἷον εὕρομεν
τόπον πρὸς αὐτῇ τῇδ᾽ ἐπ᾽ εὐαεῖ νάπῃ.
Ἔστιν γὰρ ὥς που καὶ σὺ τυγχάνεις ὁρῶν p. 446

c 9. χερὸς] χέρας C.D.E.F.G.I. 10. τοῖς] οἷς C.D.E.F.G.I. 12. συνεκλύσθη] συνεκλείσθη B.C.F.G. d. στρατὸν] πόρον B.C.D.F. G.I. 2. ἐκεῖθεν ἦλθον] ἦλθεν ἐκεῖθεν B. qui mox om. αὐτός τε. 7. καὶ γενέσθαι] καὶ om. B. 8. ἐλεὶμ] ἐλὶμ B. ἐλεὶν C.F.G. 9. μὲν πηγὰς] μὲν om. B. qui mox καὶ ἑβδ. στελ. 11. ἐζεκιῆλος] ἐζεκῆλος C.F. Hinc usque ad κύκλῳ om. B. 12. λέγοντα τῷ M.] τῷ M. λέγ. C.F.G. 13. οὕτως om. F. 15. τῇδε εὐαεῖ] τῇδ᾽ ἐπευνάειν C. τῇδ᾽ ἐπ᾽ εὐαεῖ D. τῇδ᾽ ἐπευνάει F.G. τῇδ᾽ ἐπευάεῖ I.

Suos potente dextera Hebræos tegit,
Ferale nobis ultor exitium creat.
Dum loquitur, alto clauditur fluctu via,
Totasque rubrum copias haurit mare.

15 Rursumque paulo post,

Tridui iter confecere, ut Demetrius commemorat, eique sacræ literæ suffragantur. Verum loco aquæ dulcis penuria laborante, Mosem Dei jussu lignum quoddam in amariorem fontem immisisse, qui subito aqua suaviore fluere cœperit. Inde cum movissent, ad Elimum pervenisse, ubi duodecim aquæ fontes, cum septuaginta palmarum caudicibus invenerint. Quibus de rebus, ac simul de quadam quæ sese obtulerat volucre, aliquem Ezechielus eodem dramate inducit cum Moyse colloquentem. Ac de palmis quidem, fontibusque duodecim hunc in modum.

16 Quam lætus illic, molle qua spirans nemus
Vallem coronat, obtulit sese locus,
Attende Moses; nam vel hinc sedem quoque

ΑΛΕΞ-ΑΝ-ΔΡΟΥ

*ἐκεῖ. * τόθεν δὲ φέγγος ἐξέλαμψέ νιν,*
κατ᾽ εὐφρόνης σημεῖον ὡς στύλος πυρός.
Ἐνταῦθα λειμῶν᾽ εὕρομεν κατάσκιον,
ὑγράς τε λιβάδας· δαψιλὴς χῶρος βαθὺς,
πηγὰς ἀφύσσων δώδεκ᾽ ἐκ μιᾶς πέτρας·
στελέχη δ᾽ ἐρυμνὰ πολλὰ φοινίκων πέλει
ἔγκαρπα, δεκάκις ἑπτὰ, καὶ ἐπίρρυτος
πέφυκε χλόη θρέμμασιν χορτάσματα. b

Εἶτα ὑποβὰς περὶ τοῦ φανέντος ὀρνέου διεξέρχεται,

Ἕτερον δὲ πρὸς τοῖσδ᾽ εἴδομεν ζῷον ξένον,
θαυμαστὸν, οἷον οὐδέπω ὥρακέ τις.
Διπλοῦν γὰρ ἦν τὸ μῆκος ἀετοῦ σχεδὸν,
πτεροῖσι ποικίλοισιν ἠδὲ χρώμασι.
Στῆθος μὲν αὐτοῦ πορφυροῦν ἐφαίνετο,
σκέλη δὲ μιλτόχρωτα, καὶ κατ᾽ αὐχένα
κροκωτίνοις μαλλοῖσιν εὐτρεπίζετο,
κάρα δὲ κοίτης ἡμέροις παρεμφερὲς, c
καὶ μηλίνῃ μὲν τῇ κόρῃ προσέβλεπε
κύκλῳ· κόρη δὲ κόκκος ὡς ἐφαίνετο·

p. 446. 2. *τόθεν*] *πόθεν* C.F.G. 3. *καὶ εὐφροσύνης*] *κατ᾽ εὐφρόνης* C.F.G. *κατ᾽ ἐ.* D.E.I. 6. *δαψιλὴς*] *δαψιλὸς* C.F.G. b. Transp. *χλοὴ πέφυκε.* Tum *οἷς θρέμμασιν* Steph. 8. *αἰετοῦ*] *ἀετοῦ* D.F.G. A *διπλοῦν* usque ad fin. citat Eustathius in Hexaëm. p. 25. ubi *γάρ ἐστι τὸ μῆκος—πτεροῖς δὲ π.* post *χρώμασι* add. *σῶμα αὐτοῦ κέκαυται* (quæ verba Eustathii videntur)—*φαίνεται—κατ᾽ αὐχένα κροκοπίνοις—εὐτρεπίζεται—κύκλῳ δὲ κόρῃσι—εὐπρεπεστάτην—δολιχεύοντες ἐπέσσυντο.* Hinc pauca emendavit, pauca etiam corrupit Vossius ad Melam III. 8. p. 856. 11. *αὐχένα*] *αὐχένων* C.D.E.F.G.I. 12. *κροκωτίνοις*] *κροκωτοῖσι μαλοῖσι* (*μαλλοῖσι* G.) C.F.G. c. *ἡμέροις*] *ἡμέρης* C.F.G. 3. *μηλίνῃ*] *μηλήνῃ* F.

Spectare possis. Inde se primum extulit
Columna flammæ similis, ac signum dedit.
Mox viride opaco cernitur pratum solo,
Liquidique latices: quippe luxurians humus
Petra ex eadem fonte duodeno scatet.
Septena decies palma robustis viret
Subnixa truncis, atque fœcundos agens
Sublime ramos tollit: atque undis ferax
Abunde pecori pabulum tellus creat.

Tum de oblata quadam ave,

Occurrit exin aliud animantis genus,
Monstrique simile, nemini visum antea.
Inusitata mole geminatam fere
Adæquat aquilam: multiplex pennas color
Subinde mutat: purpura pectus rubet.
Miniata rutilant crura: villosam aureo
Profunda vestit pluma cervicem croco.
* * *
Subflavus extat oculus; in medio teres

ΑΛΕΞΑΝΔΡΟΥ

φωνὴν δὲ πάντων εἶχεν ἐκπρεπεστάτην.
βασιλεὺς δὲ πάντων ὀρνέων ἐφαίνετο,
ὡς ἦν νοῆσαι. Πάντα γὰρ τὰ πτήν᾽ ὁμοῦ
ὄπισθεν αὐτοῦ δειλιῶντ᾽ ἐπέσσυτο,
αὐτὸς δὲ πρόσθεν, ταῦρος ὡς γαυρούμενος, d
ἔβαινε κραιπνὸν βῆμα βαστάζων ποδός.

Καὶ μετὰ βραχέα,

Ἐπιζητεῖν δέ τινα πῶς οἱ Ἰσραηλῖται ὅπλα ἔσχον, ἄνοπλοι ἐξελθόντες. Ἔφασαν γὰρ τριῶν ἡμερῶν ὁδὸν ἐξελθόντας καὶ θυσιάσαντας πάλιν ἀνακάμψειν. Φαίνεται οὖν τοὺς μὴ κατακλυσθέντας τοῖς ἐκείνων ὅπλοις χρήσασθαι.

30 Εὐπόλεμος δέ φησιν ἔν τινι περὶ τῆς Ἠλίου προφητείας, p. 447
Μωσῆν προφητεῦσαι ἔτη μ᾽· εἶτα Ἰησοῦν τὸν τοῦ Ναυῆ υἱόν, ἔτη λ᾽· βιῶσαι δ᾽ αὐτὸν ἔτη ρι᾽, πῆξαί τε τὴν ἱερὰν
2 σκηνὴν ἐν Σηλοῖ. Μετὰ δὲ ταῦτα προφήτην γενέσθαι Σα- b
[263] μουήλ. Εἶτα τῇ τοῦ Θεοῦ βουλήσει ὑπὸ Σαμουὴλ Σαοῦλον
3 βασιλέα αἱρεθῆναι, ἄρξαντα δὲ ἔτη κα᾽ τελευτῆσαι. Εἶτα

gratiam, paludem fodit, cujus ambitus parasangas quadraginta, altitudo
vero ulnas viginti obtineret. Eidem claustra imposuit, Echetognomonas
8 vocant, quibus patefactis agrum illi suum irrigarent. Maris quoque Rubri
eluvionem objectis repressit obicibus, ac Teredonem urbem, adversus
Arabum irruptiones excitavit, palatiumque suum arboribus consitis, (pen-
siles hortos vocabat) exornavit.

9 Atque hæc ex Abydeno referre potissimum eo libuit, quod in ipsa
Danielis prophetia, Nabuchodonosor, cum in regni sui templo Baby-
lone condito inambularet, has in voces temeritatis et arrogantiæ
plenas erupisse legatur, *Nonne hæc est Babylon magna, quam ego ædi-* Dan. 4,
ficavi in domum regni, in robore fortitudinis meæ, et in gloria decoris 27.

ματος ὄντος αὐτοῦ, τὰ τῆς μετελθούσης καταστροφῆς αὐτῷ γέγονε. Ταῦτα μὲν οὖν ἡμῖν αὐτάρκως περὶ τῶνδε.

42 Προσκείσθω δὲ ἐπὶ πᾶσι καὶ τὰ ἀπὸ τῆς Ἰουδαίων b Ἀρχαιότητος Ἰωσήπου, ἔνθα μυρίων συγγραφέων αὐτολεξεὶ παραθεὶς φωνάς, ταῦτα ἐπιλέγει·

ΙΩΣΗΠΟΥ

2 Ἀρκοῦσι δ' ὅμως εἰς τὴν ἀπόδειξιν τῆς ἀρχαιότητος αἵ τε Σύρων καὶ Χαλδαίων καὶ Φοινίκων ἀναγραφαί, πρὸς ἐκείναις τε τοσοῦτοι τῶν Ἑλλήνων συγγραφεῖς, ἔτι δὲ πρὸς τοῖς εἰρημένοις, Θεόφιλος, καὶ Θεόδοτος, καὶ Μνασέας, καὶ Ἀριστοφάνης, καὶ Ἑρμογένης, Εὐήμερός τε, καὶ Κόμων, καὶ Ζωπυρίων, καὶ πολλοί τινες ἄλλοι τάχα, (οὐ γὰρ ἔγωγε πᾶ- c
σιν ἐντετύχηκα τοῖς βιβλίοις,) οὐ παρέργως ἡμῶν μεμνημο-
3 νεύκασιν. Οἱ πολλοὶ δὲ τῶν εἰρημένων ἀνδρῶν τῆς μὲν ἀληθείας τῶν ἐξ ἀρχῆς πραγμάτων διήμαρτον, ὅτι μὴ ταῖς ἱεραῖς ἡμῶν βίβλοις ἐνέτυχον· κοινῶς μέντοι περὶ τῆς ἀρχαιότητος ἅπαντες μεμαρτυρήκασιν, ὑπὲρ οὗ τανῦν λέγειν προεθέμην.

a 4. μὲν οὖν—τῶνδε] μὲν οὕτως B. b 2. Προκείσθω] Προσκείσθω F.G. ἐπὶ πᾶσι etc.] καὶ τὰ ἐξ ἰωσήπου. Ἰωσήπου περὶ τῶν μνησθέντων τοῦ Ἰουδαίων ἔθνους. ἀρκοῦσι δ' ὅμως B. In C.F.G. post ἐπιλέγει leg. Ἰωσήπου περὶ τῶν μνημονευσάντων τοῦ Ἰουδ. ἔθ. 11. Κόμων] Κόνων Jos. 12. τάχα ἄλλοι] ἄλλοι τάχα B.C.G. c 2. μεμνημονεύκασιν] μεμνηκόσιν B. μεμνημονευκόσιν ed. Viger. ἐμνημονεύκασιν Jos. 6. περὶ om. B.

mei? Cumque sermo adhuc esset in ore ejus, ultorem illum e vestigio tanti fastus exitum subiit.

42 Hæc igitur auctorum illorum testimonia nostram in rem protulisse sufficiat. Superioribus omnibus, Josephi tantum ex Judaicarum Antiquitatum historia verba subjungamus, ubi laudatis infinitorum prope scriptorum locis, idque totidem syllabis, ad extremum ita concludit :

Joseph. c. Apion. I. 23, p. 458.

2 Enimvero satis, erunt, inquit, ad fidem hujus antiquitatis faciendam, Syrorum, Chaldæorum, ac Phœnicum historiæ : quibus tot etiam Græcorum auctoritatem attexuimus, cum addere præterea licuisset Theophilum, Theodotum, Mnaseam, Aristophanem, Hermogenem, Euemerum, Comonem, ac Zopyrionem, aliosque forte quamplurimos ; nec enim omnes
3 evolvi libros, qui rerum nostrarum ex professo meminerunt. Et quanquam eorum etiam, quos nominatim citavimus, plerique quod literas nostras minime attigerint, a rerum jam inde ab initio gestarum veritate aberrarunt; communi tamen consensu omnes eidem antiquitati suffragati

ΙΩΣΗΠΟΥ

Ὁ μέντοι Φαληρεὺς Δημήτριος, καὶ Φίλων ὁ πρεσβύτερος, [269] καὶ Εὐπόλεμος, οὐ πολὺ τῆς ἀληθείας διήμαρτον. Οἷς συγγινώσκειν ἄξιον· οὐ γὰρ ἐνῆν αὐτοῖς μετὰ πάσης ἀκριβείας τοῖς ἡμετέροις γράμμασι παρακολουθεῖν.

4 Ταῦτα καὶ ὁ Ἰώσηπος. Ὅτῳ δὲ φίλον τοῖς περὶ τῆς d Ἰουδαίων Ἀρχαιότητος λόγοις ἐντυχεῖν τοῦ ἀνδρὸς, πλείστας ἂν εὕροι συμφώνους ταῖς ἐκτεθείσαις μαρτυρίας. Καὶ πολὺς δὲ ἄλλος μαρτύρων ἡμῖν ὄχλος παλαιῶν τε καὶ νέων συγγραφέων ἐπιρρεῖ, τὴν ὁμοίαν τοῖς τεθεῖσι ψῆφον ἐπισφραγιζομένων, ὧν τὰς φωνὰς, λόγου προνοούμενοι συμμετρίας, τοῖς φιλομαθέσι ζητεῖν τε καὶ διερευνᾶν ἀπολείψαντες, ἐπὶ τὴν λείπουσαν αὐτοὶ μεταβησόμεθα ἐπαγγελίαν.

c 10. οἷς σ. ἄξιον om. B.C.F.G. 12. καὶ ὁ Ἰώσηπος. ὅτῳ] οὗτος. ᾧ δὲ B. d. περὶ τῆς] τῆς om. B. 2. τοῦ ἀνδρὸς] αὐτοῦ B. qui mox om. ταῖς ἐκτεθείσαις. 4. καὶ πολὺς δ'] πολὺς δ' B. μαρτύρων—ὁμοίαν om. I. Tum ἄλλος ὅμιλος μαρτύρων ἐπιρρεῖ. λόγου δὲ προνοούμενοι B. μαρτυρίας] μαρτυρίαις D.F.G. 5. ἐπιρρεῖ] νέων συγγραφέων μαρτυρεῖ τὴν ὁμοίαν C.F.G. νέων συγγραφέων item E. συγγραφέων om. edd. 8. φιλομαθέσι] Inserit B. αὐτοὺς μετελείψαμεν ἐπὶ τὸ λειπὸν τῆς ἐπαγγελίας μεταβαίνοντες.

sunt, quod unum hoc loco mihi propositum fuerat. Ex quibus sane Demetrius Phalereus, Philo antiquior, et Eupolemus, a vero propius abfuerunt, quibus etiam si quid peccarunt, veniam hoc nomine dare æquum utique sit, quod librorum nostrorum sensum minus accurate capere et assequi potuerint.

4 Hactenus Josephus. Cui vero conscriptos ab eo de Judæorum Antiquitate libros volutare placuerit, is apud eum alia pleraque testimonia reperiat, summa cum iis quæ adhuc laudavimus consensione conjuncta. Quanquam, ingentem ejusmodi testium, tam veterum, quam recentiorum copiam, ad manum habemus ipsi quoque, qui ad eorum quos ante produximus auctoritatem, calculum adjungant suum. Verum, ne modum excedere videamur, eos quidem studiosis excutiendos scrutandosque relinquemus, nos vero quod superest, susceptum affectumque deinceps argumentum pertexemus.

ΒΙΒΛΙΟΝ ΔΕΚΑΤΟΝ.

1 Τίσι ποτὲ λόγοις τὴν καθ' Ἑβραίους φιλοσοφίαν τῆς p. 460
Ἑλληνικῆς προτετιμήκαμεν, ὁποίοις τε λογισμοῖς τὰς b
παρὰ τοῖς ἀνδράσιν ἱερὰς βίβλους ἀπεδεξάμεθα προ-
διειληφότες, κἄπειτα καὶ αὐτοὺς τοὺς Ἕλληνας μὴ
ἀγνοῆσαι τοὺς ἄνδρας, μνημονεῦσαι δὲ ὀνομαστὶ, καὶ
τὸν βίον καταπλαγῆναι, τῆς τε βασιλικῆς μητροπόλεως
καὶ τῆς λοιπῆς αὐτῶν ἱστορίας πολὺν πεποιῆσθαι λόγον
παραστήσαντες, φέρε ἐπιθεωρήσωμεν, ὡς οὐ μόνον τῶνδε
γραφῆς ἠξίωσαν τὴν μνήμην, ἀλλὰ καὶ τῆς ὁμοίας αὐ- c
τοῖς διδασκαλίας τε καὶ μαθήσεως ἔν τισι τῶν εἰς βελ-
τίωσιν ψυχῆς συντεινόντων δογμάτων ζηλωταὶ κατέ-
[270] 2 στησαν. Ὡς μὲν οὖν τὰ λοιπὰ τῶν μαθημάτων ἄλλο-
θεν ἄλλος τῶν θαυμαστῶν Ἑλλήνων, τοὺς βαρβάρους
ἐκπεριιὼν, συνελέξατο, γεωμετρίαν, ἀριθμητικὴν, μουσι-
κὴν, ἀστρονομίαν, ἰατρικὴν, αὐτά τε τὰ πρῶτα τῆς

b 3. βύβλους ἀπεδ.] βίβλους παρεδ. C.F.G. 7. μητροπόλεως— παραστήσαντες om. F. 9. πεποιῆσθαι] πεποιεῖσθαι B. 10. ἐπιθεωρήσωμεν] ἐπιθεωρήσομεν D. c. ἠξίωσαν] ἴσ. add. ποιήσασθαι Vigeri margo. Atqui constructio videtur, οὐ μόνον τῶνδε τὴν μνήμην ἠξίωσαν γραφῆς. 5. ἄλλος] ἄλλης B.

LIBER DECIMUS.

1 Quibus tandem adducti permotique rationibus philosophiam Hebræorum Græcæ prætulerimus, quove consilio sacras eorum literas susceperimus, cum a nobis hactenus explicatum fuerit, ostensumque præterea, ne Græcis quidem ignotum genus illud hominum fuisse, quippe qui nominatim eorum meminerint, vitæ rationes mirum in modum prædicarint, postremo cum de regia ipsorum metropoli, tum etiam de rebus cæteris plurimam fecerint mentionem: age videamus quoque deinceps, quemadmodum non suis modo scriptis eorum memoriam celebrare voluerint, sed etiam in plerisque decretis ad animorum conformationem pertinentibus, affinem iis geminamque
2 doctrinam æmulari. Et quidem ut reliquas artes, geometriam, musicam, astronomiam, medicinam, primaque adeo grammatices elementa, rerumque aliarum partim cum artificio conjunctarum, partim

γραμματικῆς στοιχεῖα, μυρίας τε ἄλλας τεχνικὰς καὶ
βιωφελεῖς ἐπιτηδεύσεις, αὐτίκα μάλα παραστήσω.
3 Ὥσπερ οὖν τὴν περὶ πλειόνων θεῶν δόξαν, τά τε μυσ- d
τήρια καὶ τὰς τελετὰς καὶ προσέτι τὰς ἱστορίας καὶ
τὰς μυθικὰς περὶ θεῶν διηγήσεις, τῶν τε μύθων τὰς ἀλ-
ληγορουμένας φυσιολογίας, καὶ τὴν λοιπὴν δεισιδαίμονα
πλάνην, παρὰ βαρβάρων εἰλῆφθαι αὐτοῖς φθάσας ὁ λό-
γος ἀπέδειξεν, ὁπηνίκα τὰ πάντα τοὺς Ἕλληνας, γῆν
πολλὴν πλανηθέντας, οὐκ ἀταλαιπώρως μὲν, ἐξ ἐράνου
δὲ τῶν παρὰ βαρβάροις μαθημάτων, τὴν οἰκείαν ὑπο-
4 στήσασθαι θεολογίαν ἐφωράσαμεν· ὡς δὲ τὰ περὶ εὐσε-
βείας ἑνὸς τοῦ ἐπὶ πάντων Θεοῦ, τά τε περὶ τῶν μάλιστα
ζητουμένων εἰς ψυχῆς ὠφέλειαν δογμάτων, ἃ δὴ καὶ
συνεκτικώτατα γένοιτ' ἂν τῶν ἐν φιλοσοφίᾳ λόγων, οὐκ
ἄλλοθεν εἶεν ἂν ἢ παρὰ μόνων Ἑβραίων πεπορισμένοι,
5 οὐκ εἰς μακρὰν ἀποδειχθήσεται. Ἢ εἰ μὴ τοῦτο, συνε- p. 461

c 12. ὥσπερ οὖν—παραδεδομένα om. B. πλειόνων] περὶ πλειόνων D.E.F.G. περὶ scil. excidit ex ed. Viger. d. πρόσετι om. D. 6. ἐδήλωσεν] ἀπέδειξεν C.D.F.G.I. τοὺς παλαιτάτους] τὰ πάντα τοὺς C.D.E.F.G.I. 8. δὲ τῶν] δὲ om. F.G.I. 10. οὕτως ὅτι] ὡς δὲ C.F.G.I. ὡς δέον D. ὡς δέοντα E. 11. περὶ πάντων] ἐπὶ π. E.F.G. et sic ed. Steph. ult. μακρὰν] μακρὸν C.E.F.

humanæ vitæ utilium vim infinitam, ex barbaris eximii nostri præ-
stantesque Græci aliunde alii corrogarint, jamjam abs me demon-
3 strabitur. Præterea, quemadmodum illam de pluribus diis opinionem,
mysteriorum sacrorumque ritus, historias, atque fabulosas deorum
narrationes, earumque ad naturalem quandam allegoriam traductio-
nes, et quicquid ex superstitioso errore superest, eosdem a barbaris
mutuatos esse, superioribus libris probavimus; cum vetustissimos
illos Græcos, semotas regiones laboribus maximis oberrando, ex
emendicata doctrinarum quibus florebant barbari stipe suam illam
4 theologiam conflasse deprehendimus. Sic quæcunque vel ad unius
ac summi rerum omnium moderatoris Dei religionem, vel ad ejus
doctrinæ partem, quæ ad animi utilitatem maxime comparata est,
quæ quidem præcipua sunt atque potissima totius philosophiæ capita,
non aliunde ipsos, quam ex solis Hebræorum fontibus hausisse paulo
5 post ostendemus. Id quod si cui minus probaretur, quod eos in

νεχθῆναι δὲ φαίη τις αὐτοὺς φυσικαῖς ὑποκινηθέντας
ἐννοίαις· καὶ τοῦτο πρὸς ἡμῶν ἂν εἴη, εἰ τὰ μὴ μόνοις
Ἑβραίοις ἄνωθεν ἐξ αἰῶνος ὑπὸ θεολόγων προφητῶν
ἀνδρῶν παραδεδομένα, ἀλλὰ τὰ καί τισιν, εἰ καὶ μὴ
πᾶσιν, αὐτοῖς δέ γε ὧν μέγα κλέος καθ᾽ Ἑλλάδα, καὶ
φιλοσόφων διατριβαῖς ἐξητασμένα, ζηλοῦν προειλόμεθα.
6 Τούτους δ᾽ ἂν εὕροις ἀριθμῷ μὲν ὄντας ληπτοὺς, ὅτι καὶ
πάντα χαλεπά φασιν εἶναι τὰ καλὰ, οὐ μὴν ἀλλὰ πρω-
τείοις τῶν παρ᾽ Ἕλλησι φιλοσόφων τετιμημένους, ὡς b
διὰ τὴν πολλὴν εὐδοκίμησιν τῇ δόξῃ τοὺς ὁμοίους κα-
7 λύπτειν. Οὐ χρὴ δὲ θαυμάζειν, εἰ καὶ τὰ παρ᾽ Ἑβραίοις
δόγματα δυνατὸν εἶναί φαμεν ἐσκευωρῆσθαι αὐτοῖς, ὅτε
μὴ μόνον τὰ λοιπὰ τῶν μαθημάτων Αἰγυπτίους καὶ
Χαλδαίους τά τε ἄλλα τῶν βαρβάρων ἐθνῶν συνίσταν-
ται ἀποσυλήσαντες, ἀλλ᾽ εἰσέτι καὶ νῦν ἁλίσκονται τῆς
σφῶν αὐτῶν ἐν συγγράμμασι φιλοτιμίας ἀποστεροῦντες
8 ἀλλήλους. Τὰς γοῦν τῶν πέλας ὁ καθ᾽ εἷς αὐτῶν λέξεις

p. 461. 2. ὑποκινηθέντας] ὑποκινηθέντες D. 5. τὰ om. D. b 5. φαμεν ἐσκ. αὐτοῖς] αὐτοῖς ἐσκ. φαμεν B. ἐσκευωρεῖσθαι D. ὅτε] ὅτι B. 9. τῆς σφῶν] τὰς σφῶν C.E.F.G.I. 10. ἀποστεροῦντες] ἀποστεροῦντας B.

istam opinionum similitudinem inditis a natura notionibus deductos
esse defenderet: id ipsum a nobis maxime fuerit, quod ea quæ non
Hebræis tantum ab hominibus, theologia prophetiaque clarissimis, ex
omni retro memoria tradita sunt, verum a Græcis etiam, si minus
omnibus, at nonnullis quidem, iisque tota passim Græcia celeber-
rimis, adeoque philosophorum ipsorum disputationibus diligenter
6 expensa, æmulari statuerimus. Equidem paucos ejusmodi fuisse
intelligo: (nam quæ præclara, eadem, ut vulgo fertur, difficilia
sunt:) at eos tamen, qui reliquos inter philosophos primas facile
tenuerunt, ut nominis sui claritate cæterorum omnium famam obscu-
7 rarint. Neque vero mirum videri debet, quod Hebræorum sententias
investigari a Græcis, et curiosius explorari potuisse dicamus: cum
reliquas ipsi doctrinas ex Ægyptiorum, Chaldæorum, aliarumque
gentium barbararum spoliis non modo conflaverint, sed etiamnum
ambitiosæ omnes æmulationis rei teneantur, dum alterius alter pla-
8 giarius esse non veretur. Imo quemlibet passim videas vicinorum

ὁμοῦ καὶ διανοίας καὶ ὅλας λόγων συντάξεις ὑποκλέψας, c
ὡς ἐπ' οἰκείοις πόνοις ἐσεμνύνατο. Μηδὲ τοῦτον δ'
ὑπολάβῃς ἐμὸν εἶναι τὸν λόγον· αὐτῶν γὰρ τῶν πανσό-
φων ἀκούσῃ πάλιν τῆς ἐν λόγοις κλοπῆς ἀλλήλους
9 ἀπελεγχόντων. Τοῦτο δέ γε αὐτὸ, ἐπείπερ ἅπαξ ὡρμή-
θημεν, ἀναγκαῖον πρῶτον ἁπάντων συνιδεῖν εἰς ἔλεγχον
τοῦ τῶν δηλουμένων τρόπου. Ὁ μὲν οὖν ἡμέτερος
Κλήμης ἐν ἕκτῳ Στρωματεῖ τὴν περὶ τούτου σύστασιν
εἰς πλάτος ἀπηύθυνε. Τούτου δέ μοι πρώτου λαβὼν
ἀνάγνωθι τὰς τοιάσδε φωνάς. d

2 Παραστήσαντες δὲ τὴν ἔμφασιν τῆς Ἑλληνικῆς ἐπινοίας ΚΛΗΜΕΝΤΟΣ
ἐκ τῆς διὰ τῶν γραφῶν εἰς ἡμᾶς δεδομένης ἀληθείας περιαυ-
γασθεῖσαν, καθ' ὃ σημαινόμενον διήκειν εἰς αὐτοὺς τὴν κλοπὴν
τῆς ἀληθείας ἐκδεχόμενοι, εἰ μὴ ἐπαχθὲς εἰπεῖν, ἀπεδείξαμεν·
φέρε, μάρτυρας τῆς κλοπῆς αὐτοὺς καθ' αὐτῶν παραστήσω-
2 μεν τοὺς Ἕλληνας. Οἱ γὰρ τὰ οἰκεῖα οὕτως ἄντικρυς παρ' p. 462
ἀλλήλων ὑφαιρούμενοι, βεβαιοῦσι μὲν τὸ κλέπται εἶναι, σφε-
τερίζεσθαι δὲ ὅμως καὶ ἄκοντες τὴν παρ' ἡμῶν ἀλήθειαν εἰς

c 2. οἰκείοις] ὁμοίοις F. 3. τοῦτον δ'] δ' om. D. 4. τῶν πανσ.] τῶν om. F. 9. ἕκτῳ] ἑκάστῳ B.D. 11. ἀπηύθ.] ἀπεύθ. C. πρώτου λαβὼν] πρῶτον B. λαβὼν om. D. Tum τοιαύτας pro τοιάσδε B.D.
d 8. σημαινόμενον] σημαίνομεν D.

suorum verba simul atque sententias, operaque nonnunquam integra
suffuratum, non secus iis ac propriis laboribus gloriari. Neque tu
meam hanc esse vocem arbitrere : ista rursus audies sapientiæ cor-
cula, quemadmodum in scribendo hoc sibi mutuo plagii crimen im-
9 pingant. Atque id sane, quando semel eo incumbere cœpimus, ante
omnia pervidere necesse est, ut exploratiores istorum mores habea-
mus. Et quoniam Clemens ille noster fuse admodum Stromate
sexto disputationem istam exequitur : hæc tu mihi primum ipsius
verba perlege. Clem. Alex. Strom. VI. 2, 4. p. 737, 3.

2 Jam vero, quandoquidem (inquit ille) arcanam illam Græcæ sententiæ
vim, ejus quam ex scripturis hausimus veritatis lumine collustratam pro-
tulimus, eoque sensu deinceps ad illos veritatis ejusdem furtum, si ita loqui
fas est, pervenisse ostendimus : age Græcos ipsos in sese plagii testes pro-
2 ducamus. Nam qui suis in rebus ab aliis alii palam adeo pleraque suf-
furantur, ii sane cum sese fures esse confirmant, tum etiam vel inviti pro-
fectam a nobis veritatem et vindicare sibi, et cum gentilibus suis, obscure

ΚΛΗΜΕΝΤΟΣ

τοὺς ὁμοφύλους λάθρα διαδείκνυνται. Εἰ γὰρ μηδὲ ἑαυτῶν,
3 σχολῇ γ' ἂν τῶν ἡμετέρων ἀφέξονται. Καὶ τὰ μὲν κατὰ φιλοσοφίαν σιωπήσομαι δόγματα, αὐτῶν ὁμολογούντων ἐγ-
[271] γράφως τῶν τὰς αἱρέσεις διανενεμημένων, ὡς μὴ ἀχάριστοι εὑρεθεῖεν, παρὰ Σωκράτους εἰληφέναι τὰ κυριώτατα τῶν b
δογμάτων· ὀλίγοις δὲ τῶν καθωμιλημένων καὶ παρὰ τοῖς Ἕλλησιν εὐδοκίμων ἀνδρῶν χρησάμενος μαρτυρίοις, τὸ κλεπτικὸν διελέγξας αὐτῶν εἶδος, διαφόροις τοῖς χρόνοις καταχρώμενος, ἐπὶ τὰ ἑξῆς τρέψομαι.

4 Ταῦθ' ὡς ἐν προοιμίοις φήσας, τοὺς ἐλέγχους ἑξῆς ἐπάγει, παντοίαις κεχρημένος ἀποδείξεσι, καὶ πρώτους γε τοὺς ποιητὰς τὰ παρὰ τῶν ὁμοίων κεκλοφέναι διὰ
5 παραθέσεως τῶν ἑκάστου φωνῶν εὐθύνει. Εἶθ' ἑξῆς ἐπιλέγει ταῦτα· c

Ὡς μηδὲ ἄμοιρον τήν τε φιλοσοφίαν, τήν τε ἱστορίαν, ἀλλὰ μηδὲ τὴν ῥητορικὴν τοῦ ὁμοίου ἐλέγχου περιίδωμεν, καὶ τούτων ὀλίγα παραθέσθαι εὔλογον.

p. 462. 4. διαδείκνυνται] διαδείκνυται B. 5. εἰ γὰρ] οἱ γὰρ C.D.E. F.G. Seqq. usque ad δογμάτων om. B. 6. ἀφέξονται] ἀφέξονται (ω sup.) C. 7. αὐτῶν] αὐτοῦ F. 8. διανενεμημένων] διανεμομένων Clem. 9. ἐλεγχθεῖεν] εὑρεθεῖεν C.E.F.G.I. b 4. εἶδος αὐτῶν] αὐτῶν εἶδος C.F.G.I. Tum διαφ. B.D. ἐν διαφόροις Clem. 8. πρώτους γε] πρώτους δὲ B.D. c. μηδὲ] δὲ μὴ Clem. μοὶ δὲ F. Tum τε om. F. 4. παραθέσθαι] παραθετέον B. qui om. εὔλογον.

licet, communicare noscuntur. Si enim suis minime parcunt, a nostris
3 ægre abstinebunt. Atque ut philosophiæ decreta sileam, cum sese familiarum duces, ne ingrati videlicet habeantur, præcipuarum opinionum capita a Socrate accepisse fateantur: ubi paucis aliquot eorum testimoniis, qui omnium ore celebrantur, summæque sunt apud Græcos ipsos existimationis, nullo temporum discrimine, suum illud ac proprium furandi genus arguero, tum demum ad ea quæ ordine consequuntur, me me ipse revocabo.

4 Hæc ille quasi præfatus, certa deinceps atque omni ex genere furtorum argumenta profert, ducto a poetis initio, quos aliorum poetarum versus atque sententias furatos esse, sua cujusque verba inter
5 sese conferendo, probat. Tum ita prosequitur:

p. 745, 36. Ne philosophiam, inquit, aut historiam, aut ipsam quoque rhetoricam hac reprehensione carere quis putet, verum utique fuerit, ex iis etiam disciplinis nonnulla proferre.

6 Εἶτ᾽ ἀκολούθως, Ὀρφέως, Ἡρακλείτου, Πλάτωνος, Πυθαγόρου, Ἡροδότου, Θεοπόμπου, Θουκυδίδου, Δημοσθένους, Αἰσχίνου, Λυσίου, Ἰσοκράτους, μυρίων ἄλλων παρατίθησιν, ὧν περιττὸν ἐμὲ καταλέγειν τὰς φωνάς, προκειμένης τῆς τἀνδρὸς γραφῆς, ἐν ᾗ μετὰ τοὺς ἐλέγ- d χους τῶν εἰρημένων ταῦτα πάλιν φησίν·

7 Αἱ μὲν οὖν ἰδέαι τῆς κατὰ διάνοιαν Ἑλληνικῆς κλοπῆς εἰς ὑπόδειγμα ἐναργὲς τῷ διορᾶν δυναμένῳ τοιαῖδε οὖσαι ἅλις ἔστωσαν. Ἤδη δὲ οὐ τὰς διανοίας μόνον καὶ τὰς λέξεις ὑφελόμενοι καὶ παραφράσαντες ἐφωράθησαν, ὡς δειχθήσονται, αὐτοτελῶς δὲ τὰ ἑτέρων ὑφελόμενοι, ὡς ἴδια ἐξήνεγκαν· καθάπερ Εὐγράμμων ὁ Κυρηναῖος ἐκ Μουσαίου τὸ Περὶ Θεσπρωτῶν βιβλίον ὁλόκληρον. ΚΛΗΜΕΝΤΟΣ

8 Αὖθις δὲ τούτοις ἐπαγαγὼν πλείστας ἀποδείξεις τοῦ λόγου, πάλιν τελευτῶν προστίθησι τάδε·

Ἐπιλείψει με ὁ βίος, εἰ καθ᾽ ἕκαστον ἐπεξιέναι πειρῴμην τὴν Ἑλληνικὴν διελέγχων φίλαυτον κλοπήν, καὶ ὡς σφετερί-

c 9. ἐμὲ om. D. d 4. τοιαῖδε—προστίθησι τάδε om. B. 6. καὶ om. F. 7. ὡς δειχθήσονται] Clem. ὡς δειχθήσεται· ἀλλὰ γὰρ καὶ τὰ φωρία ἄντικρυς ὁλόκληρα ἔχοντες διελεγχθήσονται. 8. δὲ] γὰρ Clem. τῶν ἑτέρων F. 11. βιβλίων I. 12. πλείστας] πλείους C.D.F.G. 15. πειρῴμην] αἱροίμην Clem.

6 Hic Orphei, Heracliti, Platonis, Pythagoræ, Herodoti, Theopompi, Thucydidis, Demosthenis, Æschinis, Lysiæ, Isocratis, et infinitorum aliorum loca inter sese committit, quorum verba subjungere, plane supervacaneum sit, cum ipsorum Clementis scriptorum quivis copiam habeat. Ubi auctoribus illis furti convictis, ista subdit.

7 Atque hæc furtorum, inquit, si sententiam spectes, apud Græcos varia quasi genera, ei quidem qui mentis acie solertiaque valeat, evidentis ac manifesti exempli caussa satis erunt. Jam vero non solas, ut a nobis ostendetur, sententias vocesque suffurati sunt, aut interpretum more fusius eloquuti: sed aliena etiam opera pro suis, quam longa sunt, edidere: ut Eugrammon ille Cyrenæus, qui Musæo detractum volumen De Thesprotis integrum nomine vulgavit suo. p. 751, 11.

8 Quod ipse posteaquam multis confirmatum ac testatum exemplis reliquit, ad extremum ita concludit.

Vita me deficiat, inquit, si quicquid illi, dum sese nimium amant, furtive surripuerunt, exponere sigillatim et coarguere volucro: nec non ut p. 752, 25.

ΚΛΗΜΕΝΤΟΣ ζονται τὴν εὕρεσιν τῶν παρ' αὐτοῖς καλλίστων δογμάτων,
9 ἣν παρ' ἡμῶν εἰλήφασιν. Ἤδη δὲ οὐ μόνον ὑφαιρούμενοι τὰ p. 463
δόγματα παρὰ τῶν βαρβάρων διελέγχονται, ἀλλὰ καὶ προσ-
έτι ἀπομιμούμενοι τὰ παρ' ἡμῖν, ἄνωθεν ἐκ τῆς θείας δυνά-
μεως διὰ τῶν ἁγίως βεβιωκότων εἰς τὴν ἡμετέραν ἐπιστρο-
φὴν παραδόξως ἐνεργούμενα, Ἑλληνικῇ μυθολογίᾳ τερατευό-
10 μενοι. Καὶ δὴ πευσόμεθα γὰρ αὐτῶν, ἤτοι ἀληθῆ ταῦτα
εἶναι, ἃ ἱστοροῦσιν, ἢ ψευδῆ. Ψευδῆ μὲν οὐκ ἂν φήσαιεν·
οὐ γὰρ ἂν καταψηφίσαιντο ἑαυτῶν ἑκόντες τὴν μεγίστην
εὐήθειαν, τὸ ψευδῆ συγγράφειν· ἀληθῆ δ' εἶναι ἐξ ἀνάγκης b
11 ὁμολογήσαιεν. Καὶ πῶς ἔτι ἄπιστα αὐτοῖς καταφαίνεται
τὰ διὰ Μωσέως καὶ τῶν ἄλλων προφητῶν τεραστίως ἐπιδε-
δειγμένα; Πάντων γὰρ ἀνθρώπων ὁ παντοκράτωρ κηδόμενος
Θεὸς, τοὺς μὲν ἐντολαῖς, τοὺς δ' ἀπειλαῖς, ἔστι δ' οὓς ση-
μείοις τεραστίοις, ἐνίους δὲ ἠπίαις ἐπαγγελίαις ἐπιστρέφει
12 πρὸς σωτηρίαν. Πλὴν ἀλλ' οἱ Ἕλληνες, αὐχμοῦ ποτὲ τὴν
Ἑλλάδα πολυχρονίως φθείροντος, καὶ ἐπεχούσης ἀγονίας
καρπῶν, οἱ καταλειφθέντες, φασὶ, διὰ λιμὸν ἱκέται παρα- c

p. 463. παρὰ τῶν βαρβάρων om. B. 5. ἡμετέραν] ἡμῶν B. qui mox om. παραδόξως. 7. καὶ δὴ—ἀπειλαῖς om. B. πευσόμεθα] πεσόμεθα C. πεσσόμεθα F. 8. ἐστιν] εἶναι C.D.E.F.G.I. Mox ἀλλὰ ψευδῆ μὲν Clem. infra οὔκουν ἑκόντες. 11. ψευδῆ] ψεῦδος C.F.G. b 7. ἠπίοις] ἠπίας C. ἠπίαις E.F.I. ἐπίαις G. 10. ἀγονίας] ἀγωνίας B.

pulcherrima quæque dogmata, quæ a nobis primum constituta sumpserunt,
9 pro suis postea venditarint. Nunc vero non satis ipsi barbarorum sententias palam suffurari habuerunt; sed etiam res æmulati nostras, quæ nostri erudiendi caussa, viri sanctissimi, supra communem hominum opinionem, divina vi tanto ante perfecerant, ea Græcarum fabularum monstris indu-
10 erunt. Enimvero, quæremus ex iis, verane sint, an falsa quæ narrant. Falsa utique nunquam esse dixerint; nec enim sententia sua tantæ se illi stultitiæ damnaverint, ut abs se falsa scribi fateantur. Vera igitur illa esse
11 defendent. Cur ergo, quæ a Mose prophetisque cæteris edita miracula sunt, fidem illis adhuc omnem superare videantur? Nam præpotens ille Deus, pro ea qua homines universos cura benevolentiaque complectitur, jussis alios, alios comminationibus, prodigiis etiam monstrisque nonnullos, quosdam vero blandis promissionibus ad cogitationem salutis adducit.
12 Græci enimvero, cum diuturniore quondam æstu Græcia passim exhausta squaleret, et longa frugum omnium inopia premeretur, qui superstites

γενόμενοι εἰς Δελφοὺς, ἤροντο τὴν Πυθίαν, πῶς ἂν ἀπαλλαγεῖεν τοῦ δεινοῦ. Μίαν δ' αὐτοῖς ἔχρησεν ἀπαλλαγὴν τῆς ΚΛΗΜΕΝΤΟΣ
13 συμφορᾶς, εἰ χρήσαιντο τῇ Αἰακοῦ εὐχῇ. Πεισθεὶς οὖν αὐτοῖς Αἰακὸς, ἀνελθὼν ἐπὶ τὸ Ἑλληνικὸν ὄρος, τὰς καθαρὰς χεῖρας ἐκτείνας εἰς οὐρανὸν, κοινὸν ἐπικαλέσας πατέρα τὸν Θεὸν, ηὔξατο οἰκτεῖραι αὐτὸν τετρυχωμένην τὴν Ἑλλάδα.
14 Ἅμα δὲ εὐχομένου, βροντὴ ἐξαίσιος ἐπεκτύπει, καὶ πᾶς ὁ περὶξ ἀὴρ ἐνεφοῦτο· λάβροι δὲ καὶ συνεχεῖς ὄμβροι καταρ- d ραγέντες ὅλην ἐπλήρωσαν τὴν χώραν. Ἐντεῦθεν ἄφθονος καὶ πλουσία τελεσφορεῖται εὐκαρπία, ταῖς Αἰακοῦ γεωργη-
15 θεῖσα εὐχαῖς. Καὶ ἐπεκαλέσατο, φησὶ, Σαμουὴλ τὸν Κύριον, καὶ ἔδωκε Κύριος φωνὰς καὶ ὑετὸν ἐν ἡμέρᾳ θερισμοῦ. Ὁρᾷς ὅτι
[272] ὁ βρέχων ἐπὶ δικαίους καὶ ἀδίκους διὰ τῶν ὑποτεταγμένων δυνάμεων [εἷς ἐστὶ Θεός];

Καὶ τὰ ἑξῆς.

16 Τούτοις μυρία συνάψας ὁ Κλήμης, κλέπτας γεγονέ-

c 3. ἀπαλλαγὴν] ἀπολογίαν E.I. ἀρωγὴν Clem. 4. τῆς συμφορᾶς] τοῦ δεινοῦ B. αἰακοῦ] τοῦ αἰακοῦ B. qui mox om. αὐτοῖς. 5. ἐπὶ τὸ ὄρος τὸ Ἑλλ.] ἐπὶ τὸ Ἑλλ. ὄρος B.C.F.G. Clem. 7. οὐρανὸν] τὸν οὐρανὸν D. ἐπικαλέσας] ἀποκαλέσας E.F.G.I. πατέρα om. Clem. qui mox τετρυμένην. 8. αὐτὸν] αὐτῶν B.I. οἰκτειρῆσαι D. 10. ὑπεκτύπει] ἐπεκτ. C.F.G.I. ἐκτύπει D. Clem. 11. λάβροι etc.] λάβροι δ' ὄμβροι ῥαγέντες καὶ συνεχεῖς τὴν χώραν ὅλην ἐπλ. ἀφ. εὐκ. τελ. B. d 6. ὅτι ὁ βρέχων] ὅτι βρέχει B.D. 7. ἀδίκους] ἀδίκους ὁ κύριος καὶ ἑξῆς om. mediis B. et sic ni fallor D. εἷς ἐστι Θεός desunt Euseb. 9. γεγονέναι om. D.

adhuc erant, famis, inquiunt, depellendæ caussa, Delphos supplices adiere. His, quemadmodum tanto malo defungerentur, consulentibus, viam hanc unam Pythia levandæ calamitatis aperuit, si Æaci precibus uterentur.
13 Quibus ille obsecundans, aliquem in Græciæ montem conscendit, ibique puris in cœlum manibus sublatis, communem Deum, uti eum perditæ
14 Græciæ commiseratio caperet, obsecravit. Precibus ille dum instaret, ingens illico tonitru exaudiri, nubibus circum undique obduci cœlum, immensa continuaque vis imbrium vasto impetu regionem universam inundare. Inde beata messis existens, Æaci culta sataque precibus, ad
15 lætam maturitatem perducitur. Nimirum, inquit scriptura, *Invocavit Samuel Dominum, deditque Dominus voces et pluviam in die messis.* Vides unum esse Deum, qui per subjectas virtutes *pluit super justos et injustos?* 1 Reg. 12, 18.

Et quæ sequuntur.

16 Infinita quippe subjungit Clemens, quibus tanquam certissimis

ναι τοὺς Ἕλληνας ἀναμφιλέκτοις ἐλέγχοις κατεφώρασεν. Εἰ δέ σοι μὴ πιστὸς οὗτος, ἅτε τῆς Ἑλληνικῆς καὶ αὐτὸς τὴν βάρβαρον ὁμοίως ἡμῖν προτετιμηκὼς φιλοσοφίαν, καὶ δὴ ἐάσθω, καίπερ οὐκ οἰκείαις φωναῖς ταῖς δ' αὐτῶν Ἑλλήνων ἀπευθύνας τὸν λόγον. Τί δ' ἂν εἴποις, εἰ τὰ ὅμοια καὶ παρ' αὐτῶν μάθοις τῶν γενναίων σου φιλοσόφων; Δέχου δῆτα καὶ τούτων τὰς μαρτυρίας.

3 ΠΟΡΦΥΡΙΟΥ Τὰ Πλατώνεια ἑστιῶν ἡμᾶς Λογγῖνος Ἀθήνησι, κέκλη- p. 464
κεν ἄλλους τε πολλοὺς, καὶ Νικαγόραν τὸν σοφιστὴν, καὶ Μαΐωρα, Ἀπολλώνιόν τε τὸν γραμματικὸν, καὶ Δημήτριον τὸν γεωμέτρην, Προσήνην τε τὸν Περιπατητικὸν, καὶ τὸν b
2 Στωϊκὸν Καλλιέτην. Μεθ' ὧν ἕβδομος αὐτὸς κατακλιθεὶς, τοῦ δείπνου προκόπτοντος, καί τινος ζητήσεως περὶ Ἐφόρου ἐν τοῖς ἄλλοις γενομένης, Ἀκούσωμεν, ἔφη, τίς ὁ περὶ

10. ἀναμφιλέκτοις ἐλέγχοις om. B. qui κατεφόρασεν. 14. δ' αὐτῶν] δὲ τῶν B. 15. εἰ] οὐ C. ult. αὐτῶν etc.] αὐτῶν τῶν γενναίων μάθης φιλοσόφων καὶ δὴ ἄκουε B.

p. 464. 5. Πλωτίνεια] Πλατώνεια C.G.I. Vigeri margo. Πλωτώνεια E. Trapezuntius *ad honorem Platonis*. Vide Ruhnken. Diss. de Longino s. 8. Vulg. Πλωτίνεια male defendit Boissonad. ad Procli Marin. p. 114. Λογγῖνος] ὁ Λογ. D. 7. νικαγόραν] νικαγόρα B. νικάνορα F.G.I. Vid. p. 465 b. μαιόραν] μαΐορα B. Μαΐωρα reponendum monuit Hemsterhus. ad Suid. p. 2376 F. b. καλιέτην] καλλιέτην B.C.D.F.G. 2. κατακλινθεὶς] κατακλιθεὶς B. -κλινεὶς C.F.G.I. 4. ἀκούσωμεν] ἀκούσομεν D.

probationibus Græcorum furta manifeste coarguit. Qui si tibi forte suspectus erit, quod perinde ac nos barbarorum philosophiam Græcæ prætulerit ipse quoque: omittatur ille quidem, tametsi non suis, sed Græcorum ipsorum vocibus hanc disputationem instruxerit. Quid respondebis porro, si affinia prorsus ac gemina ex suis illis præstantibus egregiisque philosophis audieris. Age sis ergo, et illorum etiam accipe testimonia.

3 Athenis, inquit, ad celebrandam Platonis memoriam convivio nos Longinus exceperat, interque complures alios, Nicagoram sophistam, Mæoram, Apollonium grammaticum, Demetrium geometram, Prosenem Peripate-
2 ticum, et Calietem Stoicum invitarat. Quibuscum septimus ipse accumbebat: qui fervente jam convivio, motaque inter alios de Ephoro quæstione, Audiamus, inquit, de Ephoro quid turbarum excitetur. Contende-

ΠΟΡΦΥΡΙΟΥ

Ἐφόρου θόρυβος. Ἦσαν δ' οἱ ζητοῦντες Καΰστριός τε καὶ
Μάξιμος· ὁ μὲν γὰρ αὐτὸν καὶ Θεοπόμπου προὐτίθει, ὁ δὲ
3 Καΰστριος κλέπτην ἀπεκάλει. Καὶ τί γὰρ Ἐφόρου ἴδιον,
ἔφη, ἐκ τῶν Δαϊμάχου, καὶ Καλλισθένους, καὶ Ἀναξιμένους
αὐταῖς λέξεσιν ἔστιν ὅτε τρισχιλίους ὅλους μετατιθέντος
4 στίχους; Πρὸς ὃν ὁ γραμματικὸς Ἀπολλώνιος ἔφη· Οὐ γὰρ c
ἔγνως, ὅτι καὶ τὸν Θεόπομπον, ὃν σὺ προτιμᾷς, κατείληφε
τουτὶ τὸ πάθος, ἐν μὲν τῇ ἑνδεκάτῃ τῶν Περὶ Φιλίππου ἐκ
τοῦ Ἰσοκράτους Ἀρεοπαγιτικοῦ μεταγράψαντα αὐτοῖς ὀνό-
μασιν ἐκεῖνα, ὅτι τῶν ἀγαθῶν καὶ τῶν κακῶν οὐδὲν αὐτὸ καθ'
5 αὑτὸ παραγίνεται τοῖς ἀνθρώποις, καὶ τὰ ἑξῆς. Καίτοι
ὑπερφρονεῖ τὸν Ἰσοκράτην, καὶ νενικῆσθαι ὑφ' ἑαυτοῦ λέγει
κατὰ τὸν ἐπὶ Μαυσωλῷ ἀγῶνα τὸν διδάσκαλον. Πραγμά-
των δ' ὑφαίρεσιν πεποίηται, μεταθεὶς τὰ ἐπ' ἄλλων ἄλλοις,
6 ἵνα καὶ ψεύστης ἁλῷ τοῦτον τὸν τρόπον. Ἄνδρωνος γὰρ ἐν d
τῷ Τρίποδι περὶ Πυθαγόρου τοῦ φιλοσόφου τὰ περὶ τὰς
προρρήσεις ἱστορηκότος, εἰπόντος τε, ὡς διψήσας ποτὲ ἐν
Μεταποντίῳ, καὶ ἔκ τινος φρέατος ἀνιμήσας καὶ πιών, προεῖ-

b 7. αὐτὸν] αὐτῶν D. 10. ἔφη om. D.F.G.I. Δαϊμάχου] f. Δηϊόχου Clintonus F. H. T. II. p. 455. ed. 3. 12. ὅλους om. B.D.
c 2. ἔγνως] ἔγνων B. 3. κατείληφε] κατείληξε B. 4. Φιλίππου] Φίλιππον F. 5. Ἀρεοπαγητικοῦ—τὰ ἑξῆς om. B. Ἀρεωπαγητικοῦ I. Dedi Ἀρεοπαγιτικοῦ. Locus est p. 140 d. ed. H. Steph. μεταγράψαντα] μεταγράψαντος C.F.G. 7. αὐτὸ] ἑαυτὸ D. 12. ἐπ' ἄλλων] ἀπ' ἄλλων E.
d 4. ἱστορηκότος] ἱστορηθέντα B. Mox τε om. I. 5. τῷ Μετα. D. 6. καὶ πιὼν] καὶ om. D.

bant Caystrius et Maximus. Ephorum quippe ipsi quoque Theopompo
3 Maximus anteponebat; eundem Caystrius plagiarium vocabat. Quid
enim, inquiebat, Ephori singulare ac proprium est, qui ex Daïmachi, Cal-
listhenis, et Anaximenis operibus tria nonnunquam ipsa versuum millia
4 totidem verbis in sua transtulerit? Cui Apollonius grammaticus, enimvero
nescis, inquit, Theopompum illum, quem ei præferre gestis, eodem quoque
morbo laborare, qui libro de Philippi rebus undecimo, ex Isocratis Areo-
pagitica locum illum ad verbum transcripserit, boni malique nihil per sese
5 hominibus evenire: et quæ sequuntur. Isocratem interea despicit, eoque
certamine, quod in Mausoli honorem institutum est, victum abs sese
magistrum gloriatur. Quinetiam res ipsas ille subtraxit, quæ aliorum
6 propriæ sunt, aliis tribuendo, ut hoc etiam modo mendacii teneatur. Cum
enim Andro in Tripode res a Pythagora philosopho prædictas collegisset,
interque cætera commemorasset, eum aliquando Metaponti sitientem, cum
haustam ex quodam puteo aquam bibisset, terræ motum ante diem tertium

ΠΟΡΦΥΡΙΟΥ

πεν ὡς εἰς τρίτην ἡμέραν ἔσοιτο σεισμός. Καὶ ἕτερά τινα
7 τούτοις ἐπαγαγὼν, ἐπιλέγει· Ταῦτ᾽ οὖν τοῦ Ἄνδρωνος περὶ
Πυθαγόρου ἱστορηκότος, πάντα ὑφείλετο Θεόπομπος. Εἰ
μὲν περὶ Πυθαγόρου λέγων, τάχα ἂν καὶ ἕτεροι ἠπίσταντο
περὶ αὐτοῦ, καὶ ἔλεγον, ταῦτα καὶ αὐτὸς εἰπών· νῦν δὲ τὴν
κλοπὴν δήλην πεποίηκεν ἡ τοῦ ὀνόματος μετάθεσις. Τοῖς p. 465
μὲν γὰρ πράγμασι κέχρηται τοῖς αὐτοῖς, ἕτερον δ᾽ ὄνομα
μετενήνοχε· Φερεκύδην γὰρ τὸν Σύριον πεποίηκε ταῦτα
8 προλέγοντα. Οὐ μόνον δὲ τούτῳ τῷ ὀνόματι ἀποκρύπτει
τὴν κλοπὴν, ἀλλὰ καὶ τόπων μεταθέσει. Τό τε γὰρ περὶ
τῆς προρρήσεως τοῦ σεισμοῦ ἐν Μεταποντίῳ ὑπ᾽ Ἄνδρωνος
ῥηθὲν, ἐν Συρίᾳ εἰρῆσθαί φησιν ὁ Θεόπομπος· τό τε περὶ τὸ
πλοῖον, οὐκ ἀπὸ Μεγάρων τῆς Σικελίας, ἀπὸ δὲ Σάμου φησὶ
θεωρηθῆναι· καὶ τὴν Συβάρεως ἅλωσιν ἐπὶ τὴν Μεσσήνης
9 μετέθηκεν. Ἵνα δέ τι δοκῇ λέγειν περιττὸν, καὶ τοῦ ξένου b
προστέθεικε τοὔνομα, Περίλαον αὐτὸν καλεῖσθαι λέγων.
Κἀγὼ, φησὶν ὁ Νικαγόρας, τοῖς Ἑλληνικοῖς ἐντυγχάνων

d 8. τούτοις] τούτων B. 11. τάχα ἂν] τάχα ἂν ἃ F.G. ἠπίσταντο περὶ αὐτοῦ] περὶ αὐτ. ἠπ. B.C.F.G. Tum B.D. om. καὶ ἔλεγον. ult. ἂν εἶπον] εἰπὼν B.C.D.E.F.G.I. Mox κλοπὴν om. I. δήλην om. B.

p. 465. κέχρηται] κέχρηνται E. 5. τόπων] τρόπων B. τρόπων (το superscr.) D. 7. συρίᾳ] συρίῳ B.C.D.F.G.I. 9. οὐκ ἀπὸ—διαφθείρων om. B. 11. μετέθεικεν] μετέθηκεν C. μετατέθεικεν E.F.G.I. 12. δοκῇ] δοκεῖ C. b 2. προτέθεικε] προστέθεικε D.F.G.I. 3. τοῖς ἑλληνικοῖς] ταῖς ἑλληνικαῖς C.D.F.G.

7 futurum prædixisse. Hic nonnullis interjectis ita prosequitur. Illam
igitur Andronis de Pythagora historiam Theopompus integram furatus
est. Qui si eam de Pythagora commemoraret, alii quibus ea forte nota
jam esset, eandem etiam ab Androne narratam esse dicerent. Nunc vero
furtum ipse suum nominis mutatione patefecit. Rem enim eandem scribens, nomen supposuit alienum. Id videlicet a Pherecyde quodam Syro
8 prædictum fuisse tradit. Imo non hujus tantum nominis integumento,
verum etiam locorum mutatione suum ipse plagium occultare conatur.
Quam enim de illo terræ motu prædictionem Metaponti factam esse Andro
commemorat, eam in Syria contigisse Theopompus habet. Navigium item
illud, non ab Megara urbe Siciliæ, sed ab Samo visum fuisse. Postremo
9 Sybaris expugnationem ad Messanæ cladem transtulit. Quanquam ut
eximium aliquid dicere videatur, hospitis quoque nomen adjunxit, Perilaum
ipsum nuncupari scribens. Ego vero, excepit Nicagoras, in eorum, quæ

ΠΟΡΦΥΡΙΟΥ

αὐτοῦ τε καὶ τοῦ Ξενοφῶντος πολλὰ τοῦ Ξενοφῶντος αὐτὸν μετατιθέντα κατείληφα, καὶ τὸ δεινὸν, ὅτι ἐπὶ τὸ χεῖρον.

10 Τὰ γοῦν περὶ τῆς Φαρναβάζου πρὸς Ἀγησίλαον συνόδου δι' [273] Ἀπολλοφάνους τοῦ Κυζικηνοῦ, καὶ τὰς ἀμφοῖν πρὸς ἀλλήλους ἐνσπόνδους διαλέξεις, ἃς ἐν τῇ τετάρτῃ Ξενοφῶν ἀνέγραψε πάνυ χαριέντως καὶ πρεπόντως ἀμφοῖν, εἰς τὴν ἑνδεκάτην τῶν Ἑλληνικῶν μεταθεὶς ὁ Θεόπομπος, ἀργά τε καὶ c
11 ἀκίνητα πεποίηκε καὶ ἄπρακτα. Λόγου γὰρ δύναμιν καὶ διὰ τὴν κλοπὴν ἐξεργασίαν ἐμβάλλειν καὶ ἐπιδείκνυσθαι σπουδάζων, βραδὺς καὶ μέλλων καὶ ἀναβαλλομένῳ ἐοικὼς φαίνεται, καὶ τὸ ἔμψυχον καὶ ἐνεργὸν τὸ Ξενοφῶντος διαφθείρων.

12 Ταῦτ' εἰπόντος τοῦ Νικαγόρου, ὁ Ἀπολλώνιος, Καὶ τί θαυμάζομεν, ἔφη, εἰ Θεοπόμπου καὶ Ἐφόρου τὸ τῆς κλοπῆς πάθος ἥψατο, ἀργοτέρων οὕτως ἀνδρῶν, ὅπου γε καὶ Μένανδρος τῆς ἀρρωστίας ταύτης ἐπλήσθη, ὃν ἠρέμα μὲν ἤλεγξε d διὰ τὸ ἄγαν αὐτὸν φιλεῖν Ἀριστοφάνης ὁ γραμματικὸς ἐν ταῖς παραλλήλοις αὐτοῦ τε καὶ ἀφ' ὧν ἔκλεψεν ἐκλογαῖς; Λατῖνος δὲ ἓξ βιβλίοις, ἃ ἐπέγραψε Περὶ τῶν οὐκ ἰδίων Με-

b 9. ἐνσπόνδοις D. c 7. ταῦτ' εἰπ. τοῦ Ν.] καὶ τοῦ Ν. ταῦτ' εἰπ. B. 8. καὶ τί] τι om. F. 10. ὄντως] οὕτως B.D.E.F.G. τὸ τῆς] τὸ om. C.D.F.G. d 2. παραλλήλοις] παραλλήλων B. 3. ἐκλογαῖς] συλλογὴν B. καὶ ὧν ἔκλεψε συλλογιῶν D. 4. δὲ om. E.I.

cum ipse, tum Xenophon de rebus Græcorum memoriæ prodidit lectione versans, eum etiam e Xenophonte permulta suam in historiam traduxisse
10 deprehendi; quodque gravius est, deteriora fecisse. Nam illum sane Pharnabazi cum Agesilao congressum; qui Apollophane Cyziceno sequestre habitus est: ac mutuum utriusque in sanciendo fœdere colloquium, quod libro quarto Xenophon eleganter admodum, et pro amborum dignitate conscripsit, in Græcarum Historiarum undecimum transtulit Theopompus: verum ita quidem, ut omnia sine vi, sine motu, habere
11 prorsus ac jacere videantur. Dum enim is, ut plagium dissimulet, dicendi facultatem ostentare gestit, et elaboratæ dictionis cultum assuere, tardus, cunctabundus, ac procrastinanti similis videtur, adeoque vivam illam ac spirantem Xenophontis efficacitatem elidit.

12 Quibus a Nicagora dictis, Quorsum vero miremur, inquit Apollonius, Ephorum ac Theopompum hoc plagii vitio laborasse, inertes plane ac somnolentos homines, cum ipsum quoque Menandrum lues ista pervaserit? Quem Aristophanes grammaticus, quod eum nimium amaret, in excerptis illis, quibus ipsum cum aliis, unde furatus est, componit, non nisi leviter blandeque perstringit. At vero Latinus sex omnino libris, quos

ΠΟΡΦΥΡΙΟΥ

13 νάνδρου, τὸ πλῆθος αὐτοῦ τῶν κλοπῶν ἐξέφηνε· καθάπερ ὁ
Ἀλεξανδρεὺς Φιλόστρατος Περὶ τῆς τοῦ Σοφοκλέους Κλοπῆς
πραγματείαν κατεβάλετο. Καικίλιος δέ, ὥς τι μέγα πε-
φωρακώς, ὅλον δρᾶμα ἐξ ἀρχῆς εἰς τέλος Ἀντιφάνους, τὸν
Οἰωνιστήν, μεταγράψαι φησὶ τὸν Μένανδρον εἰς τὸν Δεισι-
14 δαίμονα. Ἐπεὶ δὲ τοὺς κλέπτας ἔδοξεν, οὐκ οἶδ' ὅπως, ὑμῖν,
φησὶν, εἰς τὸ μέσον ἀγαγεῖν, μηνύω κἀυτὸς Ὑπερίδην τὸν καλὸν p. 466
πολλὰ παρὰ Δημοσθένους κεκλοφότα, ἔν τε τῷ πρὸς Διώνδαν
15 λόγῳ, κἀν τῷ περὶ τῶν Εὐβούλου δωρεῶν. Καὶ ὅτι μὲν ὁ
ἕτερος παρὰ τοῦ ἑτέρου μετέθηκε, πρόδηλον· συγχρονούντων
δ' αὐτῶν, ἡμῶν μὲν ἂν εἴη ἔργον, φησὶν, ὦ Ἀπολλώνιε, ἐκ
τῶν χρόνων ἀνιχνεῦσαι τὸν κλέπτην. Ἐγὼ δὲ ὑποπτεύω
μὲν τὸν ὑφῃρημένον εἶναι τὸν Ὑπερίδην· ἀδήλου δὲ ὄντος
ὁπότερος, ἄγαμαι μὲν Δημοσθένην, εἰ λαβὼν παρὰ Ὑπερίδου b
πρὸς δέον διώρθωσε· μέμφομαι δὲ τὸν Ὑπερίδην, εἰ λαβὼν
παρὰ Δημοσθένους πρὸς τὸ χεῖρον διέστρεψε.

16 Καὶ μετὰ βραχέα φησί·

d 7. τῆς τοῦ] τοῦ om. C.D.F.G. 8 κατεβάλετο] κατεβάλλετο B.D. Mox scrib. Καικίλιος non Κεκίλιος. Vid. Toup. ad Longin. Subl. c. 1. 10. ἀρχῆς] ὅλης τῆς ἀρ. C.F.G. 12. οὐκ οἶδ' ὅπως et φησὶν om. B.D. et μέσον sine τὸ B.

p. 466. Ὑπερίδην] ὑπερήδην E. Supra μηνίω D. 2. ἔν τε τῷ— δωρεῶν om. B. 3. διώνδαν] διόνδαν C.F. 5. μέθηκε—συγχωρούντων D. 6. ἡμῶν] ὑμῶν D.E.F.G. 7. ἀνιχνεύσας D. b. ὑπερίδου] ὑπερείδου B. διώρθωσε] διώρθωσεν B. 3. διέστρεψε] διέτρεψε D. καὶ μετὰ] εἶτά φησι B.D.

De scriptis haud Menandri propriis edidit, furtorum ejus multitudinem
13 patefecit: quemadmodum Philostratus Alexandrinus De Sophoclis poetæ
Furtis justum confecit opus. Imo Cecilius, quasi magnum aliquid depre-
henderit, fabulam Antiphanis, quem Augurem inscripserat, a Menandro
totam a capite ad calcem in Superstitiosum suum transcriptam esse testa-
14 tur. Et quoniam, inquit, vobis, nescio quo pacto, fures semel prodere
visum est, boni etiam Hyperidis nomen ecce defero; is enim cum adversus
Diondam, tum in ea quam de Eubuli donationibus reliquit, ex Demosthene
15 multa quoque furatus est. Enimvero alterutrum sane alterius plagiarium
fuisse constat; sed tamen quod æquales ambo fuerint, vestrum erit, Apol-
loni, temporis ipsius vestigiis furem indagare: equidem Hyperidem suspi-
cor: verumtamen, quandiu non certo liquet. Demosthenem utique, si
mutuatus ab altero est, vehementer admiror, qui tam apposite ejus oratio-
nem corrigere potuerit: Hyperidem contra, si Demosthenis plagiarius est,
permoleste fero, qui tam male vim ejus dictionis infregerit.

16 Ac paucis interjectis,

ΠΟΡΦΥΡΙΟΥ

Καὶ τί ὑμῖν λέγω, ὡς τὰ Βαρβαρικὰ Νόμιμα Ἑλλανίκου ἐκ τῶν Ἡροδότου καὶ Δαμάσου συνῆκται; Ἢ ὡς Ἡρόδοτος ἐν τῇ δευτέρᾳ πολλὰ Ἑκαταίου τοῦ Μιλησίου κατὰ λέξιν μετήνεγκεν ἐκ τῆς Περιηγήσεως, βραχέα παραποιήσας, τὰ τοῦ Φοίνικος ὀρνέου, καὶ περὶ τοῦ ποταμίου ἵππου, καὶ τῆς
17 θήρας τῶν κροκοδείλων; Ἢ ὡς τὰ περὶ βασάνων εἰρημένα c
παρ' Ἰσαίῳ ἐν τῷ περὶ τοῦ Κύλωνος κλήρου, καὶ παρὰ Ἰσοκράτει ἐν τῷ Τραπεζιτικῷ κεῖται, καὶ παρὰ τῷ Δημοσθένει ἐν τῷ κατὰ Ὀνήτορος ἐξούλης, σχεδὸν διὰ τῶν αὐτῶν εἴρηται; Ἢ ὡς Δείναρχος ἐν τῷ πρώτῳ κατὰ Κλεομέδοντος αἰκίας πολλὰ μετενήνοχεν αὐτοῖς ὀνόμασιν ἐκ τοῦ Δημοσθένους κατὰ
18 Κόνωνος αἰκίας; Ἢ ὡς Ἡσιόδου,

Οὐ μὲν γάρ τι γυναικὸς ἀνὴρ ληΐζετ' ἄμεινον
τῆς ἀγαθῆς, τῆς δ' αὖτε κακῆς οὐ ῥίγιον ἄλλο,

ταύτην τὴν διάνοιαν Σιμωνίδης ἐν τῷ ἑνδεκάτῳ μετήνεγκε d
λαβὼν οὕτως,

Γυναικὸς οὐδὲν χρῆμ' ἀνὴρ ληΐζεται
ἄμεινον ἐσθλῆς, οὐδὲ ῥίγιον κακῆς.

b 5. Ἑλλανίκου] Ἑλληνικοῦ C.G. 6. δαμάσου] δαμάσσου C.F.G. Δαμάστου Valcken. ad Herodot. IV. 190. tamen post Meursium B. G. v. DAMASTES. c 2. κύλωνος] κίλωνος B.C.G. Κύκλωνος D. Tum κλήρῳ B. 3. δημοσθένει] τῷ δημ. C.D.F.G. τοῦ δημοσθένους B. 4. ἐξούλης] ἐξ οὗ δὴ B. ἐξ οὔλης C. δὴ σχεδὸν D. 5. δείναρχος] δήν. C. 12. ἄλλο] ἄλλον D. d. ταύτην] ταύτην τὴν D.F.G.I. 2. μετενήνεγκε] μετήνεγκε C.D.G.I.

Quid attinet, inquit, hoc loco dicere, aut Hellanici De moribus Barbarorum opus, ex Herodoti Damasique scriptis esse conflatum? aut Herodotum in secundo, ex historica Hecatæi Milesii narratione quamplurima verbis totidem exscripsisse? pauca quædam leviter ementitum, cujusmodi sunt quæ de Phœnice ave, deque fluviatili equo, et crocodilorum venatione
17 commemorat: aut quæ de quæstionibus in ea de Cylonis hæreditate disputat Isæus, eadem apud Isocratem in Trapezitica reperiri? imo Demosthenem etiam, in ea quam adversus Onetorem unde vi habuit oratione, eadem prope sententia disserere? aut Dinarchum in primam adversus Cleomedontem plagarum abs se postulatum, multa ex Demosthenis in
18 Cononem similis injuriæ reum oratione verbis ipsissimis transtulisse? aut illam Hesiodi sententiam,

Haud uxore bona quicquam felicius ulli,
Tetrius haud quicquam prava contingere possit,

Ab Simonide libro undecimo hunc in modum usurpatam,

Uxore melius nil bona quicquam viro,
Mala evenire tetrius possit nihil.

ΠΟΡΦΥΡΙΟΥ

Εὐριπίδης δὲ ἐν Μελανίππῃ τῇ δεσμώτιδι,

Τῆς μὲν κακῆς κάκιον οὐδὲν γίνεται
γυναικὸς, ἐσθλῆς δ' οὐδὲν εἰς ὑπερβολὴν
πέφυκ' ἄμεινον· διαφέρουσι δ' αἱ φύσεις.

19 Τοῦ δὲ Εὐριπίδου εἰπόντος,

Γυναῖκές ἐσμεν ἀθλιώτατον φυτόν,

Θεοδέκτης ἐν Ἀλκμαίωνί φησι,

Σαφὴς μὲν ἐν βροτοῖσιν ὑμνεῖται λόγος,
ὡς οὐδέν ἐστιν ἀθλιώτερον φυτόν
γυναικός.

Οὗτος οὐ μόνον τὴν ἐπιβολὴν ἐκεῖθεν εἴληφεν, ἀλλὰ καὶ ταῖς p.467 λέξεσιν αὐταῖς συγκέχρηται· καὶ ἠθέλησεν αὐτὸ πανούργως παροιμιακὸν μᾶλλον εἶναι, καὶ ὡς ὑπὸ πολλῶν λεγομένῳ συγκεχρῆσθαι, ἢ δοκεῖν εἰληφέναι παρὰ τοῦ γεγεννηκότος.
20 Ὁ δ' Ἀντίμαχος τὰ Ὁμήρου κλέπτων παραδιορθοῖ. Ὁμήρου γὰρ εἰπόντος,

Ἰδεώ θ' ὃς κάρτιστος ἐπιχθονίων γένετ' ἀνδρῶν·

[274] Ἀντίμαχος λέγει,

d 5. *τῇ μελανίππῃ*] *μελανίππω* (*πη* F.I.) *τῇ* C.D.E.F.G.I. *Εὐριπίδης —γεγεννηκότος* om. B. 12. *Θεοδέκτης*] *Θεόδεκτος* C.F.G.
p. 467. *ἐπιβολὴν*] *ἐπιβουλὴν* F. 7. *παραδιορθοῖ*] *παραδιορθεῖ* D. 8. *ἐπιχθονίων—κάρτιστος* om. I.

Quem eundem in sensum Euripides in Menalippe captiva,

Mala inveniri fœmina pejus queat
Nihil, bonaque melius optari nihil,
At iste varium sexus ingenium capit.

19 Ejusdem Euripidis illud est,

Nos heu mulieres germen infelix sumus.

Quod Theodectes in Alcmæone sic expressit,

Hoc jure passim nemo non hominum canit,
Haud esse germen fœmina infelicius.

Qui quidem sententiæ hujus ansam non ex illo tantum Euripidis versu arripuit, sed illam iisdem quoque verbis extulit: nisi quod versute quidem et callide, proverbii genus id facere, eoque tanquam vulgi ore jam trito
20 abuti maluit, quam ab ejus auctore mutuatus videri. Antimachus vero in quibus Homeri plagiarius est, in iis correctorem agit, nam illum Homeri versum,

Ἰδεώ θ', ὃς κάρτιστος ἐπιχθονίων γένετ' ἀνδρῶν,
Atque Idæ, reliquos homines qui robore vicit,

vocis unius mutatione sic usurpat Antimachus,

Ἰδεώ θ' ὃς κάρτιστος ἐπιχθονίων ἦν ἀνδρῶν. b ΠΟΡΦΥΡΙΟΥ

Καὶ Λυκόφρων ἐπαινεῖ τὴν μετάθεσιν, ὡς δι' αὐτῆς ἐστηρι-
21 γμένου τοῦ στίχου. Τὸ γὰρ,

Τὸν δ' ἀπαμειβόμενος προσέφη κρείων Διομήδης,

σιγῶ, Ὁμήρου κωμῳδηθέντος ὑπὸ Κρατίνου διὰ τὸ πλεονάσαι ἐν τῷ

Τὸν δ' ἀπαμειβόμενος.

Ὅπερ οὕτω πεπατημένον οὐκ ὤκνησεν Ἀντίμαχος μεταθεῖναι.
22 Τοῦ δὲ c

Λαῶν οἷσιν ἄνασσε, πατὴρ δ' ὣς ἤπιος ἦεν,

Ὁμηρικοῦ ὄντος· καὶ πάλιν ἀλλαχοῦ που λεγομένου,

Οἱ δ' ἐπεὶ ἀμφοτέρωθεν ἐκαρτύναντο φάλαγγας,

ὁ Ἀντίμαχος μεταθεὶς ἡμιστίχια πεποίηκε,

Λαῶν οἷσιν ἄνασσον ἐκαρτύνοντο φάλαγγας.

23 Ἀλλ' ἵνα μὴ καὶ αὐτὸς κλοπῆς ἄλλους αἰτιώμενος κλέπτης d
ἁλῶ, τοὺς πραγματευσαμένους τὰ περὶ τούτων μηνύσω. Λυσιμάχου μέν ἐστι δύο Περὶ τῆς Ἐφόρου Κλοπῆς, Ἀλκαῖος

b 3. ἐστηριγμένου] ἐστιγμένου B.C.E.F.G.I. ἐστὶ γενομένου D. 6. σιγῶ—ὄντος om. B. 7. τὸν δ'] τῇ δ' I. 8. οὗτος πεπατημένος D. c 6. ἐκρατύναντο] ἐκαρτύναντο B. Vig. ἐκρατήναντο I. Tum φάλαγκας C. et infra B. ὁ ἀντίμαχος—φάλαγγας om. C.

Ἰδεώ θ' ὃς κάρτιστος ἐπιχθονίων ἦν ἀνδρῶν.

Quam ejus emendationem Lycophron approbat, quod ea versum fulcire
21 videatur. Nam alterum quidem illum,

Τὸν δ' ἀπαμειβόμενος προσέφη κρείων Διομήδης,
His contra princeps Diomedes vocibus infit,

facile prætereo, cum eo nomine Homerus Cratini comœdia traducatur, quod suum illud,

τὸν δ' ἀπαμειβόμενος,

ad satietatem inculcet. Quod usque adeo contritum licet, suis tamen inse-
22 rere non erubuit Antimachus. Præterea Homericum illud est,

E populis, patrio quos blandus amore regebat,

itemque alterum hoc,

At postquam hinc atque hinc densam instruxere phalangem,

quo ex utroque sumptis hemistichiis Antimachus versum hunc conflavit,

E regni populis densam instruxere phalangem.

23 At enimvero, ne dum furti alios insimulo, furti crimen subeam ipse quoque, quinam furta ista patefecerint indicabo. Lysimachi extant De Furtis Ephori libri duo. Eadem Alcæus contumeliosorum iamborum epigram-

ΠΟΡΦΥΡΙΟΥ

δὲ, ὁ τῶν λοιδόρων ἰάμβων καὶ ἐπιγραμμάτων ποιητὴς, παρῴδηκε τὰς Ἐφόρου κλοπὰς ἐξελέγχων, Πολλίωνος δὲ ἐπιστολὴ πρὸς Σωτηρίδαν Περὶ τῆς Κτησίου Κλοπῆς, τοῦ δ' αὐτοῦ καὶ Περὶ τῆς Ἡροδότου Κλοπῆς ἐστι βιβλίον, καὶ ἐν τῷ ἐπιγραφομένῳ Ἰχνευταὶ πολλὰ περὶ Θεοπόμπου λέγεται, Ἀρητάδου τέ ἐστι Περὶ Συνεμπτώσεως πραγματεία, ἐξ ὧν τοιαῦτα πολλά ἐστι γνῶναι.

24 Καὶ μεθ' ἕτερα,

Καὶ ὁ Προσήνης, Τοὺς μὲν ἄλλους, ἔφη, κλέπτας ἐφωράσατε· ὅτι δὲ καὶ αὐτὸς οὗτος ὁ ἥρως Πλάτων, οὗ τὴν ἐπώνυμον ἑορτὴν σήμερον πανηγυρίζομεν, πολλοῖς καταχρῆται τῶν p. 468 πρὸ αὐτοῦ, αἰδοῦμαι γὰρ τῷ τῆς κλοπῆς ὀνόματι ἐπὶ τούτου 25 χρῆσθαι, οὐκέτι κατειλήφατε. Τί λέγεις; ἔφη ὁ Καλλιέτης. Οὐ λέγω μόνον, φησὶν, ἀλλὰ καὶ τὴν πίστιν τῷ λόγῳ παρέχω. Σπάνια δὲ τὰ τῶν πρὸ τοῦ Πλάτωνος γεγονότων βιβλία· ἐπεὶ ἴσως πλείους ἄν τις ἐφώρασε τοῦ φιλοσόφου [κλοπάς·] ἐγὼ δ' οὖν, ἧ κατὰ τύχην περιπέπτωκα, Πρωταγό-

d 5. λοιδορῶν] λοιδόρων D.I. 7. Πολίωνος] πολλίωνος F.G. Σωτηρίνδαν] σωτηρίδαν I. 10. ἐπιγραφ.] τῷ ἐπιγραφ. D.E.F.G. 11. ἀρητάδου—εἰσάγοντας om. B. ἀριτώδε δὲ D. 12. ἐξ ἧς] ἐξ ὧν C.D.E.F.G.I. 13. ἕτερον, καὶ ὅτι μὲν D. ult. ἱερὸς] ἥρως C.F.G. ἥρων D.E.I. *Herois* Trapez. Mox τήμερον C.F.G.

p. 468. 8. κλοπὰς om. C.D.E.F.G.I. οὖν τισι] οὖν ἧ C.D.E.F.G.I. 9. ἐμπέπτωκα] περιπέπτ. C.F.G.I. qui mox om. γὰρ cum D. post Πρωταγ. πέπτωκα E.

matumque scriptor, faceto carminis genere coarguit. Polionis ad Soterindam, epistolam De Ctesiæ, itemque librum De Herodoti Furtis habemus. In eo similiter, cui titulus est, Indagatores, de Theopompo multa leguntur. Extat etiam Aretadis de Fortuita Convenientia opus aliquod, unde hujusmodi pleraque haurire liceat.

24 Rursumque post alia quædam,

Plagiarios, inquit Prosenes, alios prodidistis. At Platonem illum divinum, cujus e nomine festum hunc diem celebramus, eorum scriptis qui ante se vixerunt permultis abuti, (furem enim talem virum appellare non 25 audeo,) vestrum adhuc nemo deprehendit. Quid tu ais? (inquit Callietes.) Ille autem, Enimvero non tantum aio, sed etiam verbis re ipsa fidem adjungo. Libri quidem eorum qui ætate Platonem antecesserint, extant sane perpauci, quorum si copia foret, plura fortassis hujus philosophi furta deprehensa forent. Casu vero mihi occurrere nonnulla. Cum enim Pro-

ΠΟΡΦΥΡΙΟΥ

ρου τὸν Περὶ τοῦ Ὄντος ἀναγινώσκων λόγον, πρὸς τοὺς ἓν τὸ ὂν εἰσάγοντας τοιαύταις αὐτὸν εὑρίσκω χρώμενον ἀπαντήσε- b σιν· ἐσπούδασα γὰρ αὐταῖς λέξεσι τὰ ῥηθέντα μνημονεύειν.

Καὶ ταῦτ' εἰπὼν, διὰ πλειόνων τίθησι τὰς ἀποδείξεις.

26 Ἀλλ' ὁποῖος μὲν τῶν Ἑλληνικῶν συγγραφέων ὁ τρόπος, ὅτι τε οὐδὲ τοῦ καθ' ἑαυτῶν ἐφείσαντο ἐλέγχου, ἀρκεῖν ἀπὸ μυρίων ἡγοῦμαι τὰ εἰρημένα. Ἔτι δὲ εἰς προπαρασκευὴν τῆς ἀπὸ τῶν Ἑβραϊκῶν λόγων ἐπιρρυείσης εἰς Ἕλληνας ὠφελείας εὖ μοι δοκεῖ καὶ ἀναγκαίως καθόλου πᾶσαν ἀποδεῖξαι τὴν βοωμένην Ἑλλήνων παιδείαν τε καὶ φιλοσοφίαν, τά τε πρῶτα αὐτῶν c μαθήματα, καὶ τὰ σεμνὰ τῆς λογικῆς ἐπιστήμης ἀπὸ βαρβάρων αὐτοῖς συμπεφορημένα, ὡς ἂν μηκέθ' ἡμῖν ἐπιμέμφοιτό τις αὐτῶν, ὅτι δὴ τὴν παρὰ τοῖς βαρβάροις εὐσέβειάν τε καὶ φιλοσοφίαν τῶν παρ' αὐτοῖς σεμνῶν προτετιμήκαμεν.

a 10. τοὺς ἓν] τὸ ἓν C.F.G. Mox συνάγοντας D. 11. τοιαύταις αὐτὸν] ἐν δὲ ταῖς τοιαύταις ἀπαντήσεσιν ἐσπεύσατο B. b. λέξεσι] λέξεσι ἐοικότα B. 5. ἐφείσατο] ἐφείσαντο B.C.E.F.G.I. 6. ἀρκεῖν] ἀρκεῖς εἰς προπαρασκευὴν B. 8. λόγων om. B. εἰς om. D. 9. καὶ ἀναγκ. καθόλου om. B. c. παιδείαν τε καὶ om. B. παιδίαν G. 2. καὶ τὰ—ἐπιστήμης om. B. 3. βαρβάρων] βαρβάρων συμπεφορῆσθαι B. 4. συμπεφορημένα] συμπεφωνημένα C.F.G. συμπεφωρῆσθαι D. μηκέθ' ἡμῖν] μὴ ἡμῖν ἐπιμέμφοιντο αὐτῶν τὴν περὶ βαρβάρων φιλοσοφίαν B. μὴ item D. 5. παρὰ τοῖς] τοῖς om. C.F.G.

tagoræ librum De Ente perlegerem, his illum ego rationibus, eos qui ens duntaxat unum esse volunt, refellere comperi: hoc enim egi, ut quæ ab illo hanc in rem disputantur ad verbum ediscerem.

Hæc ipse præfatus, multis deinceps dicti sui veritatem demonstrat.

26 Sed enim, cujusmodi Græcorum scriptorum ratio sit, utque ne mutuis quidem aliorum alii reprehensionibus pepercerint, vel ex istis quæ de infinitis pauca collegi, satis constare existimo. Jam vero, ut via summæ illi utilitati magis magisque sternatur, quæ in Græcos Hebræorum ex literis redundavit, facturum me necessarium operæ pretium putavi, si omnem illam, quæ tantopere jactatur, doctrinam philosophiamque Græcorum, nec non eorum primarias quasque disciplinas, momentaque artis disserendi graviora, passim eos corrogasse a barbaris universe ostendero: ne quis ipsorum amplius probro nobis vertere audeat, quod haustam a barbaris religionem atque philosophiam augustis illis eorum mysteriis potiorem habuerimus.

4 Ὅτι μὴ ἄνευ λόγου σώφρονος δεύτερα θέμενοι τὰ d τῆς Ἑλλήνων φιλοσοφίας τὴν παρ' Ἑβραίοις θεολογίαν προτετιμήκαμεν, γνοίης ἄν, μαθὼν ὡς καὶ αὐτῶν Ἑλλήνων οἱ δὴ μάλιστα ὀρθότερον φιλοσοφίας ἁψάμενοι, καί τι πλέον καὶ μεῖζον τῆς πανδήμου περὶ θεῶν ἀκοῆς διανοηθέντες, οὐδ' ἕτερα τῶν παρὰ τοῖς Ἑβραίοις προκεκυρωμένων ἐφεῦρον ἀληθῆ δόγματα.
2 Οἱ μὲν γὰρ ἀλληνάλλως ποικίλαις ψευδοδοξίαις ἀπαχθέντες εἰς βυθὸν ἀδολεσχίας περιετράπησαν, οἱ δέ γε ποσῶς εὐγνώμονι λογισμῷ κεχρημένοι, ἐν οἷς τῆς τἀληθοῦς ἐφήψαντο p. 469
[275] καταλήψεως, ἐν τούτοις τῆς Ἑβραίων κοινωνοὶ πεφήνασι διδασκαλίας.
3 Εἰκὸς γοῦν πολυμαθεῖς γεγονότας, τά τε τῶν ἐθνῶν νόμιμά τε καὶ μαθήματα περιεργότερον ἐξητακότας, καὶ τὴν τῶν δηλουμένων μὴ ἀγνοῆσαι φιλοσοφίαν, νεωτέρους μὲν τῷ χρόνῳ, ὡς ἔπος εἰπεῖν, ἁπάντων οὐχ Ἑβραίων μόνον, οὐδέ γε Φοινίκων, καὶ Αἰγυ-

d 7. ὀρθώτερον] ὀρθότερον B.C.I. Viger. 9. διανοηθέντες] διανοηθέντα B. παρὰ τοῖς] παρ' αὐτοῖς B.D.I. 10. προκεκυρωμένων] προκεκηρωμένων D. 11. ποικίλαις] ποικίλως C.F.G. 13. ἀγνώμονι] εὐγνώμονι C.D.F.G.I.

p. 469. 3. οὖν] γοῦν B.C.F.G.I. Supra πεφύκασι D. pro πεφήνασι. 7. νεωτέρους] νέους B.C.D.E F.G.I. 9. οὐδέ γε] καὶ B.D.

4 Quam non sine maturo sanoque consilio, posthabita Græcorum philosophia, Hebræorum theologiam complexi fuerimus, vel ex eo satis intelligas, quod e Græcis ne illi quidem ipsi, qui omnium optime philosophiam tractaverunt, et vulgari de diis contritoque sermone amplius aliquid majusque cogitarunt, alia veritati consentanea reperire dogmata potuerint, quam quæ apud Hebræos tanto ante sancita et
2 constituta fuissent. Nam cum alii temere æstu quodam falsarum ac multiplicium opinionum abrepti, tandem in altum ineptæ loquacitatis gurgitem effusi sunt: tum illi sane, paulo sinceriore usi judicio, quibus de rebus veram animo notionem informarunt, in iis quidem nonnullum se Hebraicæ doctrinæ gustum habuisse declarant. Et vero consentaneum utique est, ut qui rerum sibi multarum cognitionem compararunt, moresque populorum atque disciplinas curiosius explorarunt, ii nec illorum, de quibus loquimur, philosophiæ genus ignorarint: cum omnibus, ut ita dicam, non Hebræis modo, vel Phœnicibus, et Ægyptiis, sed etiam Græcis illis antiquioribus tem-

πτίων, ἀλλὰ καὶ αὐτῶν τῶν παλαιῶν Ἑλλήνων φύντας.
4 Οἷς τὰ μὲν ἐκ Φοινίκης Κάδμος ὁ Ἀγήνορος, τὰ δ' ἐξ b
Αἰγύπτου περὶ θεῶν, ἢ καί ποθεν ἄλλοθεν, μυστήρια καὶ τελετὰς, ξοάνων τε ἱδρύσεις, καὶ ὕμνους, ᾠδάς τε καὶ ἐπῳδὰς, ἤτοι ὁ Θρᾴκιος Ὀρφεὺς, ἢ καί τις ἕτερος Ἕλλην ἢ βάρβαρος, τῆς πλάνης ἀρχηγοὶ γενόμενοι, συνεστήσαντο· τούτων γὰρ οὐδένας καὶ αὐτοὶ ἂν ὁμο-
5 λογήσαιεν Ἕλληνες παλαιοτέρους εἰδέναι. Πρῶτον γοῦν ἁπάντων Ὀρφέα, εἶτα δὲ Λίνον, κἄπειτα Μουσαῖον, ἀμφὶ τὰ Τρωϊκὰ γενομένους ἢ μικρῷ πρόσθεν ἠκμακέναι φασίν. Ἀλλὰ κατά γε τούτους πλέον οὐδὲν c
τῆς Φοινίκων καὶ Αἰγυπτίων πολυπλανοῦς θεολογίας
6 παρὰ τοῖς Ἕλλησιν ἐπολιτεύετο. Καὶ δὴ καὶ ἐν τοῖς λοιποῖς ἔθνεσι, κατὰ πάσας χώρας τε καὶ πόλεις, ἔν τε ἱεροῖς καὶ μυστηρίοις, αὐτὰ δὴ ταῦτα καὶ ὅσα τούτοις ὅμοια παρεφυλάττετο. Πολὺς γοῦν παρὰ τοῖς πᾶσιν ὁ προδηλωθεὶς περὶ θεῶν ἐκράτει λόγος· νεῴ τε περικαλ-

a 10. τῶν παλ.] τῶν om. F. 12. Κάδμων I. b 2. περὶ] παρὰ D. 4. θράκιος] θρακήδιος C. θρακήσιος F.G. 5. καί τις] τις om. B. 6. ἀρχηγοὶ γενόμενοι] ἄρξαντες B.D. Mox τούτων γὰρ —παρεφυλάττετο om. B. 7. ἂν] δ' ἂν D. Steph. δ' om. Vigerus cum C.I. 9. εἶτα δὲ] δὲ om. D. c 2. ἐπολιτεύετο] ἐπολιτάτετο D. 4. χώρας τε καὶ πόλεις] πόλεις—χώρας C. 6. πολὺς γοῦν] καὶ πολὺς B. Mox προδηλ. περὶ θεῶν B.C.E.F.G.I. pro π. θ. π. 8. νέως—παντοίοις om. B.

4 pore juniores extiterint. Siquidem illis partim ex Phœnice Cadmus Agenoris filius, partim ex Ægypto, vel undeunde, sua illa Deorum mysteria, sacrorumque ritus, signorum collocationes, hymnos, odas, epodasque, seu Thracius Orpheus, seu quivis alii vel Græci vel barbari erroris duces ac principes fabricarunt: nec enim vetustiores
5 alios sese vel ipsi quoque Græci nosse fateantur. Ac primum quidem Orpheum, Linum inde, tum Musæum, circa Trojana tempora, vel paulo ante floruisse volunt. Atqui nihil sane tum, præter Phœnicum atque Ægyptiorum scatentem erroribus theologiam, Græcorum res-
6 publica noverat. Quam eandem in omnibus sacrorum mysteriorumque rationem gentes etiam reliquæ in suis quæque regionibus urbibusque retinebant. Quippe, illa jam tum apud omnes, de qua superius loquuti sumus, de diis opinio passim obtinebat: templa ubique

λεῖς, παντοίοις ἀγάλμασι καὶ ἀναθήμασι κεκοσμημένοι,
παρὰ τοῖς πᾶσιν ἐξήσκηντο· ἀτὰρ δὴ καὶ ξόανα παν-
τοίας ὕλης εἰς πᾶσαν θνητῶν ζῴων ἰδέαν τετυπωμένα
7 φιλοκάλως ἐξείργαστο. Καὶ μὴν καὶ μαντείων πλείστη d
τις ἦν καὶ ἄφθονος παρὰ τοῖς πᾶσι περιουσία. Σεμνός
γε μήν τις καὶ μέγας θεὸς παρὰ τοῖς Ἕλλησι διαφε-
ρόντως τὸ τηνικάδε μάλιστα ἦν ἀκμάζων, ὁ Πύθιος, καὶ
ὁ Κλάριος, καὶ ὁ Δωδωναῖος· εἶτα δὲ Ἀμφιάρεως, καὶ
Ἀμφίλοχος, καὶ ἐπὶ τούτοις μυρίος ἄλλος ἐπιρρέων
χρησμῳδῶν μᾶλλον ἢ ποιητῶν τε καὶ ῥαψῳδῶν ὄχλος.
8 Ὧν μακροῖς ποθ᾽ ὕστερον χρόνοις εἰς Ἕλληνας παρελ-
θοῦσα φιλοσοφία, μηδὲν τῶν αὐτῇ προσηκόντων παρὰ
τοῖς προπάτορσιν εὑροῦσα, τὰ μὲν σεμνὰ καὶ παλαιὰ
τῆς πατρόθεν εἰς αὐτοὺς ἡκούσης θεολογίας, αὐτά τε τὰ
θαυμαστὰ καὶ παρὰ πᾶσι βοώμενα, θειά τε καὶ χρηστή-

c 9. κεκοσμημένους] κεκοσμημένης E. κεκοσμημένοι B.C.F.G.I. Et hoc reponendum vidit Vigerus, qui insuper conj. νεῴ pro νεώς. 10. ἐξήσκητο E.I. 12. καὶ μὴν om. C. ναὶ μὴν E.F.G. d 2. πᾶσι] τοῖς πᾶσι C.E.G.I. πᾶσιν ἀφθονία· μέγας μέντοι θεὸς B. ἀφθονία μέγας μέντοι item D. 3. παρὰ τοῖς Ἑλ.] παρ᾽ αὐτοῖς Ἑλ. C.F.G. Tum διαφ. τὸ τὴν om. B. 6. εἶτα] εἶτα δὲ B.C.D.F.G. 7. μυρίος—χρόνοις om. B. 10. εἰς Ἑλλ.] ἢ εἰς Ἑλλ. B. Tum παρελθούσῃ D. 12. εὑροῦσα] εὑροῦσαι D. τὰ μὲν] μὲν om. C.F.G. Mox καὶ παλαιὰ om. B. Tum πατρόθεν εἰς αὐτοὺς ἡκούσης θεολογίας C.E.F.G.I. pro πατρικῆς αὐτῶν. ult. τὰ θαυμαστὰ—θειά τε καὶ om. B. χρηστήρια] τ᾽ αὐτῶν χρηστήρια B.

magnifica, omnique signorum ac donariorum genere ad eximiam speciem ornabantur: simulacra cum ex omni materia, tum in quamlibet mortalium animantium formam eleganti artificio fingebantur.
7 Plurima quoque apud omnes oraculorum erat maximaque copia: quique magnus apud Græcos potissimum habitus est augustusque deus, eodem maxime florebat tempore, Pythius, inquam, ille, Clarius, atque Dodonæus: quem Amphiaraus deinde, Amphilochus, et infinita deinceps alia vatum potius, quam poetarum aut rhapsodorum multi-
8 tudo consequuta est. At vero philosophia, cum non nisi multis post eos sæculis venisset in Græciam, nec quicquam rerum suarum apud eorum majores inveniret, quicquid insuper in patriæ theologiæ mysteriis præclari olim sanctique habebatur, nec non illa quæ omnium ore jactabantur egregia divinaque oracula, et plena vanitatis, et ab omni

ρια, ἔργῳ περιττὰ καὶ ἀνωφελῆ κατελάμβανε. Διὸ p. 470
ταῦτα μὲν εἰς δεύτερον ἀνεβάλλετο, ὡς ἂν οὐδὲν αὐτῇ πρὸς τὴν τῶν ἀναγκαίων καὶ ἀληθῶν εὕρεσιν λυσιτελεῖν δυνάμενα· τὰ δὲ ὀθνεῖα λοιπὸν καὶ βάρβαρα, οἷά τις γυμνὴ καὶ οἰκείων πτωχεύουσα λόγων τε καὶ μαθημάτων, περιῄει διερευνωμένη, τά τε χρήσιμα πανταχόθεν ἑαυτῇ πορίζουσα συνάγουσά τε καὶ ἐρανιζομένη, ὅ τι ποτὲ παρ' ἑκάστοις εὕροι τῶν ἐθνῶν. Οὐ γὰρ οὖν μόνα τὰ τῆς ἀληθοῦς θεολογίας λείποντα κατεμάνθανε τοῖς Ἕλλησιν, ἀλλὰ καὶ τῶν ἄλλων τεχνῶν τε καὶ ἐπιστημῶν τὰς b
βιωφελεστάτας. Συνομολογοῦσί γε τοι Ἕλληνες αὐτοὶ, μετά γε Ὀρφέα Λίνον τε καὶ Μουσαῖον, οἱ δὴ πάντων μάλιστα θεολόγων παλαιότατοί τε καὶ πρῶτοι κατῆρξαν αὐτοῖς τῆς πολυθέου πλάνης, τοὺς ἑπτὰ παρ' αὐτοῖς ἄνδρας ἐπὶ σοφίᾳ θαυμασθῆναι, οὓς δὴ καὶ ἐπο-

p. 470. κατελάβετο] κατελάμβανε C.E.F.G.I. 2. ἀνεβάλλετο] ἀνεβάλετο C.F.G. ἂν ἐβάλλετο E. Mox αὐτῇ et ἀναγκαίων καὶ om. B. αὐτῇ om. D. 4. λυσιτελοῦντα] λυσιτελεῖν δεδυνημένα C.F.G. λυσιτελεῖν δυνάμενα E.I. 5. γυμνὴ] γυμνὸς E.I. 7. τά τε] τε om. B. 8. ἑαυτῇ πορίζουσα συνάγουσά τε καὶ ἐρανιζ.] πoριζομένη τε καὶ ἐρα. B. αὐτῇ περισώζουσα etc. C. αὐτὴ περισώζουσα F.G. 9. ἑκάστοις] ἑκατέροις D. 10. ἐθνῶν] ἐθῶν F. b. τε καὶ] τε om. B. 2. βιωφελεστάτας] βιωφελέστατα B.C.D. τὰ βιωφελέστατα E.F.G.I. 3. αὐτοὶ om. B. qui mox om. τε et δή. D. om. δή. 4. μάλιστα πάντων] πάντων μάλ. C.E.F.G.I. 5. κατῆρξαν] κατήρξαντο D. et mox αὐτῆς. 7. φιλοσοφίᾳ] σοφίᾳ B.C.E.F.G. Mox ἀμφὶ Κῦρον—τῆς ἠθικωτέρας om. B.

utilitate vacua re ipsa deprehendit. Ergo iis secundum in locum rejectis, quod nihil sibi ad rerum necessariarum ac verarum investigationem commoditatis afferre possent, errare deinceps vagarique, et quando nuda per sese erat, ac propriarum facultatum inops, peregrina saltem barbaraque rimari, quæque sibi usui esse possent colligere undique, et quicquid apud quoslibet populos reperiret, sedulo corrogare. Nec enim veram duntaxat theologiam, sed alias etiam artes atque doctrinas humanæ vitæ perutiles, Græcis hominibus deesse cognovit. Et vero Græci fatentur ipsi, non nisi post Orpheum, Linum, ac Musæum, qui videlicet theologorum omnium antiquissimi ac principes, falsæ hujus de multitudine deorum opinionis fundamenta jecerunt, viros illos omnino septem philosophiæ in Græcia

Septem sapientum ritus.

νομάσαι σοφούς. Ἀμφὶ Κῦρον δὲ οἵδε τὸν Περσῶν
11 ἤκμασαν βασιλέα. Οὗτος δ' ἦν ὁ χρόνος, ἐν τῷ τῶν
παρ' Ἑβραίοις προφητῶν οἱ πάντων ὕστατοι προεφή- c
τευον, τῶν μὲν Τρωϊκῶν ὕστερον ἔτεσι· πλέον ἢ ἑξακο-
σίοις, τῆς δὲ Μωσέως ἡλικίας οὐκ ἔλαττον ἢ χιλίοις
πεντακοσίοις γενομένοι. Τοῦτο δέ σοι τὰς τῶν χρόνων
ἀναγραφὰς μικρὸν ὕστερον διιόντι καταφανὲς ἔσται.
12 Ἐνταῦθά που νέοι τῷ χρόνῳ οἱ ἑπτὰ γενόμενοι σοφοὶ
ἐπὶ κατορθώσει μνημονεύονται ἀγωγῆς τῆς ἠθικωτέρας,
ὧν πλέον οὐδὲν τῶν βοωμένων ἀποφθεγμάτων μνημο-
νεύεται. Ὀψὲ δέ τι, καὶ μᾶλλον τοῖς χρόνοις ὑποβε-
[276] βηκότες, οἱ παρ' Ἕλλησι φιλόσοφοι διαπρέψαι μνημο-
13 νεύονται. Ὧν Πυθαγόρας πρῶτος Φερεκύδου γνώριμος, d
τὸ "φιλοσοφίαν" ἀνευρὼν ὄνομα, ὡς μέν τινες, Σάμιος,
ὡς δ' ἕτεροί φασι, Τυρρηνὸς ἦν· τινὲς δ' αὐτὸν Σύ-
ριον ἢ Τύριον εἶναι λέγουσιν· ὥστε σε βάρβαρον, ἀλλ'

c 6. *ἔσται*] *ἔστω* E.I. 7. *γενόμενοι* in C F.G. ante *τῷ χρόνῳ*. 8. *ἀγωγῆς*] *ἀρετῆς* D. in textu. 10. *μνημονεύεται*] *μνημονεύονται* E. *ὑπο* *τι καὶ μᾶλλον* om. B.D. 11. *ὑποβεβηκότες*] *ἐπιβεβηκότες* D. 12. *φιλόσοφοι*] *σοφοὶ* B.D. d 2. *φιλοσοφίαν*] *φιλοσοφίας* D.F.G. 3. *ὡς μέν*] *αἱ μὲν* B. 4. *ἕτεροι* etc.] *ἕτεροι τυρηνὸς ὢν* B. *ἦν*] *ὢν* D. textu. Mox *τύρον ἔφασαν* B. 5. *Σύριον ἢ Τύριον*] v. Holsten. ad Porph. V. P. c. 1. *ἢ Τύριον* om. F. 6. *ἀλλ' οὐχ*] *ἀλλ'* om. B. qui *τοῦτον* pro *γεγονέναι* et om. *τῶν* ante *φιλοσ*.

laude claruisse, quos ipsi quoque sapientes nominarint. Atqui Cyro
11 Persis imperante floruerunt omnes: quo tempore prophetarum apud
Hebræos omnium novissimi extitere, annis post Trojana quidem
tempora amplius sexcentis; post Mosem vero non paucioribus mille
ac quingentis, ut facile tibi paulo post ex temporum ratione serieque
12 constabit. Cæterum eo circiter ævo, cum recentiores isti septem
sapientes emersissent, humanioris quidem et castigatioris disciplinæ
magistri fuisse perhibentur, sed tamen præter celebres quasdam eru-
ditasque sententias, nihil admodum reliquerunt. At longe serius
13 philosophorum in Græcia vigere nomen ac prædicari cœpit. Horum
princeps ille Pythagoras, Pherecydis ante discipulus, a quo philo-
sophiæ nomen inventum est, Samius, ut nonnulli volunt, vel, ut aliis
placet, Tuscus erat. Nec desunt, qui Syrum eum aut Tyrium fuisse
dicant. Utut sit, illum et philosophorum principem, et Græcorum

Pythagoras princeps philosophorum, Græcus non fuit.

οὐχ Ἕλληνα γεγονέναι ὁμολογεῖν τὸν πρῶτον τῶν φι-
14 λοσόφων, ἀνὰ στόμα πάντων Ἑλλήνων ᾀδόμενον. Καὶ τὸν Φερεκύδην δὲ Σύριον ἀναγράφουσιν, ᾧ μαθητεῦσαι τὸν Πυθαγόραν φασίν. Οὐ μόνῳ δὲ τούτῳ συγγενέσθαι ὁ Πυθαγόρας λέγεται, διατρίψαι δὲ καὶ παρὰ τοῖς Περσῶν μάγοις, καὶ τοῖς Αἰγυπτίων δὲ προφήταις μαθητεῦσαι, καθ᾽ ὃν χρόνον Ἑβραίων οἱ μὲν ἐπ᾽ Αἰγύπτου, οἱ δ᾽ ἐπὶ Βαβυλῶνος φαίνονται τὴν μετοικίαν πεποιημένοι.
15 Ἀλλὰ γὰρ ὁ δηλούμενος, τὰ παρ᾽ ἑκάστοις σοφὰ πολυ- p. 471
πραγμονῶν, ἐπῆλθε Βαβυλῶνα καὶ Αἴγυπτον καὶ πᾶσαν τὴν Περσῶν, τοῖς τε μάγοις καὶ τοῖς ἱερεῦσι μαθητευόμενος· ἀκηκοέναι τε πρὸς τούτοις Βραχμάνων ἱστόρηται· (Ἰνδῶν δέ εἰσιν οὗτοι φιλόσοφοι·) καὶ παρ᾽ ὧν μὲν ἀστρολογίαν, παρ᾽ ὧν δὲ γεωμετρίαν, ἀριθμητικήν τε παρ᾽ ἑτέρων καὶ μουσικὴν, καὶ ἄλλα παρ᾽ ἄλλων συλλεξάμενος, μόνον παρὰ τῶν σοφῶν Ἑλλήνων ἔσχεν οὐδὲν,

d 7. τὸν πρῶτον τῶν] τῶν πρώτων D. τὸν πρώτων F.G. 10. οὐ μόνον—λέγεται om. B. μόνῳ C.F.G.I. pro μόνον. 13. Αἰγυπτίων δὲ] δὲ om. B.D. pen. μαθητεῦσαι] τοῦτον λέγεται B.D. in textu. ult. μὲν ἐπ᾽] μὲν ὑπ᾽ C. βαβυλῶνος—πεποιημένοι] βαβυλῶνα μετωκίσθησαν B. μετωκίσθησαν item D. in textu.

p. 471. 3. Περσίδα] πᾶσαν τὴν Περσῶν C.F.G.I. π. τῶν Π. E. 4. τοῖς ἱερεῦσι] τοῖς om. B. ἀκηκοέναι—ἱστόρηται] καὶ βραχμάνας ἱστορῆσαι B.D. 9. ἄλλων] ἑτέρων C.E.F.G.I. Mox C.F.G. om. πενίᾳ—συνοικούντων.

omnium ore celebratum, non Græcum tamen, sed barbarum esse
14 fatendum est. Quinetiam ipsum quoque Pherecydem, cui Pythagoram operam dedisse ferunt, Syrum fuisse memorant. Quanquam non eo tantum doctore Pythagoram usum esse tradunt, sed etiam cum magis apud Persas, cum prophetis apud Ægyptios consuetudinem habuisse; quo quidem tempore partim in Ægyptum, partim Baby-
15 lonem Hebræos migrasse liquet. Ita noster hic philosophus, quid apud quosque præclarum et eruditum esset diligenter explorans, Babylonem, Ægyptum, Persidemque peragravit, magorum ac sacerdotum disciplinis imbutus. Idem præterea Brachmanas, (Indorum philosophi illi sunt) audiisse fertur. Is ergo cum ab aliis astrologiam, geometriam ab aliis, ab aliis arithmeticam et musicam, aliaque ab aliis didicisset, a solis Græcis auferre nihil potuit; tanta illi tum

16 πενίᾳ σοφίας καὶ ἀπορίᾳ συνοικούντων· ἔμπαλιν δ' οὖν b
τῶν ἔξωθεν αὐτῷ πεπορισμένων αἴτιος αὐτὸς τῆς μαθή-
σεως κατέστη τοῖς Ἕλλησιν.
17 Ὁ μὲν οὖν Πυθαγόρας τοιοῦτος. Πρώτη δ' ἐκ τῆς
τούτου διαδοχῆς ἡ κληθεῖσα Ἰταλικὴ φιλοσοφία συνέ-
στη, τῆς ἐπωνυμίας ἐκ τῆς κατὰ τὴν Ἰταλίαν διατριβῆς
ἀξιωθεῖσα· μεθ' ἣν ἡ ἀπὸ Θαλοῦ τοῦ τῶν ἑπτὰ σο-
φῶν ἑνὸς Ἰωνικὴ προσαγορευθεῖσα· κἄπειτα ἡ Ἐλε-
ατική, Ξενοφάνην τὸν Κολοφώνιον πατέρα ἐπιγραψα-
18 μένη. Ἀλλὰ καὶ ὁ Θαλῆς, ὥς τινες ἱστοροῦσι, Φοίνιξ
ἦν· ὡς δέ τινες ὑπειλήφασι, Μιλήσιος· Αἰγυπτίων δὲ c
19 καὶ οὗτος λέγεται τοῖς προφήταις συμβεβληκέναι. Σό-
λωνα δὲ καὶ αὐτὸν τῶν ἑπτὰ σοφῶν, ὃν δὴ καὶ λόγος
Ἀθηναίοις νομοθετῆσαι, Αἰγυπτίοις ὁμοίως φησὶν ὁ
Πλάτων προσεσχηκέναι, ὁπηνίκα πάλιν ᾤκουν Ἑβραῖοι
τὴν Αἴγυπτον. Εἰσάγει γοῦν αὐτὸν ἐν Τιμαίῳ πρὸς

b 3. Πρώτη δ' ἐκ] πρῶτοι C.F.G. De seqq. leg. Ross. ad. Diog. Laërt. p. 2. 5. συνέστη φιλοσοφία] φιλοσοφία συνέστη C.E.F.G.I. 7. θαλοῦ] θαλλοῦ C.F.G. qui λ. duplicat infra. 10. ἐπιγραφομένη] ἐπιγραψαμένη C.E.F.G.I. 11. ὑπειλήφασι om. B. c. μηλίσιος F. 4. καὶ λόγος om. I. 6. πάλιν om. B.D. 7. Εἰσάγει—παιδευόμενον om. B. δ' οὖν] γοῦν C.F.G.I.

16 penuria sapientiæ, ac rerum omnium ignorantia laborabant. Contra peregrinis ipse artibus doctrinisque cumulatus, eruditionis omnis in Græcia fontem aperuit.

Italica philosophis.

17 Ac Pythagoras quidem ejusmodi fuit. Ab eo deinceps primum philosophiæ genus propagatum est, quod ab Italia, ubi plurimum viguerat, Italicum appellarunt. Tum alterum illud sequutum est, quod Thales e septem sapientibus unus instituit, quodque dixerunt

Eleatica philosophia.

18 Ionicum. Huic successit Eleaticum, quod Xenophanem Colophonium parentem sibi vendicat. Porro Thales ipse quoque, vel Phœnix, ut nonnulli scribunt, vel ut alii, Milesius fuit : idemque cum Ægyptiis

Solonis ætas, et peregrinatio.

19 etiam prophetis commercium habuisse fertur. Jam Solonem, unum item e septem illis sapientibus, quemque Atheniensibus leges tulisse fama communis est, Ægyptiis, quo tempore Hebræi rursus Ægyptum incolebant, similiter inhæsisse testis est Plato. Eum quidem in

τοῦ βαρβάρου παιδευόμενον, ἐν οἷς φησὶν ὁ Αἰγύπτιος πρὸς αὐτὸν, "Ὦ Σόλων, Σόλων, Ἕλληνες ἀεὶ παῖδές ἐστε, γέρων δὲ Ἑλλήνων οὐδὲ εἷς, οὐδέ ἐστι παρ' ὑμῖν χρόνῳ
20 πολιὸν μάθημα." Καὶ οὗτος δὲ ὁ Πλάτων τοῖς ἐν Ἰτα- d
λίᾳ Πυθαγορείοις σχολάσας, οὐ μόνῃ τῇ παρὰ τούτοις ἠρκέσθη διατριβῇ, λέγεται δὲ ἀπᾶραι εἰς Αἴγυπτον, καὶ τῇ τούτων φιλοσοφίᾳ πλεῖστον ἀναθεῖναι χρόνον. Τοῦτό τοι καὶ αὐτὸς τοῖς βαρβάροις πολλαχοῦ τῶν ἰδίων λόγων μαρτυρεῖ, εὖ μοι δοκεῖ ποιῶν, καὶ τὰ κάλλιστα ἐμπορεύεσθαι εἰς φιλοσοφίαν παρὰ τῶν βαρβάρων εὐ-
21 γνωμόνως οὐκ ἀπαρνούμενος. Ἀκοῦσαι δ' οὖν αὐτοῦ πολλαχοῦ μὲν πάρεστιν, οὐ μὴν ἀλλὰ καὶ ἐν Ἐπινομίδι, Σύρων ὁμοῦ καὶ Αἰγυπτίων ὧδέ πη μνημονεύοντος·

Τούτου δὲ αἴτιος ὁ πρῶτος ταῦτα κατιδὼν, βάρβαρος ὤν. ΠΛΑΤΩΝΟΣ
Παλαιὸς γὰρ δὴ τόπος ἔθρεψε τοὺς πρώτους ταῦτα ἐννοή-
σαντας διὰ τὸ κάλλος τῆς θερινῆς ὥρας, ἣν Αἴγυπτός τε p. 472

c 11. οὐδεὶς] οὐδὲ εἷς C.E.I. d 2. Πυθαγορίοις et om. σχολάσας E. Hoc I. 4. τῇ τούτων] τῇ om. B. qui mox ἀναθῆναι. 5. τοι] μοι E. 8. ἐμπορευθῆναι] ἐμπορεύεσθαι B.C.D.F.G. 9. εὐγνωμόνως] εὐγνώμως D. 10. πολλαχοῦ μὲν om. B. qui mox om. οὐ μὴν ἀλλὰ καί. 11. Ἐπιμενίδῃ] ἐν πιμενίδι F. Leg. Ἐπινομίδι. 12. μνημονεύοντος] μεμνημένου B. et D. altera lect. suprasc. ult. ἐννοήσαντας] ἐννοήσαντο B. Supra ἔθρεψε D.E.I. pro ἔτρεψε.

Timæo, quasi a barbaro quodam erudiatur, inducit; ubi Ægyptius inter cætera, O Solon, inquit, Solon, pueri semper Græci estis, neque senex e vobis quisquam, neque canum apud vos ullum disciplinæ Plato Tim. p. 22 c.
20 genus. Quin idem ipse Plato, non contentus ea, quæ sibi cum Pythagoreis in Italia fuerat consuetudine, in Ægyptum navigasse, ac perdiu in eorum philosophiam incubuisse dicitur. Atque hoc ipse testimonio, pluribus operum suorum locis barbaros cohonestat; quo in genere laudabilis, meo quidem judicio est, dum egregia animi æquitate, pulcherrimis sese ac præstantissimis philosophiæ opibus a
21 barbaris instructum esse confitetur. Sane vero illum audias cum alibi passim, tum etiam in Epimenide, hoc fere modo de Syris Ægyptiisque loquentem. Plato Epin. p. 986 e.

Atque hujus rei auctor, inquit, barbarus is fuit, qui princeps ista pervideral. Hos enim aluit pervetusta regio, qui propter æstivæ tempestatis amœnitatem, quæ maxima in Ægypto ac Syria est, eorum primi vim atque

ΠΛΑΤΩΝΟΣ

Συρία θ' ἱκανῶς κέκτηται. Ὅθεν καὶ πανταχόσε καὶ δεῦρο ἐξήκει, βεβασανισμένα χρόνῳ μυριετεῖ τε καὶ ἀπείρῳ.

22 Καὶ ὑποβὰς ἑξῆς ἐπιλέγει·

Λάβωμεν δὴ ὡς ὅ τι περ ἂν Ἕλληνες βαρβάρων παραλάβωσι, κάλλιον τοῦτο εἰς τέλος ἀπεργάζονται.

23 Ταῦτα ὁ Πλάτων. Καὶ Δημόκριτος δὲ ἔτι πρότερον τοὺς Βαβυλωνίων λόγους ἠθικοὺς πεποιῆσθαι λέγεται. Καί που σεμνυνόμενος περὶ ἑαυτοῦ φησὶν,

ΔΗΜΟΚΡΙΤΟΥ

Ἐγὼ δὲ τῶν κατ' ἐμαυτὸν ἀνθρώπων πλείστην γῆν ἐπε- b πλανησάμην, ἱστορέων τὰ μήκιστα, καὶ ἀέρας τε καὶ γαίας [277] πλείστας εἶδον, καὶ λογίων ἀνδρῶν πλείστων ἐπήκουσα, καὶ γραμμέων συνθέσιος μετ' ἀποδείξεως οὐδείς κώ με παρήλλαξεν, οὔτε Αἰγυπτίων οἱ καλεόμενοι Ἀρπεδονάπται, οἷς ἐπὶ πᾶσιν ἐπ' ἔτεα πέντε ἐπὶ ξένης ἐγενήθην.

p. 472. 2. ἐξηκριβασμένα χρόνῳ] ἐξήκει χρόνῳ βεβασανισμένα μυριετεῖ τε C.F.G. 4. ὅτι] οἱ E. 5. πάρα λάβωσι] παραλαβ. D. b 5. κἀμὲ] κῶμε Clem. ed. Vict. κώ μη Pott. Dedi κώ με. καλούμενοι] καλεόμενοι B.E. Mox ἀρσεπεδονάπαι B. ubi C.F.G. ἀρπεδοναῦται. D. ἀρπεδονάπαι (σε supra). Clem. Ἀρπεδονάπται. Ἀρπεδονάπται Toup. Suid. v. Ἀρπεδόνες. Jablonski Voc. Ægypt. T. I. p. 38. Tum οἷς ἐπὶ — συστῆναι om. B. 6. οἷς ἐπὶ] σὺν τοῖς δ' ἐπὶ Clem. 7. ὀγδοήκοντα] ὀγδώκ. C.G.D. in textu. Est vetustus error in numero, qui et Clementis codices invasit, librariis π non, ut debuerant, pro πέντε, sed pro ὀγδοήκοντα sumentibus. v. Diodor. infra p. 482 b. In re minime dubia πέντε reposui. Mecum sentit Clintonus F. H. T. II. an. 405, 3. p. 93.

rationem animo informare potuerunt: unde etiam illa deinceps infinito jam explorata tempore, ac maturitatem assequuta suam, cum ad gentes alias, tum ad nos etiam pervenerunt.

22 Tum paulo post ita colligit,

p. 987 d. Ergo secure concludamus, quæcunque Græci a barbaris acceperint, ea tandem ipsos facere meliora.

23 Sic Plato. Quin etiam ante Platonem, Democritum ferunt, Babyloniorum de moribus disputationes edidisse: adeoque hunc in modum ipse alicubi gloriatur.

Vid. Clement. Alex. Str. I. 15, 69. p. 357.

Plus, inquit, ego terrarum obii, quam ullus æqualium, disjunctissima quæque lustravi, cœli solique genera cognovi quamplurima, eruditos homines permultos audivi, nec in ducendis committendisque lineis, vel eorum qui apud Ægyptios Arsepedonaptæ nominantur, quisquam me demonstrationum certitudine superabat, quibus in omnibus ad annos octoginta, peregrinus hospesque versatus sum.

24 Ἐπῆλθε γὰρ καὶ οὗτος Βαβυλῶνά τε καὶ τὴν Περσίδα
καὶ Αἴγυπτον, τοῖς τε Αἰγυπτίοις καὶ τοῖς ἱερεῦσι μαθη-
25 τεύων. Τί δ' εἴ σοι καταλέγοιμι Ἡράκλειτον καὶ τοὺς
ἄλλους Ἑλλήνων, δι' ὧν ἀπελέγχεται ἡ παρ' Ἕλλησι πο- c
λιτεία τὸν μακρὸν αἰῶνα πτωχεύουσα, καὶ γυμνὴ παντὸς
26 μαθήματος ἀπολειφθεῖσα; Ἱεροῖς μὲν οὖν Θεῶν, ἀγάλ-
μασί τε καὶ ἀφιδρύμασι, μαντείαις τε καὶ χρησμοῖς, καὶ
τῷ πολλῷ τύφῳ τῶν λαοπλάνων δαιμόνων ἐκαλλωπίζετο,
σοφίας δὲ ἀληθοῦς καὶ μαθήματος βιωφελοῦς εἰς τὸ παν-
27 τελὲς ἐχήρευεν. Οὐδέ τι πρὸς ἀγαθῶν λόγων εὕρεσιν
αὐτοῖς τὰ ἄχρηστα χρηστήρια συνεβάλλετο· ἀλλ' οὐδ' d
αὐτὸς ὁ θαυμαστὸς Πύθιος εἰς φιλοσοφίαν αὐτοὺς το-
παράπαν ὠφέλει, οὐδέ τις ἄλλος θεῶν αὐτοῖς εἰς ἀναγ-
καίου τινὸς ἐπιτήδευσιν συνήργει· ἀλώμενοι δὲ ὧδε
κἀκεῖσε, καὶ τὸν βίον ἅπαντα περιτρέχοντες, ἀλλοτρίοις
πτίλοις σφᾶς αὐτοὺς ἐφαίδρυνον κατὰ τὸν μῦθον· ὥστε

b 9. Αἰγυπτίοις] Rectius Clemens Μάγοις. c 2. πτωχεύουσα] πτωχεύσασα E.I. 4. ἀφιδρύσεσι] ἀφιδρύμασι C.D.F.G. 9. ἀγαθῶν] ἀγαθοῦ C.F.G. 10. ἄχρηστα] χρηστὰ C.F.G. ἄ χρηστὰ D. d 3. θεῶν] θεὸς D. Mox εἰς om. F. 4. συνήργει] ἐνήργει C.F.G. συν ἐνήργει D.

24 Enimvero, Babylonem iste quoque, Persidem, Ægyptumque per-
25 agravit, Ægyptiisque ac sacerdotibus operam dedit. Quid si Hera-
clitum, cæterosque Græcos tibi commemorem, ex quibus manifeste
quivis intelligat, Græcorum rempublicam summa penuria diutissime
laborasse, atque omnibus disciplinis vacuam nudamque perstitisse?
26 Sacris videlicet Numinum simulacris passim erigendis, vaticinationi-
bus et oraculis, atque ambitiosa illa fallacium ac fraudulentorum
dæmonum specie gloriabatur; veræ sapientiæ, omnisque omnino
doctrinæ, unde fructus in vitam aliquis redundet, præsidiis carebat.
27 Nec vero quicquam iis ad bene prudenterque sentiendum inanes ora-
culorum voces conducebant; imo ne egregius quidem ille Pythius, ad
philosophiæ, aut alius e diis quisquam, eos ad ullius rei necessariæ
parandam copiam juvabat. Sed vario huc atque illuc errore jactati,
ac toto vitæ suæ tempore discursantes, ex alienis sibi plumis, ut est
in fabula, cultum sibi atque ornatum quærebant: adeo quidem, ut ex

αὐτοῖς ἤδη τὴν πᾶσαν φιλοσοφίαν ἐξ ἐράνου συστῆναι.
28 Ἄλλα γὰρ παρ' ἄλλων ἀποματτόμενοι μαθήματα, γεω-
μετρίαν μὲν παρ' Αἰγυπτίων ἔσχον, ἀστρολογίαν δὲ
παρὰ Χαλδαίων, καὶ αὖ πάλιν ἕτερα παρ' ἑτέρων· οὐδὲν
δὲ παρά τισιν ἄλλοις οἷόν τινες αὐτῶν τὸ παρ' Ἑβραί-
29 οις ἀγαθὸν εὕροντο. Τοῦτο δὲ ἦν ἡ τοῦ τῶν ὅλων
Θεοῦ γνῶσις, καὶ ἡ τῶν οἰκείων θεῶν κατάγνωσις, ἣν
30 μικρὸν ὅσον ὁ λόγος προϊὼν ἐπιδείξει. Τοσοῦτον δὲ p. 473
ἐπὶ τοῦ παρόντος τοὺς ἐντυγχάνοντας ἐπισημαίνεται, ὡς
οὐ μόνης ἐστέρηντο τῆς ἀληθοῦς θεολογίας οἱ παλαιοὶ
τῶν Ἑλλήνων, ἀλλὰ καὶ τῶν φιλοσοφίᾳ λυσιτελούντων
μαθημάτων, καὶ οὐδὲ μόνων τούτων, ἀλλὰ καὶ τῶν κοι-
31 νῶν καὶ πολιτικῶν ἐπιτηδευμάτων. Ἡγοῦμαι δέ μοι
τήνδε συμβαλεῖσθαι τὴν σημείωσιν εἰς ἀπόδειξιν τοῦ
προκειμένου σκοποῦ· εἰ δὴ πρόκειται τὸν ἀπολογισμὸν

d 8. συστῆναι] συστῆσαι E. ἀποματτόμενοι] ἀποχρηννύμενοι B.C. F.G. ἀποχρηννυμενοι D. Supra ἀπ' D. pro παρ' ματτόμενοι. 10. ἔσχον] εἶχες E. 13. ἑβραίων] ἑβραίοις B.C.E.F.G.I. εὕροντο] εὕραντο B.C.D.F.G. 16. μὲν ὅσον] μὲν om. B.D.F.G.

p. 473. ἐπὶ τοῦ—ἐντυγχάνοντας om. B. pro τοὺς ἐντυγχάνοντας Vigerus in marg. ἴσ. τοῖς ἐντυγχάνουσιν. 2. ἐπισημαίνεται] ἐπισημαντέον B.D. μόνης] μόνον B. qui statim ἐστέρηνται. μόνον D. 5. τούτων μόνον] μόνον τούτων B.E.I. μόνων τούτων C.D.F.G. 9. εἰ δὴ πρόκειται— προτετιμηκότες om. B. πρόκεινται F.

28 precaria stipe sua jam illis philosophia constet universa. Nam ali-
unde alia disciplinarum genera exprimentes, geometriam ab Ægyptiis,
a Chaldæis astrologiam, ab aliis alia habuerunt. Nec tamen usquam
gentium, ei bono simile quidquam repererunt, cujus apud Hebræos
29 ipsorum nonnullis facta copia est. Summi rerum omnium modera-
toris Dei cognitionem, suorumque numinum rejectionem intelligo,
quam utramque paulo post susceptæ disputationis progressus ostendet.
30 Nunc enim tantum id agimus, nostri ut lectores intelligant, Græcos
illos veteres non vera modo theologia, sed etiam doctrinarum quibus
philosophiæ studia promoveri possunt, adeoque illarum ipsarum
31 quibus reipublicæ status informatur, cognitione caruisse. Cujus ego
rei probationem, ad illud quod efficiendum mihi deinceps ac demon-
strandum proposui, lucis plurimum allaturam esse confido: siquidem
ea defensionis nostræ suscepta ratio est, uti non inconsulto ac

ὑποσχεῖν τοῦ μὴ ἀλόγως ἡμᾶς τὴν παρ' Ἑβραίοις θεο-
λογίαν, καὶ τήν, ὡς ἂν αὐτοὶ φαῖεν, βάρβαρον τῆς Ἑλ-
32 ληνικῆς προτετιμηκέναι φιλοσοφίας. Εἰ γοῦν ὀφθεῖεν b
αὐτοὶ πολὺ πρότερον τὰ πάντα παρὰ βαρβάρων ἐσκευω-
ρημένοι, μηδὲν δὲ μηδ' ὅλως παρὰ τῶν οἰκείων θεῶν εἰς
φιλοσοφίαν ὠφελημένοι, ἀλλὰ καὶ τοῖς θεοῖς αὐτῶν ἐν-
δίκως ἐπιμεμψάμενοι, καί τινες διὰ ταῦτα ἀθεότητα μᾶλ-
λον τῆς τῶν θεῶν θεραπείας προτετιμηκότες, τί χρὴ
λοιπὸν ἡμᾶς ἐπιμέμφεσθαι, οὐχὶ δὲ ἀποδέχεσθαι καὶ
ἐπαινεῖν, ὅτι τὸ κρεῖττον ἀγαπήσαντες, μᾶλλον δὲ τὸ
μόνον ἀληθὲς εὑρόντες καὶ ἀπειληφότες τοῦ ψεύδους
ἀνεχωρήσαμεν, οὔτε εἰς ἄθεον λογισμὸν τοῖς σοφοῖς c
Ἑλλήνων ὁμοίως περιτραπέντες, οὔτε πάλιν τοῖς θαυ-
μαστοῖς παραπλησίως φιλοσόφοις ἀναμὶξ τὴν πλάνην
τὴν πολύθεον τῇ γνώσει τοῦ ἐπὶ πάντων Θεοῦ φύραν-
τες, οὐδέ γε τὸ ψεῦδος ἅμα τῷ ἀληθεῖ συγχέαντες;
33 Ἀλλὰ μήπω ταῦτα, ἐκεῖνα δέ μοι πρῶτον δίελθε, δι' ὧν
Ἕλληνες τὰ πάντα σεσυληκέναι βαρβάρους, οὐ μόνα τὰ

a 11. αὐτοὶ] αὐτὴν D. b 7. τί χρὴ] καὶ τὶ B. c 3. τὴν πλάνην τὴν πολ.] τὴν πολ. πλάνην C.F.G. τὴν πλάνην om. B. 6. ἀλλὰ μήπω ταῦτα om. B. 7. πρῶτα] πρῶτον B.D.

temere, Hebræorum, hoc est, ut ipsi quidem interpretantur, barba-
rorum hominum, philosophiam Græcæ a nobis antepositam fuisse
32 ostendamus. Nam si Græcos ipsos, clam licet, omnia tamen a bar-
baris tanto ante corrogasse, nec solum abs diis suis nihil ad conse-
quendam philosophiam opis accepisse, verum etiam justis eos nomi-
nibus insimulasse constiterit, quamobrem nonnulli quoque divinitatem
omnem tollere, quam hoc deûm genus colere maluerint: quis deinceps
factum reprehendat, ac non potius probet, laudetque nostrum; qui
melioris amore capti, aut potius in parta ejus quod verum unum est
cognitione acquiescentes, nos vanitati subduxerimus, neque in divini-
tatis sublatæ scelus cum istis Græcorum sapientibus præcipites acti,
neque cum egregiis philosophis vecordem illam insanamque deorum
multitudinem, cum summi ac præpotentis Dei notitia fœdissime com-
33 miscentes, neque falsum omnino cum vero confundentes? Verum
hæc postea viderimus: nunc ea tu mihi primum expende, quibus

φιλόσοφα μαθήματα, ἀλλὰ καὶ τὰς κοινὰς καὶ βιωφελεῖς εὑρέσεις ἀπελέγχονται.

5 Πρῶτος τοιγαροῦν ὁ τὰ κοινὰ γράμματα, αὐτὰ δὴ τὰ d πρῶτα τῆς γραμματικῆς στοιχεῖα, Ἕλλησιν εἰσηγησάμενος Κάδμος, τὸ γένος Φοίνιξ ἦν, ὅθεν καὶ Φοινικήϊα τὰ γράμματά τινες τῶν παλαιῶν ἐπικεκλήκασιν. [278] 2 Εἰσὶ δὲ οἳ Σύρους γράμματα ἐπινοῆσαι πρώτους λέγουσι. Σύροι δ' ἂν εἶεν καὶ Ἑβραῖοι, τὴν γείτονα Φοινίκης, καὶ αὐτὴν τὸ μὲν παλαιὸν Φοινίκην, μετέπειτα p. 474 δὲ Ἰουδαίαν, καθ' ἡμᾶς δὲ Παλαιστίνην ὀνομαζομένην, οἰκήσαντες. Ὧν καὶ μάλιστα οὐκ ἀλλοτρία φαίνεται ἡ 3 τῶν Ἑλληνικῶν γραμμάτων φωνή. Ἕκαστον γοῦν τῶν στοιχείων παρ' αὐτοῖς κατά τινος σημαντικῆς διανοίας τὴν προσηγορίαν φέρει, ὅπερ οὐκ ἔνεστιν εὑρεῖν παρὰ τοῖς Ἕλλησι· διὸ καὶ μάλιστα μὴ ὄντα ἴδια Ἑλ-4 λήνων ὁμολογεῖται. Ἔστι δὲ τὰ πάντα παρ' Ἑβραίοις

d 6. Κάδμος] Vid. Clem. Alex. Str. I. 16. p. 362, 1. 7. φοινικήϊα] φοινίκια D. 8. τῶν παλαιῶν] παλαιοὶ B.D. pen. λέγουσι πρώτους] πρώτους λέγ. C.F.G. Clem. πρώτως λεγ. B.D.

p. 474. 2. ὀνομαζομένην om. B. οἰκοῦντες] οἰκήσαντες F.G.I. 5. γοῦν] γὰρ B. 7. ἔστιν] ἔνεστιν B.C.D.F.G. 8. καὶ μάλιστα] μάλιστα om. B. 9. ὡμολόγηται] ὁμολογεῖται C.E.F.G.I. Mox πάντα om. B.D.

Græci non solas philosophiæ disciplinas, sed ipsas etiam vitæ communis tuendæ artes barbaris hominibus furati esse arguantur.

5 Cadmum illum certe quidem, qui communes literas adeoque prima grammatices elementa Græcis informavit, genere Phœnicem fuisse constat, ut easdem literas veteres nonnulli propterea Phœnicias ap-2 pellarint. Nec desunt qui a Syris excogitatas illas fuisse velint. Syri autem illi, Hebræi etiam utique fuerint, qui finitimam Phœniciæ regionem, quæque Phœnicia quondam ipsa quoque, tum Judæa, hodie vero a nostris Palæstina dicitur, incolebant. Et vero proxime sane 3 ad Hebræorum nomina Græcarum literarum accedit appellatio. Cum enim suum cuique apud Hebræos elemento nomen singulari quadam et propria significatione attributum fuerit, quod apud Græcos locum profecto nullum habet, sequitur omnino ut minime Græcorum pro-4 pria esse fateamur. Sunt autem elementa Hebræis omnia duo ac

στοιχεῖα δύο καὶ εἴκοσιν. Ὧν τὸ μὲν πρῶτόν ἐστιν b
Ἀλφ, ὃ μεταληφθὲν εἰς τὴν Ἑλλάδα φωνὴν λέγοιτ' ἂν
μάθησις· τὸ δὲ δεύτερον Βὴθ, ὃ μεθερμηνεύεται οἴκου·
τὸ τρίτον Γίμελ, ὅ ἐστι πλήρωσις· τὸ τέταρτον Δὲλθ,
ὃ σημαίνει δέλτων· τὸ πέμπτον Ἡ, ὅ ἐστιν αὕτη. Ὁ-
μοῦ δὲ τὰ πάντα ἀπαρτίζει τοιαύτην τινὰ διάνοιαν, μά-
5 θησις οἴκου, πλήρωσις δέλτων αὕτη. Εἶτα μετὰ ταῦτά
ἐστι στοιχεῖον ἕκτον, λεγόμενον παρ' αὐτοῖς Οὐαῦ, ὅ
ἐστιν ἐν αὐτῇ· ἔπειτα Ζαΐ, ὅ ἐστι ζῇ· μεθ' ὃ Ἠθ, ὅ
6 ἐστιν, ὁ ζῶν· ἵν' ᾖ τὸ ὅλον, ἐν αὐτῇ ζῇ ὁ ζῶν. Μετὰ
ταῦτα στοιχεῖον ἔννατον, τὸ Τὴθ, ὅ ἐστι, καλή· ἔπειτα c
Ἰὼθ, ὃ ἑρμηνεύεται ἀρχή· ὁμοῦ τὰ δύο, καλὴ ἀρχή.
Ἐπὶ τούτοις Χὰφ, ὅ ἐστιν, ὅμως· ἔπειτα Λὰβδ, ὅ ἐστι
7 μάθε· τὸ ὅλον, ὅμως μάθε. Μετὰ ταῦτα τρισκαιδέκα-
τον στοιχεῖόν ἐστι τὸ Μὴμ, ὅ ἐστιν ἐξ αὐτῶν· ἔπειτα
Νοῦν, ὅ ἐστιν αἰωνία. Εἶτα Σὰμχ, ὃ ἑρμηνεύεται βοή-
θεια· ἵν' ᾖ τὸ λεγόμενον, ἐξ αὐτῶν αἰωνία βοήθεια.

b 2. τὸ δὲ] δὲ om. B. in quo mox γημέλ, et sic infra cum D. 3. οἴκου] οἴκτου D. 5. ᾖ] εἰ B.D. 6. τινὰ om. B. ibid. mox om. εἶτα, et sic D. 8. ἐστι om. B. qui mox om. λεγόμενον. 9. οὐαῦ] οὐᾶ I. ζαΐ] ζαὴ C.F.G. c. ἔννατον] ἔνατον B. 3. χὰφ] χάβ B.D. 5. ἐστι om. B.

Hebræorum literæ viginti duæ, earumque significationes.

viginti. Primum dicitur Alph, disciplina Græce reddi possit. Secundum Beth, quasi domus. Tertium Gimel, hoc est plenitudo. Quartum Delth, quasi librorum dicas. Quintum He, id est ipsa. Quæ omnia si conjunxeris, sententiam ejusmodi aliquam efficias,
5 Disciplina domus, plenitudo librorum ipsa. Jam sextum ab iis elementum Vau nuncupatur, hoc est, in ipsa. Septimum Zaï, hoc est, vivit. Octavum Heth, quod significat vivens. Ex quibus hic sensus
6 colligitur, In ipsa vivit vivens. Nonum, Teth, id est bonum. Decimum Joth, quod redditur principium: quæ duo bonum principium efficiunt. Undecimum Chaph, hoc est, verumtamen. Duodecimum Labd, hoc est, disce: quod utrumque simul est, Verumtamen disce.
7 Decimum tertium, Mem, quod significat, ex ipsis. Decimum quartum, Nun, id est, æternum. Decimum quintum Samch, quod exponitur auxilium: ut sensus hic existat, Ex ipsis æternum auxilium.

8 Ἐπὶ τούτοις τὸ Ἀΐν, ὃ μεταληφθὲν σημαίνει πηγὴν, ἢ
ὀφθαλμόν· ἔπειτα τὸ Φῆ, στόμα. Εἶθ' ἑξῆς, τὸ Σάδη,
δικαιοσύνην· ὧν ἡ διάνοιά ἐστι, πηγὴ, ἢ καὶ ὀφθαλ- d
9 μὸς, καὶ στόμα δικαιοσύνης. Μετὰ ταῦτα στοιχεῖόν
ἐστι Κὼφ, ὃ ἑρμηνεύεται κλῆσις· ἔπειτα Ῥὴς, ὅ ἐστι
κεφαλή. Καὶ μετὰ ταῦτα, Σὲν, ὅπερ ἐστὶν ὀδόντες·
ἐπὶ πᾶσι τὸ κβʹ στοιχεῖον καλεῖται παρ' αὐτοῖς Θαῦ, ὃ
δηλοῖ σημεῖα. Ἔχοι δ' ἂν ἡ διάνοια, κλῆσις κεφαλῆς
10 καὶ ὀδόντων σημεῖα. Καὶ παρὰ μὲν Ἑβραίοις τοιάδε
τίς ἐστιν ἡ τῶν στοιχείων μετάφρασις καὶ ἑρμηνεία,
λόγου διάνοιαν ἀπαρτίζουσα τῇ τῶν στοιχείων μαθήσει
τε καὶ ἐπαγγελίᾳ προσήκουσαν. Τὸ ὅμοιον δ' οὐκ ἂν
εὕροις παρ' Ἕλλησιν, ὅθεν, ὡς ἔφην, ὁμολογεῖν ἀνάγκη
μὴ ὄντα οἰκεῖα Ἑλλήνων, παραπεποιημένα δὲ ἄντικρυς
11 ἀπὸ τῆς βαρβάρου φωνῆς. Καὶ ἐξ αὐτῆς δὲ ἐλέγχεται

c 9. ὃ om. C.F.I. 10. τὸ φῆ] τὸ φ̄ ὃ στόμα· εἶτα τὸ σάδη B. ὃ στόμα D. 11. σάδη ὃ] σαδ̄ C. ὃ om. F.G.I. δικαιοσύνην] δικαιοσύνη D. d 6. παρ' αὐτοῖς om. B. σημεῖα] H. l. addit B. τὰ μὲν οὖν τῶν ἑβραίων στοιχεῖα καὶ ἡ αὐτῶν ἑρμηνεία τοιαῦτα· τὸ ὁμοῖον οὐκ ἄν... In D sic: τὰ μὲν τῶν Ἑβραίων στοιχεῖα καὶ ἡ αὐτῶν κλῆσις (in marg. γρ. ἑρμηνεία) τοιαύτη· τὸ ὅμοιον. 7. κλῆσις] κλῆσιν F.G.I. Supra ἔχει οι I. 12. παρ' Ἕλλησιν] καὶ παρ' Ἑλλ. E.F.I. 13. ἀνάγκη om. B. 15. βαρβάρου] βαρβάρων B. τῶν βαρβάρων D. 16. δὲ om. E.F.G.I.

8 Decimum sextum, Aïn, quod fontem vel oculum significat. Decimum
septimum, Phe, os. Decimum octavum Sade, hoc est, justitia: unde
9 hanc sententiam elicias, Fons, vel oculus, et os justitiæ. Decimum
nonum Coph, id est, appellatio. Vicesimum Res, quod est, caput.
Vicesimum primum Sen, hoc est, dentes. Vicesimum secundum,
idemque postremum, vocatur ab illis Thau, quod signa interpretari
10 queas: hoc sensu, Appellatio capitis, dentiumque signa. Hujusmodi
ergo literarum apud Hebræos appellatio significationem habet, ex
qua quidem integræ orationis existit ea sententia, quæ literarum
istarum cognitioni, ac promissioni cuidam belle admodum apteque
conveniat. Cui simile apud Græcos nihil usquam reperias, ut eas,
quod paulo ante dicebam, fateri necesse sit Græcorum proprias non
esse, sed palam ex barbara lingua levi quadam vocis mutatione tra-
11 ductas. Id quod ex Græca singulorum elementorum appellatione

τῆς καθ' ἕκαστον στοιχεῖον ἐπωνυμίας. Τί γὰρ τοῦ p. 475
Ἄλφ τὸ Ἄλφα διενήνοχεν; ἢ τοῦ Βὴθ, τὸ Βῆτα; Ἢ
τοῦ Γάμμα, τὸ Γίμελ; ἢ τοῦ Δὲλθ, τὸ Δέλτα; ἢ τοῦ Ἡ,
τὸ Ε; ἢ τοῦ Ζαῒ, τὸ Ζῆτα; ἢ τοῦ Τὴθ, τὸ Θῆτα; καὶ
12 ὅσα τούτοις παραπλήσια. Ὥστε ἀναμφίλεκτον εἶναι τὸ
μὴ Ἑλλήνων οἰκείας εἶναι τὰς τοιάσδε φωνάς· Ἑβραίων
ἄρα, παρ' οἷς καὶ σημαῖνόν τι ἕκαστον αὐτῶν ἀποδείκνυ-
ται. Παρὰ δὲ τούτοις πρώτοις ἀρξάμενα, προῆλθεν εἴς
τε ἄλλους, καὶ δὴ καὶ εἰς Ἕλληνας. Ταῦτα μὲν οὖν
μοι περὶ τῶν πρώτων στοιχείων εἰρήσθω. Τῆς δ' αὐ-
τῆς ἡμῖν ὑποθέσεως ἐφαψάμενος καὶ ὁ Κλήμης, ἐπάκου- b
σον ἅ φησιν·

6 Ἰατρικὴν δὲ Ἆπιν Αἰγύπτιον, μετὰ δὲ ταῦτα Ἀσκλη- ΚΛΗΜΕΝΤΟΣ
πιὸν αὐξῆσαι τὴν τέχνην ἱστοροῦσιν. Ἄτλας δὲ ὁ Λίβυς
2 πρῶτος ναῦν ἐναυπηγήσατο, καὶ τὴν θάλασσαν ἔπλευσε. Καὶ
ἀστρολογίαν δὲ πρῶτοι εἰς ἀνθρώπους ἐξήνεγκαν Αἰγύπτιοι, c

p. 475. 3. τὸ δέλτα om. B. et εἰ pro ἢ, (et sic D) deinde om. ἢ τοῦ τὴθ τὸ θῆτα. 5. παραπλήσια] παρόμοια B. 6. εἶναι τὸ μὴ] ἐστι μὴ Ἑλλήνων εἶναι ταῦτα. Ἑβρ. B. et ni fallor D. 7. τοιαύτας] τοιάσδε C.F.G.I. 9. παρὰ δὲ etc.] ἀφ' ὧν εἰς ἄλλους καὶ εἰς Ἕλληνας ταῦτα μετῆλθε. ἃ δέ φησι καὶ ὁ Κλήμης περὶ τῶν αὐτῶν ῥητέον B.D. πρώτοις om. C. πρῶτος F. b 4. Ἰατρικὴν] Hæc in Clemente leguntur statim post πρώτους λέγουσι, quæ posita sunt supra p. 473 d. Αἰγύπτιον] Αἰγύπτιοι D.F. In seqq. lectiones codd. B. et D. valde conspirant cum excerptis e Cod. Pal. apud Sylburgium ad Clem. Alex. p. 364. n. 2. ed. Pott. 5. μετὰ δὲ ταῦτα] εἶτα μετὰ ταῦτα B.D. 6. ἱστοροῦσιν] φασὶν B. 7. ναῦν] ναῦ B. 8. καὶ ἀστρ.] καὶ om. F.

quivis intelligat. Quid enim Alph ab Alpha magnopere differt? quid autem vel Beta a Beth, vel a Gamma Gimel, aut Delta a Delth, aut E psylon ab He, aut a Zaï Zeta, aut Theta a Theth, cæteraque dein-
12 ceps? Maneat ergo, voces illas non Græcorum, sed Hebræorum esse, apud quos sua cuique significatio tribuitur. Ibi vero natæ cum essent, cum ad alios deinde, tum ad ipsos quoque Græcos pervenere. Atque hæc de primis literarum elementis modo satis. Jam vero Clementem audi, in eadem mecum disputatione versantem: Clem. Al. Strom. I. 16. p. 361.

6 Medicinam autem, inquit ille, primum ab Api quodam Ægyptio inventam, deinde ab Æsculapio auctam esse ferunt. Atlas ille Libycus et navim
2 ædificavit primus, et primus mare navigavit. Ægyptii cum Chaldæis astrologiam in hominum genus principes invexerunt. Nec desunt, qui Quæ a quibusque gentibus profectæ ad Græcos artes fuerint.

ΚΛΗΜΕΝΤΟΣ

ὁμοίως δὲ καὶ Χαλδαῖοι. Εἰσὶ δὲ οἳ Κᾶρας τὴν δι' ἀστέρων πρόγνωσιν ἐπινενοηκέναι λέγουσι. Πτήσεις δὲ ὀρνίθων παρ-
3 εφύλαξαν πρῶτοι Φρύγες. Καὶ θυτικὴν ἠκρίβωσαν Τοῦ-
σκοι, Ἰταλίας γείτονες. Ἴσαυροι δὲ καὶ Ἄραβες ἐξεπόνη-
[279] σαν τὴν οἰωνιστικήν, ὥσπερ ἀμέλει Τελμισσεῖς τὴν δι' ὀνεί-
4 ρων μαντικήν. Τυρρηναῖοι δὲ σάλπιγγα ἐπενόησαν, καὶ Φρύγες αὐλόν· Φρύγες γὰρ ἤστην Ὄλυμπός τε καὶ Μαρσύας. Λύχνους τε αὖ καίειν πρῶτοι κατέδειξαν Αἰγύπτιοι, καὶ τὸν ἐνιαυτὸν εἰς ιβ' μῆνας διεῖλον, καὶ ἐν ἱεροῖς γυναιξὶ d
μίσγεσθαι ἐκώλυσαν, μηδὲ εἰς ἱερὰ εἰσιέναι ἀπὸ γυναικῶν
5 ἀλούτους ἐνομοθέτησαν. Γεωμετρίας τε αὖ εὑρεταὶ οἱ αὐτοὶ γεγόνασι. Τέλμις τε καὶ Δαμναμενεὺς οἱ τῶν Ἰδαίων Δάκτυλοι, πρῶτοι ἐν Κύπρῳ σίδηρον εὗρον. Δέλλας δὲ ἄλλος Ἰδαῖος εὗρε χαλκοῦ κρᾶσιν, ὡς δὲ Ἡσίοδος, Σκύθης.
6 Ναὶ μὴν Θρᾷκες πρῶτοι τὴν καλουμένην ἅρπην εὗρον· ἔστι δὲ μάχαιρα καμπύλη· καὶ πρῶτοι πέλταις ἐπὶ τῶν ἵππων ἐχρήσαντο. Ὁμοίως δὲ καὶ Ἰλλυριοὶ τὴν καλουμένην πέλ-

c 2. εἰσὶ—λέγουσι om. B. qui pergit, καὶ πτήσεις ὀρν. 6. οἰωνιστικὴν] οἰωστικὴν C. Tum ὥσπερ—μαντικὴν om. B. 7. τελμισσεῖς] τελμισεῖς C.F.G. Tum τυρην. B. 9. φρύγες γὰρ ἤστην om. B. d 2. μίγνυσθαι] μίσγεσθαι C.F.G.I. Clem. 4. γεωμετρίας—γεγόνασι om. B. Tum τέλμης B.C.F.G. 5. Τέλμις] Leg. Κέλμις et mox Ἰδαίων et Ἰδαῖος cum Clem. 6. Ἰουδαίων] Ἰδαίων F.G. 7. δέλας] δέλλας B. Mox Ἰδαῖος F.G. non Ἰουδαῖος. 9. ναὶ] καὶ B. 10. ἅρπην] ἅρπιν F. εὗρον] ἐξεῦρον B.D.G. Clem.

artem ex sideribus præsentiendi a Caribus excogitatam esse velint. Avium
3 autem volatus primi Phryges observarunt. Aruspicinam Thusci Italiæ finitimi apprime calluerunt. Isauri atque Arabes augurandi scientiam,
4 Telmissenses divinationem ex somniis haustam coluere. Tyrrheni tubam, Phryges tibiam invenere: Olympus enim et Marsyas ex Phrygia oriundi erant. Lucernas item accendere primi omnium Ægyptii docuerunt, primi et annum duodecim in menses tribuerunt, et cum mulieribus in templis rem habere vetuerunt, et nemini, qui non sese ab uxoris congressu lustras-
5 set, patere templa voluerunt. Ab iisdem quoque profecta geometria est. Telmis autem et Damnameneus Idæorum Dactyli ferrum in Cypro: Delas alius quidam Idæus, vel ut Hesiodus mavult, Scytha ferri temperandi
6 artem primi repererunt. Sane quidem Thraces et primi harpen, incurvus is gladius est, invenerunt, et primi peltas in equis gestare cœperunt: quarum etiam usum per sese Illyrii habuerunt. Tuscis fingendi artem

ΚΛΗΜΕΝΤΟΣ

τὴν ἐξεῦρον. Ἔτι φασὶ Τουσκανοὺς τὴν πλαστικὴν ἐπινοῆσαι·
Ἴτανόν τε, Σαυνίτης οὗτος ἦν, πρῶτον θυρεὸν κατασκευάσαι.
7 Κάδμος γὰρ ὁ Φοίνιξ λιθοτομίαν τε ἐξεῦρε, καὶ μέταλλα p.476
χρυσοῦ τὰ περὶ τὸ Πάγγαιον ὄρος ἐπενόησεν. Ἤδη δὲ καὶ
ἄλλο ἔθνος Καππαδόκαι, πρῶτοι εὗρον τὴν νάβλαν καλουμέ-
8 νην, ὃν τρόπον καὶ τὸ δίχορδον Ἀσσύριοι. Καρχηδόνιοι
γὰρ πρῶτοι τετρήρη κατεσκεύασαν· ἐναυπήγησε δ' αὐτὴν
Βόσπορος αὐτόχθων. Μήδειά τε, ἡ Αἰήτου, ἡ Κολχὶς,
9 πρώτη τριχῶν βαφὴν ἐπενόησε. Ἀλλὰ καὶ Νώροπες, (ἔθνος
δ' ἐστὶ Παιονικὸν, νῦν δὲ Νωρικὸν καλοῦνται,) κατειργάσαντο b
χαλκὸν, καὶ σίδηρον ἐκάθηραν πρῶτοι. Ἄμυκός τε ὁ Βε-
10 βρύκων βασιλεὺς ἱμάντας πυκτικοὺς εὗρε. Περί τε μουσικὴν,
Ὄλυμπος ὁ Μυσὸς τὴν Λύδιον ἁρμονίαν ἐφιλοτέχνησεν· οἵ
τε Τρωγλοδύται καλούμενοι σαμβύκην εὗρον, ὄργανον μουσι-
11 κόν. Φασὶ δὲ καὶ τὴν πλαγίαν σύριγγα Σάτυρον εὑρεῖν τὸν
Φρύγα· τρίχορδον δὲ ὁμοίως, καὶ τὴν διάτονον ἁρμονίαν,
Ἅγνην τὸν καὶ αὐτὸν Φρύγα· κρούματα δὲ, Ὄλυμπον ὁμοίως

pen. τοὺς κανοὺς] Recte ed. Clem. Τουσκανούς. τὴν πλαστ.] τὴν om. C.F.G. ult. ἴτανον δὲ σανίτης F. σαυνίτης οὗτος ἦν et mox θυρεὸν om. B. σαονίτης D. γὰρ ὁ] δ' ὁ B.D.
p. 476. λιθοτομίαν] λ. τε B.C.D.F.G.I. 2. ἐπενόησεν om. B.D. παρὰ D. pro περί. 5. γὰρ] δὲ B.D. 7. δ' αὐτὴν] δὲ ταύτην B. 8. ἐπενόησε βαφὴν] βαφ. ἐπ. B.C.F.G. 9. δ' om. E.I. 10. νωρικοὶ] νωρικὸν B.C.E.F.G.I. et sic Clementis ed. Vict. et ni fallor mss. καλοῦνται om. B. b 2. Ἄμυκός τε—χώρας om. B. 4. ἰδίαν D. ni fallor pro Λύδιον. Tum ἁρμονίος F. 7. πλαγειὰν] πλατειὰν C. πλαγίαν D. Clem. πλαγεῖαν I. 8. δὲ] τε F.G. 9. ἄγνην τὸν] ἄγνιντον C.F. ἄγνιν τὸν G. ὕαγνυν Scaliger. ἄγνην—φρύγα om. I. 10. κρούματα] κροάματα F.

7 vulgo acceptam ferunt, Itano, qui Samnites fuit, scutum. Cadmus Phœnicius lapidicinam reperit, aurique metalla sub Pangæum montem deprehendit. Cappadoces, aliud quoddam hominum genus, uti quod Nablium
8 vocant, ita quod dichordum Assyrii principes invenere. Quadriremem Carthaginienses moliti primi sunt, quam Bosporus indigena ædificavit.
9 Medea illa Colchis, Æetæ filia, inficiendæ comæ artem excogitavit. Noropes (gens est Pæoniæ, Noricos hodie appellamus,) conflandi æris, ferrique purgandi rationem primi tenuerunt. Amycus rex Bebryciorum cæstus
10 pugilum primus invenit. In musica Lydium concentum Olympus Mysus sedulo ac solerter excoluit: Troglodytæ, quos vocant, sambucæ, quod et
11 ipsum instrumenti musici genus est, auctores fuere. At obliquam fistulam Satyri, trichordum, quamque diatonum harmoniam nuncupant, Agnis; pulsandarum fidium artem Olympi; mixophrygium et mixolydium genus

ΚΛΗΜΕΝΤΟΣ

τὸν Φρύγα· καθάπερ Φρύγιον ἁρμονίαν καὶ τὴν μιξοφρύγιον
καὶ μιξολύδιον, Μαρσύαν, τῆς αὐτῆς ὄντα τοῖς προειρημέ- c
νοις χώρας· καὶ τὴν Δωρίον Θάμυριν ἐπινοῆσαι τὸν Θρᾷκα.
12 Πέρσας τε πρώτους ἀκηκόαμεν ἀπήνην καὶ κλίνην καὶ ὑποπό-
διον ἐργάσασθαι, τούς τε Σιδωνίους τρίκροτον ναῦν κατα-
σκευάσαι. Σικελοί τε οἱ πρὸς τῇ Ἰταλίᾳ πρῶτοι φόρμιγγα
εὗρον, οὐ πολὺ τῆς κιθάρας λειπομένην, καὶ κρόταλα ἐπενόη-
13 σαν. Ἐπί τε Σεμιράμεως βασιλίδος Ἀσσυρίων τὰ βύσ-
σινα ἱμάτια εὑρῆσθαι ἱστοροῦσι. Καὶ πρώτην ἐπιστολὰς
συντάξαι Ἄτοσσαν, τὴν Περσῶν βασιλεύσασαν, φησὶν Ἑλ- d
14 λάνικος. Σκάμμων μὲν οὖν ὁ Μιτυληναῖος, καὶ Θεόφραστος
ὁ Ἐφέσιος, Κύδιππός τε ὁ Μαντινεὺς, ἔτι τε Ἀντιφάνης, καὶ Ἀριστόδημος, καὶ Ἀριστοτέλης, πρὸς τούτοις δὲ Φιλοστέφανος, ἀλλὰ καὶ Στράτων ὁ Περιπατητικὸς, ἐν τοῖς Περὶ Εὑρημάτων ταῦτα ἱστόρησαν. Παρεθέμην δὲ αὐτῶν ὀλίγα εἰς σύστασιν τῆς παρὰ βαρβάροις εὑρετικῆς καὶ βιωφελοῦς φύσεως, παρ' ὧν Ἕλληνες τὰ ἐπιτηδεύματα ὠφέληνται.

b 11. φρύγα] φρύγα, καθάπερ Φρύγιον ἁρμονίαν καὶ μιξοφρ. C.D.F.G. Clem. καθ. Φ. ἁ. vulg. om. καὶ τὴν] τὴν om. I. c 2. καὶ τὴν] καὶ τὸν C.G. ἀλλὰ δὴ καὶ τὸν B. 3. τε πρ.] τοὺς πρ. G. 5. τρίκωπον] τρίκροτον B. Clem. 9. βασιλίδος] βασιλέως D.E.I. Clem. 10. ἱστοροῦσι om. B. εὕρηται D. pro εὑρῆσθαι. d. βασιλεύσασαν] βασιλίδα B. 2. σκάμμων] σκάμων C.F.G. 4. ἀντιφάνης] ἀριστοφάνης B.D. Ἀριστόδ.] ὁ Ἀριστ. F. 5. Ἀριστοτ. π. τ. δὲ om. B. 6. ἀλλὰ om. B. 7. εὑρημάτων] εὑρεμάτων B.C.I. 9. καὶ βιωφεφελοῦς] βιωφελείας B.D. qui om. rell. usque ad ὠφέληνται. βιωφελοῦν F.

Marsyæ inventum esse ferunt, quos omnes in Phrygia natos esse constat.
12 At Thamyri cuidam Thraci Doricum tribuitur. Jam a Persis currum,
lectum, atque suppedaneum, a Sidoniis vero triremim profectam esse acce-
pimus. Siculi autem Italiæ finitimi, cum phormingem, citharæ non absi-
13 milem, tum etiam crepitacula primi reperere. Vestem byssinam Semi-
ramide Assyriis imperante inventam fuisse memorant. Atossam Persarum
olim reginam, epistolarum conficiendarum auctorem fuisse tradit Hella-
14 nicus. Atque hæc omnia Scammon Mitylenæus, Theophrastus Ephesinus, Cydippus Mantinensis, nec non Antiphanes, Aristodemus, et Aristoteles, adeoque Philostephanus, et Strato Peripateticus, in suis De rerum Inventione libris memoriæ prodiderunt. Ex quibus pauca ista proferre placuit, quæ vim illam inventricem, vitæque cultricem humanæ, barbarorum ingeniis insidentem, a quibus ipsi quoque Græci artes ac disciplinas hauserunt, certius comprobarent.

Ταῦτα ῥήμασι αὐτοῖς ὁ Κλήμης ἐν Στρωματεῦσι. Τοῖς δ' εἰρημένοις δοκῶ μοι εὖ ἔχειν ἐπισυνάψαι καὶ τὰ ἀπὸ τῆς Ἰωσήπου τοῦ Ἑβραίου γραφῆς, ἣν Περὶ τῆς Ἰουδαίων Ἀρχαιότητος ἐν δυσὶν ἐπραγματεύσατο βιβλίοις, περὶ τοῦ νέους γεγονέναι τοὺς Ἕλληνας, καὶ παρὰ βαρβάρων ὠφελῆσθαι, διάφωνά τε ἑαυτοῖς γεγραφέναι. Συμβαλεῖται γοῦν καὶ ταῦτα εἰς τὴν τῶν εἰρη- p. 477
μένων ἀκριβῆ καὶ βεβαίαν πίστωσιν. Ἄκουε τοίνυν οἷα καὶ οὗτος γράφει πρὸς λέξιν·

ΙΩΣΗΠΟΥ

7 Πρῶτον οὖν ἐπέρχεταί μοι πάνυ θαυμάζειν τοὺς οἰομένους 7
δεῖν περὶ τῶν παλαιοτάτων ἔργων μόνοις προσέχειν τοῖς
[280] Ἕλλησι, καὶ παρὰ τούτων πυνθάνεσθαι τὴν ἀλήθειαν, ἡμῖν b
2 δὲ καὶ τοῖς ἄλλοις ἀνθρώποις ἀπιστεῖν. Πᾶν γὰρ ἐγὼ τοὐναντίον ὁρῶ συμβεβηκὸς, εἴ γε δεῖ μὴ ταῖς ματαίαις δόξαις ἐπακολουθεῖν, ἀλλὰ ἐξ αὐτῶν τὸ δίκαιον τῶν πραγμάτων λαμβάνειν. Τὰ μὲν γὰρ παρὰ τοῖς Ἕλλησιν ἅπαντα νέα, καὶ χθὲς καὶ πρώην, ὡς ἂν εἴποι τις, εὕροι γεγονότα· λέγω δὲ τὰς κτίσεις

d 12. ὁ κλήμης] ὁ om. B. qui pro τοῖς δ' εἰρημένοις—πρὸς λέξιν habet προσθετέον δὲ καὶ τὰ ἐξ Ἰωσήπου. 14. τοῦ om. F.
p. 477. 7. πάνυ] πάντως B. 9. παλαιοτάτων] παλαιτάτων B. ἔργων] ἔργοις (ων) D. b 3. συμβεβηκὸς] ὡς συμβεβηκὼς E. ὡς addit I. 4. εἴ γε δεῖ] εἰ δεῖ B. ματαίαις] ματαίοις B. δόξαις om. F. 5. ἐπακολ.] ἀκολ. B.D. 8. ὡς ἂν εἴποι τις εὑρήσεις] εὕρη τις B.D. εὕροι C.E. F.G.I. Joseph. ed. Bas. pro εὑρήσεις.

Hæc totidem verbis Clemens primo Stromaton. Quibus tanti futurum existimo, nonnulla ex eo Josephi Hebræi opere insuper adjungere, quod de Judæorum Antiquitate libris duobus elaboravit, ubi et juniores fuisse Græcos, et a barbaris accepisse quamplurima, nec non inter sese pugnantia scripsisse demonstrat. Illa quippe ad pleniorem quoque ac firmiorem eorum quæ adhuc a nobis allata sunt, fidem maxime pertinebunt. Audi ergo, quemadmodum ipse præterea loquatur ad verbum:

Joseph. c. Apion. I. c 2.

7 Primum, inquit ille, vehementer eos mirari subit, qui de rebus antiquissimis, non aliis fidem quam Græcis hominibus habendam esse, non nisi ab illis verum expectandum, proinde neque nobis, neque aliis quibuscunque
2 credendum arbitrantur. Equidem hoc in genere secus omnino statuendum intelligo, si modo verum e rebus ipsis haurire potius, quam vanis et insulsis opinionibus inhærere malimus. Enimvero nova certe apud Græcos omnia, et ante unum, ut ita loquar, alterumve diem extitisse reperias

ΙΩΣΗΠΟΥ

τῶν πόλεων, καὶ τὰ περὶ τὰς ἐπινοίας τῶν τεχνῶν, καὶ τὰ περὶ τὰς τῶν νόμων ἀναγραφάς· πάντων δὲ νεωτάτη σχεδόν ἐστι παρ' αὐτοῖς ἡ περὶ τοῦ συγγράφειν τὰς ἱστορίας ἐπιμέλεια. c 3 Τὰ μέντοι παρ' Αἰγυπτίοις τε καὶ Χαλδαίοις καὶ Φοίνιξιν — ἐῶ γὰρ νῦν ἡμᾶς ἐκείνοις συγκαταλέγειν—αὐτοὶ δήπουθεν ὁμολογοῦσιν ἀρχαιοτάτην καὶ μονιμωτάτην ἔχειν τῆς μνήμης 4 τὴν παράδοσιν. Καὶ γὰρ τόπους ἅπαντες οἰκοῦσιν ἥκιστα ταῖς ἐκ τοῦ περιέχοντος φθοραῖς ὑποκειμένους, καὶ πολλὴν ἐποιήσαντο πρόνοιαν τοῦ μηδὲν ἄμνηστον τῶν παρ' αὐτοῖς πραττομένων παραλιπεῖν, ἀλλ' ἐν δημοσίαις ἀναγραφαῖς ὑπὸ 5 τῶν σοφωτάτων ἀεὶ καθιεροῦσθαι. Τὸν δὲ περὶ τὴν Ἑλλάδα τόπον μυρίαι μὲν φθοραὶ κατέσχον, ἐξαλείφουσαι τὴν d μνήμην τῶν γεγονότων· ἀεὶ δὲ καινοὺς καθιστάμενοι βίους, 6 τοῦ παντὸς ἐνόμιζον ἄρχειν ἕκαστος τὸν ἀφ' ἑαυτῶν. Ὀψὲ δὲ καὶ μόλις ἔγνωσαν φύσιν γραμμάτων. Οἱ γοῦν ἀρχαιοτάτην αὐτῶν τὴν χρῆσιν εἶναι θέλοντες, παρὰ Φοινίκων

b 9. καὶ τὰς] καὶ τὰ περὶ τὰς C.F.G.I. καὶ περὶ τὰς E. 10. καὶ τὰς] καὶ τὰ περὶ τὰς C.E.F.G.I. 11. νεωτάτη σχεδὸν] σχεδὸν καὶ νεῶττ' ἐστιν ἡ περὶ B. αὐτοῖς] οἷς C.D.F.G.I. c. συγγράφειν] γράφειν B. τὰ μέντοι] οἱ μέντοι Αἰγύπτιοι καὶ Χαλδαῖοι καὶ Φοίνικες B.D. 3. νῦν ἡμᾶς ἐκείνοις] ἐκείνοις νῦν ἡμᾶς B. 5. τὴν μονιμ. E. 6. ἅπαντας] ἅπαντες F. 8. καὶ ἔσπευσαν τοῦ μηδὲν B. pro πολλὴν ἐποιήσαντο πρόνοιαν τ. μ. ἐσπεύσαντο D. ἐποιήσαντο] ἐποιήσατο F. 10. παραλιπεῖν] παραλείπειν C.F.G.I. δημοσίαις] δημοσίοις F.G. 11. καθιεροῦσθαι] καθιεροῦσι B. 12. περὶ τὴν Ἑλλάδα] τῆς Ἑλλάδος B.D. d. κατέσχον φθοραὶ] φθ. κατ. C.F.G.I. 4. τὸν ὑφ' ἑαυτοῦ] τῶν ὑφ' ἑαυτὸν B. τῶν ἀφ' ἑαυτῶν C.F.G. ἑαυτὸν D. τὸν ἀφ' ἑαυτῶν I. Joseph. δέ που] που om. B.C.E.F.G.I. 5. γὰρ] γοῦν C.F.G.I.

urbium molitionem, excogitationem artium, legum perscriptionem. 3 Omnium vero novissimo ad scribendam historiam sese contulerunt. At vero Ægyptiis, Chaldæis, Phœnicibus (ne cum iis nostrates hoc loco numerem) vetustissimam atque constantissimam rerum suarum manere memo- 4 riam Græci fatentur ipsi. Etenim cum regionem incolunt omnium minime infesto cœlo laborantem, tum diligentiam in eo singularem adhibuerunt, uti ne quid e rebus suis oblivione consepultum jaceret, sed potius omnia 5 publicas in tabulas virorum sapientissimorum manibus referrentur. Contra vero tractum illum Græciæ universum, infinitorum morborum subinde depasta lues, rerum gestarum memoriam funditus abolevit, adeoque novo semper instituto vitæ curriculo, suum quique sibi universæ principium et 6 caput esse facile persuaserunt. Iidem sero admodum, vixque tandem literarum naturam didicere. Nam qui vetustissimum illarum usum esse volunt, eas illi sese a Phœnicibus atque a Cadmo accepisse gloriantur.

ΙΩΣΗΠΟΥ

7 καὶ Κάδμου σεμνύνονται μαθεῖν. Οὐ μὴν οὐδ' ἀπ' ἐκείνου
τοῦ χρόνου δύναιτό τις ἂν δεῖξαι σωζομένην ἀναγραφὴν,
οὔτ' ἐν ἱεροῖς οὔτ' ἐν δημοσίοις ἀναθήμασιν· ὅπου γε καὶ
περὶ τῶν ἐπὶ Τροίαν τοσούτοις ἔτεσι στρατευσάντων ὕστερον
πολλὴ γέγονεν ἀπορία καὶ ζήτησις, εἰ γράμμασιν ἐχρῶντο·
καὶ τἀληθὲς ἐπικρατεῖ μᾶλλον περὶ τοῦ τὴν νῦν οὖσαν τῶν p. 478
8 γραμμάτων χρῆσιν ἐκείνους ἀγνοεῖν. Ὅλως δὲ παρὰ τοῖς
Ἕλλησιν οὐδὲν ὁμολογούμενον εὑρίσκεται γράμμα τῆς Ὁ-
μήρου ποιήσεως πρεσβύτερον· οὗτος δὲ καὶ τῶν Τρωϊκῶν
ὕστερος φαίνεται γενόμενος. Καί φασιν οὐδὲ τοῦτον ἐν γράμ-
μασι τὴν αὐτοῦ ποίησιν καταλιπεῖν, ἀλλὰ διαμνημονευομένην
ἐκ τῶν γραμμάτων ὕστερον συντεθῆναι, καὶ διὰ τοῦτο πολλὰς
9 ἐν αὐτῇ σχεῖν τὰς διαφωνίας. Οἱ μέντοι τὰς ἱστορίας ἐπι-
χειρήσαντες συγγράφειν παρ' αὐτοῖς, λέγω δὲ τοὺς περὶ
Κάδμον τε τὸν Μιλήσιον καὶ τὸν Ἀργεῖον Ἀκουσίλαον b
καὶ μετὰ τοῦτον εἴ τινες ἄλλοι λέγονται γενέσθαι, βραχὺ τῆς
Περσῶν ἐπὶ τὴν Ἑλλάδα στρατείας τῷ χρόνῳ προὔλαβον.

d 8. οὐ μὴν—καὶ διὰ τοῦτο om. B. ἀπ' ἐκ.] ἐπ' ἐκ. Jos. δείξῃ τις D. 9. τὴν σωζ.] τὴν om. C.F.G.I. 10. οὔτ' ἐν] οὔτ' ἐπὶ C.D.F.G.I. 11. γε] γε γαρ D. ὕστερον h. l. om. C.E.F.G.I. sed add. post στρατευσάντων, qui mox ζήτ. καὶ ἀπορ. γεγ. ζ. καὶ ἀ. E. ult. ἐπικρατεῖ] ἐπικρατεῖν D.
p. 478. 8. διὰ γραμμάτων] ἐκ τῶν γρ. C.F.G.I. et ni fallor E. Jos. qui mox ᾀσμάτων pro γρ. συντεθῆναι] συντεθεῖναι C.F.G. 9. πολλὰς] ἀλλὰ καὶ πολλὰς B. 10. ἐπιχειρήσαντες] ἐπιχειρίσαντες B.C.F.G. 11. δὲ τοὺς] δὲ τὸν B. qui mox om. τι. b 2. τούτων] τοῦτον B. Joseph. τούτους E.I. ἄλλοι om. E.I. τῶν ante Περσῶν om. B.F. Jos. 4. διαστρατείας] στρατείας B.C.E.F.G.I. Jos. προέλαβον F.G.I.

7 Neque tamen quisquam aut in sacris, aut in publicis usquam monimentis, literarum ullum ejus temporis extare vestigium ostenderit: cum de illis ipsis qui Trojanam expeditionem tanto post suscepere, dubitatum perdiu quæsitumque sit, num literis uterentur. Qua de re verior ea constantiorque sententia jam obtinet, ignoratum ab iis hodiernum illarum usum fuisse.
8 Neque tu scriptum omnino apud Græcos ullum, cujus de fide modo constet, Homerica poësi antiquius invenias. At eum post Trojana tempora natum esse nemo non fatetur: imo ne ab ipso quidem literis suam illam poësin mandatam esse ferunt, sed posterorum memoria propagatam aliquandiu, variis ex cantilenis collectam demum et contextam fuisse, ac
9 propterea tantum in ea vulgo discrepantiæ reperiri. Ergo qui ex illis ad scribendam historiam animum appulere, Cadmus, inquam, Milesius, et Acusilaus Argivus, ac si qui præterea nominantur, paulum admodum Per-

ΙΩΣΗΠΟΥ

10 Ἀλλὰ μὴν καὶ τοὺς περὶ τῶν οὐρανίων τε καὶ θείων πρώτους παρ' Ἕλλησι φιλοσοφήσαντας, οἷον Φερεκύδην τὸν Σύριον καὶ Πυθαγόραν καὶ Θάλητα, πάντες συμφώνως ὁμολογοῦσιν Αἰγυπτίων καὶ Χαλδαίων γενομένους μαθητὰς ὀλίγα συγγράψαι· καὶ ταῦτα τοῖς Ἕλλησιν εἶναι δοκεῖ c πάντων ἀρχαιότατα, καὶ μόλις αὐτὰ πιστεύουσιν ὑπ' ἐκείνων γεγράφθαι.

11 Πῶς οὖν οὐκ ἔστιν ἄλογον τετυφῶσθαι τοὺς Ἕλληνας, ὡς μόνους ἐπισταμένους τἀρχαῖα, καὶ τὴν ἀλήθειαν περὶ αὐτῶν ἀκριβῶς παραδιδόντας; Ἢ τίς οὐ παρὰ τῶν αὐτῶν συγγραφέων μάθοι ῥᾳδίως, ὅτι μηδὲ ἓν εἰδότες βεβαίως συνέγραφον,

12 ἀλλ' ὡς ἕκαστοι περὶ τῶν πραγμάτων εἴκαζον; Πλέον γοῦν διὰ τῶν βιβλίων ἀλλήλους ἐλέγχουσιν, καὶ τἀναντιώτατα περὶ τῶν αὐτῶν λέγειν οὐκ ὀκνοῦσι. Περίεργος δ' ἂν εἴην ἐγὼ τοὺς ἐμοῦ μᾶλλον ἐπισταμένους διδάσκων, ὅσα μὲν Ἑλλάνικος Ἀκουσιλάῳ περὶ τῶν γενεαλογιῶν διαπεφώνηκεν, d ὅσα δὲ διορθοῦται τὸν Ἡσίοδον Ἀκουσίλαος· ἢ τίνα τρόπον

b 5. οὐρανίων τε παρ' Ἕ.] τέ παρ' Ἕλλησι om. B. In C.E.F.G.I. παρ' Ἕλλησι post πρώτους. 7. καὶ Πυθαγόραν] πυθαγόρα B. Supra Φερεκύδην τε E.G.I. 9. καὶ Χαλδαίων γενομένους] γεγονέναι μαθητὰς καὶ Χαλδαίων B. qui om. ὀλίγα συγγράψαι et mox om. εἶναι et πάντων. c 3. οὖν οὐκ ἔστιν] οὐκ ἔστιν οὖν B. 5. καὶ τὴν—παραδιδόντας om. B. 6. παρὰ τῶν αὐτῶν συγγραφέων] παρ' αὐτῶν B.D. 7. μηδὲν] μὴ δὲ ἓν C.E.F.G.I. Tum βεβαίως εἰδότες I. 9. γοῦν] οὖν C.F.G. 11. περίεργος—βραχυτέρων om. B. 12. εἴην] εἴη F.

10 sicam adversus Græcos expeditionem tempore anteverterunt. Ad hæc qui de rebus cœlestibus atque divinis primi apud eos philosophari cœperunt, ut Pherecydes Syrus, Pythagoras, et Thales, illos et Ægyptiorum Chaldæorumque discipulos fuisse, nec nisi pauca scripsisse, ore omnes uno pronuntiant: atque illa Græci cum omnium vetustissima esse arbitrantur, tum vix etiam ab illis scripta fuisse credunt.

11 Quis igitur vano stolidoque fastu Græcos laborare non videat, qui sibi et res antiquas tenere soli, et soli accuratam illarum integramque veritatem tradere videantur? Imo, quis non ex iisdem scriptoribus illud perfacile auferat, perspecti ab iis nihil exploratique conscriptum, sed tantum qua-

12 tenus assequi conjectura potuerint? Itaque scriptis suis alios passim alii reprehendunt, nec iisdem omnino de rebus longe diversa loqui erubescunt. Ego vero importunus et otiosus utique videar, si quibus id quam ipsi mihi notius est, percensere velim, quam in genealogiæ rationibus multa sint, in quibus Hellanicus ab Acusilao dissideat: quam apud Hesiodum Acusilaus

Ἔφορος μὲν Ἑλλάνικον ἐν τοῖς πλείστοις ψευδόμενον ἐπι- ΙΩΣΗΠΟΥ
δείκνυσιν, Ἔφορον δὲ Τίμαιος, καὶ Τίμαιον οἱ μετ' ἐκεῖνον
13 γεγονότες, Ἡρόδοτον δὲ πάντες. Ἀλλ' οὐδὲ περὶ τῶν Σικελι-
[281] κῶν τοῖς περὶ Ἀντίοχον καὶ Φίλιστον ἢ Καλλίαν Τίμαιος
συμφωνεῖν ἠξίωσεν, οὐδ' αὖ περὶ τῶν Ἀττικῶν οἱ τὰς Ἀτ-
θίδας συγγεγραφότες, ἢ περὶ τῶν Ἀργολικῶν οἱ τὰ περὶ
14 Ἄργος ἱστοροῦντες ἀλλήλοις ἠκολουθήκασι. Καὶ τί δεῖ
λέγειν περὶ τῶν κατὰ πόλεις, καὶ βραχυτέρων, ὅπου γε περὶ
τῆς Περσικῆς στρατείας καὶ τῶν ἐν αὐτῇ πραχθέντων οἱ
δοκιμώτατοι διαπεφωνήκασι; Πολλὰ δὲ καὶ Θουκυδίδης ὡς p. 479
ψευδόμενος ὑπό τινων κατηγορεῖται, καίτοι δοκῶν ἀκριβε-
στάτην καθ' ἑαυτὸν ἱστορίαν συγγράφειν.
15 Αἰτίαι δὲ τῆς τοιαύτης διαφωνίας πολλαὶ μὲν ἴσως ἂν καὶ
ἕτεραι τοῖς βουλομένοις ζητεῖν ἀναφανεῖεν· ἐγὼ δὲ δυσὶ ταῖς
16 ἐκτεθησομέναις αἰτίαις τὴν μεγίστην ἰσχὺν ἀνατίθημι. Καὶ
προτέραν ἐρῶ τὴν κυριωτέραν εἶναί μοι δοκοῦσαν. Τὸ γὰρ
ἐξετασθῆναι μὴ σπουδασθῆναι παρὰ τοῖς Ἕλλησι δημοσίᾳ

ικῶν
d 3. Ἔφορος] Ἔφορος μὲν C.E.F.G.I. 7. Σικελικῶν] Σικελῶν D. 9. περὶ om. E.I. 10. ἢ τὰς] τὰς om. C.F.G.I. Mox ἀργολογικῶν G. 11. ἄργος] ἄργους I. 13. καὶ βραχυτέρων D. in marg. Tum ὅπου τε F.
p. 479. ψευδόμενος] ψευσόμενος C. 2. κατηγορεῖται] κατηγόρηται C.F.G.I. Mox καθ' ἑαυτὸν om. B. 4. ἴσως ἂν] ἂν ἴσως C.F.G. γὰρ ἴσως ἄλλαι τοῖς ζητήμασιν ἀναφανεῖεν B. 6. αἰτίαις om. B. Mox ἀνατίθημοι C. ἀνατίθημι F.G.I. Joseph. 8. γε ἐρῶ] γε om. B.C.E.F.G.I. Mox εἶναι om. B.D. 9. μὴ] μοι D. Mox ἐξ ἀρχῆς Jos. pro ἐξετασθῆναι. 10. τοῖς om. B. qui mox om. περί.

multa castiget: quam sæpe mendacii reum Hellanicum Ephorus, Ephorum
Timæus, Timæumque recentiores, denique Herodotum universi peragant.
13 Neque vero aut de rebus Siculis eadem Timæus quæ Antiochus, Philistus,
et Callias, sentire voluit: aut in Atticarum, vel Argolicarum historia, qui
genus idem scribendi suscepere, aliorum alii sensum mentemque sequuti
14 sunt. Quanquam quid ea persequi attinet, quæ per urbes passim conti-
gere, et angustioribus omnino regionibus continentur, cum in ipsa quoque
Persica expeditione, ac rebus in ea gestis, laudatissimorum scriptorum
magna sit plerumque dissentio? Prorsus ut ipse quoque Thucydides, licet
accuratissimam temporum suorum historiam perscribere videatur, a non-
nullis tamen erroris ac vanitatis arguatur.
15 Cujus sane dissidii, cum aliæ fortassis plurimæ aliis in illud anquirenti-
bus occurrere possint, tum has præcipue duas summi momenti caussas
16 esse intelligo. Atque ut ab ea quæ mihi potior videtur, incipiam, cum
totum illud res eas, quæ ubique fierent, publicas in tabulas referendi stu-
dium a Græcis jam usque ab initio neglectum fuisset, id sane cum errori

ΙΩΣΗ-ΠΟΥ

γίνεσθαι τὰς περὶ τῶν ἑκάστοτε πραττομένων ἀναγραφὰς,
τοῦτο μάλιστα δὴ καὶ τὴν πλάνην καὶ τὴν ἐξουσίαν τοῦ ψεύ- b
δεσθαι τοῖς μετὰ ταῦτα βουληθεῖσι περὶ τῶν παλαιῶν τι
17 γράφειν παρέσχεν. Οὐ γὰρ μόνον παρὰ τοῖς ἄλλοις Ἕλ-
λησιν ἠμελήθη τὰ περὶ τὰς ἀναγραφὰς, ἀλλ' οὐδὲ παρ' αὐ-
τοῖς Ἀθηναίοις, οὓς αὐτόχθονας εἶναι λέγουσι καὶ παιδείας
ἐπιμελεῖς, οὐδὲν τοιοῦτον εὑρίσκεται γενόμενον· ἀλλὰ τῶν
δημοσίων γραμμάτων ἀρχαιοτάτους εἶναί φασι τοὺς ὑπὸ
Δράκοντος αὐτοῖς περὶ τῶν φονικῶν γραφέντας νόμους,
ὀλίγῳ πρότερον τῆς Πεισιστράτου τυραννίδος ἀνθρώπου γε- c
18 γονότος. Περὶ μὲν γὰρ Ἀρκάδων τί χρὴ λέγειν, αὐχούντων
ἀρχαιότητα; Μόλις γὰρ οὗτοι καὶ μετὰ ταῦτα γράμμασιν
ἐπαιδεύθησαν.

19 Ἅτε δὴ τοίνυν οὐδεμιᾶς προβεβλημένης ἀναγραφῆς, ἣ καὶ
τοὺς μαθεῖν βουλομένους διδάξειν ἔμελλε καὶ τοὺς ψευδομέ-
νους ἐλέγξειν, ἡ πολλὴ πρὸς ἀλλήλους ἐγένετο διαφωνία
20 τοῖς συγγραφεῦσι. Δευτέραν δὲ πρὸς ταύτῃ θετέον ἐκείνην
αἰτίαν. Οἱ γὰρ ἐπὶ τὸ γράφειν ὁρμήσαντες, οὐ περὶ τὴν

a 11. πραττομένων] πραγμάτων B.D. γενομένων C.F.G. b 2. σπεύδεσθαι] γρ. ψεύδεσθαι Vigeri margo. Sic E.F.G. βουληθεῖσι om. B. 3. τι γράφειν—τὴν ἀλήθειαν om. B. οὐ γὰρ μόνον ἠμελήθησαν αἱ ἀναγραφαὶ, ἀλλὰ καὶ αὐτοῖς Ἀθηναίοις οἳ παιδείας ἐπιμελεῖσθαι λέγονται. τῶν δὲ δημοσίων D. 10. φοινικῶν] φοινίκων D. Reponendum φονικῶν e Joseph. 11. ὀλίγῳ om. F. τῆς] τοῖς E.I. c. μὲν γὰρ] γὰρ om. C.F.G. Supra ἀνθρώπου γεγονότος om. D. 2. ἀρχαιότητα] ἀρχαιότατα C. 9. ταύτην] ταύτῃ C.E.F.G.I. Joseph. τὴν αἰτ.] τὴν om. C.F. Jos. Mox οὔτε pro οὐ περὶ C.

maxime viam aperuit, tum iis etiam omnibus, qui de rebus antiquioribus
17 scribere cogitarent, licentiam obtulit impune mentiendi. Nec enim reliqua
duntaxat Græcorum natio, hanc tabularum conficiendarum curam jacere
permisit: sed ne apud Athenienses quidem, quos tamen et indigenas, et
disciplinarum apprime studiosos esse ferunt, quicquam ejusmodi factum
reperias: cum e publicis quidem literis, antiquissimas leges eas fuisse
tradant, quas ipsis Draco de cæde tulit, homo qui non nisi paulo ante
18 Pisistrati tyrannidem lucem aspexerat. Nam Arcadum meminisse quid
attinet, qui cum de sua tantopere vetustate glorientur, vix tamen etiam
post illa tempora literarum informari cognitione cœperunt?
19 Ita plane, cum vetustior commentarius nullus extaret, qui vel docere
discendi cupidos, vel mentientes arguere posset, maxima est scriptores inter
20 excitata dissensio. Cui tu caussæ alteram hanc adjungas licet. Qui enim
ad scribendum sese contulerunt, ii non veritatis utique studio ducebantur,

ἀλήθειαν ἐσπούδασαν—καίτοι τοῦτο πρόχειρον αὐτοῖς ἐστὶν ἀεὶ τὸ ἐπάγγελμα—λόγων δὲ δύναμιν ἐπεδείκνυντο· καὶ καθ' ὅν τινα τρόπον ἐν τούτῳ παρευδοκιμήσειν τοὺς ἄλλους ὑπελάμβανον, κατὰ τοῦτον ἡρμόζοντο, τινὲς μὲν ἐπὶ τὸ μυθολογεῖν τραπόμενοι, τινὲς δὲ πρὸς χάριν ἢ τὰς πόλεις ἢ τοὺς βασιλέας ἐπαινοῦντες· ἄλλοι δὲ ἐπὶ τὸ κατηγορεῖν τῶν πράξεων ἢ τῶν γεγραφότων ἐχώρησαν, εὐδοκιμήσειν ἐν τούτῳ d ΙΩΣΗΠΟΥ
21 νομίζοντες. Ὅλως δὲ τὸ πάντων ἐναντιώτατον ἱστορίᾳ πράττοντες διατελοῦσι. Τῆς μὲν γὰρ ἀληθοῦς ἐστὶ τεκμήριον ἱστορίας, εἰ περὶ τῶν αὐτῶν ἅπαντες τὰ αὐτὰ καὶ λέγοιεν καὶ γράφοιεν· οἱ δὲ, εἰ μὴ τὰ αὐτὰ γράψειαν ἑτέροις, οὕτως ἐνόμιζον αὐτοὶ φαίνεσθαι πάντων ἀληθέστατοι.

22 Τοσαῦτα καὶ ὁ Ἰώσηπος. Εἴη δ' ἂν τῶν εἰρημένων p. 480 ἐπισφράγισμα καὶ ἡ Διοδώρου μαρτυρία, ἣν ἀπὸ τοῦ πρώτου τῆς συναχθείσης αὐτῷ Βιβλιοθήκης παραθήσομαι, οὕτως ἔχουσαν πρὸς λέξιν·

c 11. ἐσπούδασαν] ἔσπευσαν B.D. qui mox πρόχ. ἔχ. τὸ ἐπίταγμα. προχ. ἀεὶ αὐτοῖς F.G. d 2. τινα τρόπον] τινα om. B. 3. παρευδοκιμῆσαι] παρευδοκιμήσειν B.C.D.F.G. Jos. παραδοκιμήσειν E.I. 5. τραπόμ.] τρεπόμ. B. Jos. 7. ἐπὶ τὸ] ἐπὶ τῷ B.D. 10. ἐναντιώτατον] αἰτιώτατον C.F.G. 12. ἐστι τεκμ. ἱστ.] ἱστορίας τεκμήριον B. 14. γράψειαν] γράψειεν B.C.F.G. Tum ἑτέρους B. om. εἰ ταῦτα γ. ἑτέρως Jos. ult. ἐνομίζοντο] ἐνόμιζον C.F.G.I. Jos. αὐτοὶ om. B. φαίνεσθαι πάντων] πάντων φαίνεσθαι D. φανεῖσθαι π. Jos. Pergit B. φαίνεσθαι ἀληθεῖς. ταῦτα μὲν οὕτως. λεγέτω δὲ καὶ Διόδωρος.

licet hoc profiteri solenne passim omnibus tralatitiumque sit: sed vim orationis unam ostendebant, atque ita quo se quisque genere alios superaturum esse maxime confidebat, in eo elaborabat plurimum. Ergo alii fabulas texere, alii civitatum aut regum benevolentiam et gratiam laudationibus eblandiri cœperunt: nonnulli res ipsas, aut illarum scriptores carpere ac vituperare maluerunt, quod in eo sese facilius excellere posse sperarent.
21 Cæterum isti cum historiæ legibus omnino pugnant. Cum enim eo potissimum argumento historiæ veritas comprobetur, si de rebus iisdem eadem omnes pronuntient ac scribant; ita sese demum isti maxime reliquos omnes veritatis opinione superaturos putarunt, si ab reliquis maxime dissiderent.

22 Hactenus etiam Josephus. Quorum omnium quoddam quasi sigillum esto Diodori testimonium, quod ex primo conflatæ ab eo Bibliothecæ proferemus. Sic enim ad verbum habet: Diod. Sic. Lib. I. c. 96.

8 Τούτων δ' ἡμῖν διευκρινημένων, ῥητέον ὅσοι τῶν παρ' Ἕλ-
ΔΙΟΔΩΡΟΥ
λησι δεδοξασμένων ἐπὶ συνέσει καὶ παιδείᾳ παρέβαλον εἰς b
Αἴγυπτον ἐν τοῖς ἀρχαίοις χρόνοις, ἵνα τῶν ἐνταῦθα νομίμων
2 καὶ παιδείας μετάσχωσιν. Οἱ γὰρ ἱερεῖς τῶν Αἰγυπτίων
ἱστοροῦσιν ἐκ τῶν ἀναγραφῶν τῶν ἐν ταῖς ἱεραῖς βίβλοις
παραβαλεῖν πρὸς ἑαυτοὺς Ὀρφέα τε, καὶ Μουσαῖον, καὶ Με-
λάμποδα, καὶ Δαίδαλον, πρὸς δὲ τούτοις, Ὅμηρόν τε τὸν
ποιητὴν, καὶ Λυκοῦργον τὸν Σπαρτιάτην· ἔτι δὲ Σόλωνα
[282] τὸν Ἀθηναῖον, καὶ Πλάτωνα τὸν φιλόσοφον· ἐλθεῖν δὲ καὶ
Πυθαγόραν τὸν Σάμιον, καὶ τὸν μαθηματικὸν Εὔδοξον, ἔτι c
δὲ Δημόκριτον τὸν Ἀβδηρίτην, καὶ Οἰνοπίδην τὸν Χῖον.
3 Πάντων δὲ τούτων σημεῖα δεικνύουσι, τῶν μὲν εἰκόνας, τῶν δὲ
τόπων ἢ κατασκευασμάτων ὁμωνύμους προσηγορίας. Ἔκ τε
τῆς ἑκάστῳ ζηλωθείσης παιδείας ἀποδείξεις φέρουσι, συνι-
στάντες ἐξ Αἰγύπτου μετενηνοχέναι πάντα δι' ὧν παρὰ τοῖς
4 Ἕλλησι ἐθαυμάσθησαν. Ὀρφέα μὲν γὰρ τῶν μυστικῶν
τελετῶν τὰ πλεῖστα, καὶ τὰ περὶ τὴν ἑαυτοῦ πλάνην ὀργια-
ζόμενα, καὶ τὴν τῶν ἐν ᾅδου μυθοποιίαν παρ' Αἰγυπτίων d
ἀπενέγκασθαι. Τὴν μὲν γὰρ Ὀσίριδος τελετὴν τῇ Διονύ-

p. 480. b. παρέβαλον] παρέβαλλον D.F.G. 3. τῶν ἐνταῦθα νομίμων καὶ] τῆς ἐνταῦθα B. 5. ἱεραῖς] ἱεροῖς B. 8. πρὸς δὲ τούτοις Ὅμηρόν τε] καὶ Ὅμηρον B. 11. δὲ καὶ] δὲ om. E. c. μαθηματικὸν] μαθητικὸν C.

8 His, inquit, a nobis diligenter enucleatis, ostendendum nobis est, quam multi Græcorum non minus prudentia, quam eruditione præstantes, in Ægyptum olim profecti sint, ut ejus populi mores doctrinæque genus
2 cognoscerent. Enimvero, sacerdotes Ægyptii sacrorum librorum auctoritate confirmant, ad suos Orpheum aliquando, Musæum, Melampodem, ac Dædalum, nec non et Homerum poëtam, Lycurgum Spartiatem, Solonem Atheniensem, Platonem philosophum, Pythagoram Samium, Eudoxum mathematicum, Democritum Abderitam, et Œnopidam Chium accessisse.
3 Quorum illi monimenta quædam etiamnum repræsentant, aliorum quidem, imagines, aliorum vero, partim loca, partim opera quædam ipsorum cognomentis insignia. Quinetiam ex singulari cujusque ac proprio doctrinæ genere id ipsum manifeste colligunt, dum eos quicquid tantum ipsis apud Græcos admirationis peperit, id totum ex Ægypto deportasse demonstrant.
4 Quippe, Orpheum enim partem mysticorum sacrorum maximam, quæque de ipsius errore orgia celebrantur, ac totam illam inferorum fabulam ab Ægyptiis derivasse. Nam et Osiridis religiones, illas ipsas esse, quas

σου τὴν αὐτὴν εἶναι· τὴν δὲ τῆς Ἴσιδος, τῇ τῆς Δήμητρος ὁμοιοτάτην ὑπάρχειν, τῶν ὀνομάτων μόνων ἐνηλλαγμένων· τὰς δὲ τῶν ἀσεβῶν ἐν ᾅδου τιμωρίας, καὶ τοὺς τῶν εὐσεβῶν λειμῶνας, καὶ τὰς παρὰ τοῖς πολλοῖς εἰδωλοποιίας ἀναπεπλασμένας παρεισαγαγεῖν, μιμησάμενον τὰ περὶ τὰς ταφὰς τὰς κατ' Αἴγυπτον. Τὸν μὲν γὰρ ψυχοπομπὸν Ἑρμῆν, κατὰ τὸ παλαιὸν νόμιμον παρ' Αἰγυπτίοις, ἀναγαγόντα τοῦ Ἄπιδος τὸ σῶμα μέχρι τινὸς παραδιδόναι τῷ περικειμένῳ τὴν τοῦ Κερβέρου περιτομήν. Τοῦ δὲ Ὀρφέως τοῦτο καταδείξαντος παρὰ τοῖς Ἕλλησι, τὸν Ὅμηρον ἀκολούθως τούτῳ θεῖναι κατὰ τὴν ποίησιν, ΔΙΟΔΩΡΟΥ

Ἑρμῆς δὲ ψυχὰς Κυλλήνιος ἐξεκαλεῖτο
ἀνδρῶν ἡρώων· ἔχε δὲ ῥάβδον μετὰ χερσίν. p. 481

6 Εἶτα πάλιν προβὰς ἐπιλέγει,

Μελάμποδα δέ φασι μετενεγκεῖν ἐξ Αἰγύπτου τὰ Διονύσῳ νομιζόμενα τελεῖσθαι παρὰ τοῖς Ἕλλησι, καὶ τὰ περὶ Κρόνου μυθολογούμενα, καὶ τὰ περὶ τῆς Τιτανομαχίας, καὶ

d 4. ὁμοιωτάτην ὑπάρχειν om. B. ὁμοιοτ. C.I. 5. ἀσεβῶν] τῶν ἀσ. B.C.D.E.F.G.I. 7. καὶ τὰς] τὰς om. B. 9. τὰ περὶ] τὰς περὶ C.G. Mox τῶν B. pro τάς. 13. παραδεδόναι D. 14. περιτομὴν] κεφαλὴν I. Haud dubie ex Diodoro reponendum προτομήν. 15. τούτῳ] τοῦτο C.F. καὶ F. pro κατά. Mox ψυχὰς om. B.
p. 481. Κυλλήνιος] Κυλλῆνος D. 3. μελάμποδα—Ἕλλησι om. B.

Baccho attribuit, et Isidis inter Cererisque cultum affinitatem esse permagnam, adeoque solam nominum mutationem interesse. Quod autem et impiorum apud inferos supplicia, et prata piorum amœnissima, et fictitias illas passimque vulgatas mortuorum umbras invexerit, in iis omnibus solennes in funeribus Ægyptiorum ritus imitatum fuisse. Nam veteri Ægyptiorum instituto, Mercurium illum deducendis animabus præpositum, Apidis corpus, ubi ad certum usque locum perduxerit, tum nescio cui dimidii Cerberi larvam induto tradere solitum. Id Orpheus cum Græcis hominibus indicasset, Homerum ejus deinde sequutum vestigia, suis ita versibus inseruisse,

Heroumque animas Cyllenius evocat Hermes.
Virgam dextra gerit.

Tum aliis eandem in rem commemoratis, ita prosequitur:

6 Melampodem quoque ferunt, statas solennesque Græcorum in sacris Bacchi ceremonias, cum iis quæ vel de Saturno, vel de commisso cum Titanibus certamine, vel omnino de numinum suorum casibus fabulantur, c. 97.

ΔΙΟΔΩΡΟΥ

7 τὸ σύνολον τὴν περὶ τὰ πάθη τῶν θεῶν ἱστορίαν. Τὸν δὲ
Δαίδαλον λέγουσιν ἀπομιμήσασθαι τὴν τοῦ λαβυρίνθου πλο-
κὴν, τοῦ διαμένοντος μὲν μέχρι τοῦ νῦν καιροῦ, οἰκοδομηθέν- b
τος δὲ, ὡς μέν τινές φασιν, ὑπὸ Μένδητος, ὡς δ' ἔνιοι λέγου-
σιν, ὑπὸ Μάρου τοῦ βασιλέως, πολλοῖς ἔτεσι πρότερον τῆς
Μίνω βασιλείας· τόν τε ῥυθμὸν τῶν ἀρχαίων κατ' Αἴγυπτον
ἀνδριάντων τὸν αὐτὸν εἶναι τοῖς ὑπὸ Δαιδάλου κατασκευ-
8 ασθεῖσι παρὰ τοῖς Ἕλλησι. Τὸ δὲ κάλλιστον πρόπυλον
ἐν Μέμφει τοῦ Ἡφαίστου Δαίδαλον ἀρχιτεκτονῆσαι, καὶ
θαυμασθέντα τυχεῖν εἰκόνος ξυλίνης κατὰ τὸ προειρημένον
ἱερὸν, ταῖς ἰδίαις χερσὶ δεδημιουργημένης· πέρας δὲ, διὰ τὴν c
εὐφυΐαν ἀξιωθέντα μεγάλης δόξης, καὶ πολλὰ προσεξευρόντα,
τυχεῖν ἰσοθέων τιμῶν. Κατὰ γὰρ μίαν τῶν πρὸς τῇ Μέμφει
νήσων ἔτι καὶ νῦν ἱερὸν εἶναι Δαιδάλου τιμώμενον ὑπὸ τῶν
9 ἐγχωρίων. Τῆς δ' Ὁμήρου παρουσίας ἄλλα τε σημεῖα φέ-
ρουσι, καὶ μάλιστα τὴν τῆς Ἑλένης γενομένην παρὰ Μενε-
λάῳ Τηλεμάχῳ φαρμακείαν, καὶ λήθην τῶν συμβεβηκότων
10 κακῶν. Τὸ γὰρ νηπενθὲς φάρμακον, ὃ λαβεῖν φησὶν ὁ d
ποιητὴς τὴν Ἑλένην ἐκ τῶν Αἰγυπτίων παρὰ τῆς Πολυ-

a 7. τὸ σύνολον] συνόλως B.D. b. οἰκοδομηθέντος] οἰκοδομηθέντα B. 3. ὡς δ' ἔνιοι—τοῖς Ἕλλησι om. B. 5. ἀρχαίων κατ' Αἴγ.] κατ' Αἴγ. ἀρχ. C.F.G. 8. μέμφιδι] μέμφη B.C.F.G. Tum ἡφιστίου B.C.G. 9. τῇ Ἡφαιστίου D. c 4. μέμφιδι] μέμφει B. μέμφη C.F.G. 5. τιμιώτερον D. d. λαβεῖν] λαβὼν G. 2. παρὰ τῆς πολυδάμνης] π. τ. πολυμνήστης τῆς θωνίας C.D.F.G. In E.I. item πολυμνήστης. Hinc usque ad ὑπάρχειν om. B. Mox ἐξετακῶς C.

7 ex Ægypto transtulisse. At vero Dædalum ejus labyrinthi flexiones imitatum esse, qui a Mendete, ut nonnulli tradunt, vel ut aliis placet, a Mari rege, multis antequam Minos regnaret annis, ædificatus, ad hodiernum usque diem visitur. Quinetiam idem artis ingenium in antiquis Ægyptiorum signis etiamnum apparere, quo Dædali apud Græcos statuæ commen-
8 dantur. Eundem, quod elegantissimum apud Memphim Vulcani templi vestibulum admirabili artificio construxisset, ligneam in eodem templo statuam suis ipsius manibus elaboratam; imo divinos etiam honores, ob singularem artis excellentiam, qua et magnum sibi nomen confecerat, et nova pleraque excogitaverat, consequutum fuisse. Siquidem in una quadam ex iis quæ Memphi vicinæ sunt insulis, hodieque Dædali templum
9 extare maxima insulanorum religione celebratum. Jam ibidem Homerum quoque versatum esse, cum aliis argumentis efficiunt, tum ex illo pharmaci genere auferunt, quo apud Menelaum Helena omnem Telemacho supe-
10 riorum malorum abstersit excussitque memoriam. Et sane pharmacum illud poeta, quod nepenthes, quasi ab omni dolore vacuum nominat,

δάμνης, τῆς Θῶνος γυναικὸς, ἀκριβῶς ἐξητακὼς φαίνεται. ΔΙΟΔΩΡΟΥ
11 Ἔτι γὰρ καὶ νῦν τὰς ἐν ταύτῃ γυναῖκας χρῆσθαι τῇ προειρημένῃ δυνάμει λέγουσι, καὶ παρὰ μόναις ταῖς Διοσπολίτισιν ἐκ παλαιῶν χρόνων ὀργῆς καὶ λύπης φάρμακον εὑρῆσθαί φασι· τὰς δὲ Θήβας καὶ Διόσπολιν τὴν αὐτὴν ὑπάρχειν· τήν τε Ἀφροδίτην ὀνομάζεσθαι παρὰ τοῖς ἐγχωρίοις χρυσῆν ἐκ παλαιᾶς παραδόσεως· καὶ πεδίον εἶναι καλούμενον χρυσῆς
12 Ἀφροδίτης περὶ τὴν ὀνομαζομένην Μώμεμφιν. Τά τε περὶ τὸν Δία καὶ τὴν Ἥραν μυθολογούμενα περὶ τῆς συνουσίας, καὶ τὴν εἰς Αἰθιοπίαν ἐκδημίαν, ἐκεῖθεν αὐτὸν μετενεγκεῖν. Κατ' ἐνιαυτὸν γὰρ παρὰ τοῖς Αἰγυπτίοις τὸν νεὼν τοῦ Διὸς περαιοῦσθαι τὸν ποταμὸν εἰς τὴν Λιβύην, καὶ μεθ' ἡμέρας p. 482
τινὰς πάλιν ἐπιστρέφειν, ὡς ἐξ Αἰθιοπίας τοῦ θεοῦ παρόν-
[283] τος· τήν τε συνουσίαν τῶν θεῶν τούτων, ἐν ταῖς πανηγύρεσι τῶν ναῶν ἀνακομιζομένων ἀμφοτέρων εἰς ὄρος ἄνθεσι παντοίοις ὑπὸ τῶν ἱερέων κατεστεμμένον.

13 Καὶ Λυκοῦργον δὲ καὶ Πλάτωνα καὶ Σόλωνα πολλὰ τῶν ἐξ Αἰγύπτου νομίμων εἰς τὰς ἑαυτῶν κατατάξαι νομοθεσίας,

d 9. τὰς δὲ] τῆς δὲ E. 10. τήν τε] ἀλλὰ δὴ καὶ τὴν B. 12. πεδίον] παιδίον D. εἶναι om. I. 13. παρὰ] περὶ C.E.F.G. Usque ad μώμεμφιν om. B. 14. Μώμεμφιν] Μέμφιν F.
p. 482. τὴν λιβύην] τὴν om. B. 2. ἐπιστρέφειν] ὑποστρέφειν D. 4. ναῶν] ἀνθρώπων C. 6. κατεστεμμένον] κατεστεμμένων B.

quodque Helenam a Polydamna Thonis uxore acceptum, Thebis Ægyptiis asportasse commemorat, admodum exploratum habuisse videtur.
11 Nam illic mulieres etiamnum ea vi ac facultate præditas esse, nec nisi apud Diospolitanas præsens illud iracundiæ dolorisque remedium jam ab ultimis usque temporibus repertum fuisse tradunt: Thebas porro atque Diospolin, unam et eandem urbem esse. Nec non Venerem ab indigenis, auream pervetusto quodam more nuncupari, adeoque campum aliquem propter
12 Momemphim esse, qui Veneris aureæ campus appelletur. Præterea quæ de Jovis Junonisque congressu, aut in Æthiopiam profectione fabulatur, indidem ipsum hausisse. Jovis enim ædem quotannis apud Ægyptios per fluvium in Libyam deferri, unde post aliquot dies, quasi reverso ex Æthiopia numine revehatur. Utriusque vero dei conjunctionem ex eo fingendi occasionem sumpsisse, quod in publicis totius populi festis, in montem quendam a sacerdotibus omni florum genere consperso ædes utraque deferatur.

13 Ad hæc Lycurgum, Platonem, ac Solonem, permulta ex Ægyptiorum institutis in legum suarum tabulas retulisse: Pythagoram sacri sermonis

ΔΙΟΔΩΡΟΥ

Πυθαγόραν τε τὰ κατὰ τὸν ἱερὸν λόγον, καὶ τὰ κατὰ γεωμετρίαν θεωρήματα, καὶ τὰ περὶ τοὺς ἀριθμοὺς, ἔτι δὲ τὴν εἰς πᾶν ζῷον τῆς ψυχῆς μεταβολὴν μαθεῖν παρ' Αἰγυπτίων. b

14 Ὑπολαμβάνουσι δὲ καὶ Δημόκριτον παρ' αὐτοῖς ἔτη διατρίψαι πέντε καὶ πολλὰ διδαχθῆναι τῶν κατὰ ἀστρολογίαν· τόν τε Οἰνοπίδην ὁμοίως συνδιατρίψαντα τοῖς ἱερεῦσι καὶ ἀστρολόγοις μαθεῖν ἄλλα τε καὶ μάλιστα τὸν ἡλιακὸν κύκλον, ὡς λοξὴν μὲν ἔχει τὴν πορείαν, ἐναντίαν δὲ τοῖς ἄλλοις

15 ἄστροις τὴν φορὰν ποιεῖται. Παραπλησίως δὲ καὶ τὸν Εὔδοξον ἀστρολογήσαντα παρ' αὐτοῖς, καὶ πολλὰ τῶν χρησίμων c εἰς τοὺς Ἕλληνας ἐκδόντα, τυχεῖν ἀξιολόγου δόξης.

16 Πάντων δὲ τῶν παλαιῶν ἀγαλματοποιῶν τοὺς μάλιστα διωνομασμένους διατετριφέναι παρ' αὐτοῖς, Τηλεκρέα καὶ Θεόδωρον, τοὺς Ῥοίκου μὲν υἱοὺς, κατασκευάσαντας δὲ τοῖς Σαμίοις τὸ τοῦ Ἀπόλλωνος τοῦ Πυθίου ξόανον.

17 Τοσαῦτα δὲ καὶ Διόδωρος. Ἀλλ' οὗτος μὲν ὁ λόγος ὧδέ πως ἀποδεδειγμένος ἐνταῦθά μοι εἰλῃφέτω τέλος.

a 9. Πυθαγόραν—παρ' αὐτοῖς om. B. b. μετάβαλλον E. μεταβαλὸν I. 3. παρ' αὐτοῖς] τὸν παρ' αὐτοῖς F.G. διατρέψαι E. 4. τῶν κατὰ] τῶν om. C.F.G. 5. τοῖς ἱερεῦσι—μάλιστα om. F. 6. ἄλλα τε] ἄλλα τε πολλὰ G. c 2. τῆς ἀξιολ.] τῆς om. C.F.G. τῆς ἀξιόλογα E.I. 5. τηρακλέα] ἀλλὰ καὶ τηλεκρέα B. τηλεκρέα item C.F.G.
ρακλέα
τηλεκρέα D. τηλεκλέα Diod. 6. κατασκευάσαντας] κατασκευασθέντας C.F. Mox τοὺς pro τοῖς C. 8. δὲ καὶ] δὲ om. C.F.G. Tum ὁ Διόδ. B.C.F.G. ἀλλ' οὗτος—τέλος, om. B.C. 9. εἰλῃφέτω] εἴληφε τὸ C.F.G.

arcana, cum geometriæ principiis, numerandi arte, et animorum in quæ-
14 libet animantium genera migratione, ab Ægyptiis accepisse. Democritum etiam annos apud se quinque versatum, ac pluribus astrologiæ præceptis eruditum fuisse arbitrantur: Œnopidemque similiter ex frequenti sacerdotum consuetudine, cum alia pleraque, tum solis maxime conversionem didicisse, utque obliquum et flexuosum cursum instituat, ac motu reliquis
15 sideribus contrario rapiatur. Eudoxum quoque post navatam apud se astrologiæ operam, quod multa deinde summæ utilitatis ac fructus cum Græcis hominibus communicasset, laudem sibi maximam peperisse.
16 Postremo quotquot e priscis fictoribus in hominum ore plurimum et existimatione versati sunt, Ægyptum frequentasse omnes, atque inter alios Teraclem, ac Theodorum, ambo Rhœci filios, qui Samiis illud Apollinis Pythii simulacrum perfecerunt.

17 Huc usque Diodorus. Quam mihi disputationem, superioribus testimoniis abunde illustratam, hoc demum loco terminare libet. Ac

Οὐ δεῖ δὴ λοιπὸν ἀλογίας ἡμῶν κατηγορεῖν, εἰ δὴ τοὺς τῶν σοφῶν Ἑλλήνων καὶ αὐτῶν γε τῶν παρ᾽ αὐτοῖς φιλοσόφων διδασκάλους, τοὺς βαρβάρους λέγω, πόθῳ τῆς ἀληθοῦς εὐσεβείας καὶ αὐτοὶ μετήλθομεν, εἴ γε βάρ- d
18 βαροι Ἑβραῖοι. Ὧν τοὺς χρόνους, καθ᾽ οὓς ἤκμασαν Μωσῆς τε καὶ οἱ μετὰ Μωσέα προφῆται, εὖ ἂν ἔχοι διελθεῖν· ἐπεὶ καὶ τοῦτ᾽ ἂν εἴη ἕν τι τῶν μάλιστα συνεκτικωτάτων τῇ προκειμένῃ πραγματείᾳ, τὸ μέλλοντας τῶν παρὰ τοῖς ἀνδράσι λογίων ἐφάπτεσθαι προδιαλαβεῖν περὶ τῆς ἀρχαιότητος αὐτῶν· ἵν᾽ εἰ φανεῖεν τοῖς Ἑβραίων προφήταις τε καὶ θεολόγοις οἱ παρ᾽ Ἕλλησιν ὁμοδοξοῦντες, μηκέτ᾽ ἀμφιβάλλοις τίνας ἦν εἰκὸς τὰ παρὰ τίνων ἀναλέξασθαι· πότερα τοὺς πρεσβυτέρους τὰ τῶν νέων, Ἑβραίους τε τὰ Ἑλλήνων, καὶ βαρβάρους τὰ φιλοσόφων, ὧν οὐδὲ τῆς γλώσσης εἰκὸς ἐπαΐειν· ἢ, ὅπερ p. 483
καὶ μᾶλλον εἰκὸς, τοὺς νέους τὰ τῶν πρεσβυτέρων, καὶ

c 10. δεῖ δὴ] δὴ δεῖ C.F.G. ἡμῶν] ἡμᾶς B. 12. καὶ αὐτῶν—φιλοσόφων om. B. 13. πόθῳ] πόθεν F. d 2. ὧν] τῶν I. 4. εὖ ἂν ἔχοι διελθεῖν om. B. qui mox μάλιστα τῶν ἔχει (οἱ) D. 6. τῇ om. F. 9. τοῖς] τῆς I. 11. ἀμφιβάλλοις F.G.I. 12. πότερα] πότερον B. qui pergit τοὺς πρεσβ. Ἑβραίους τὰ τῶν νέων Ἑλλήνων ἢ τοὔμπαλιν omissis reliquis. ult. τῆς ὀπῆς—ἐπαΐειν] τῆς γλώσσης—ἐπαίην C. γλώσσης—ἐπαίειν F.G. γλώττης E.I. pro ὀπῆς. εἰκὸς] εἰκὸς ἦν I.

desinant isti porro nos temeritatis arguere, quod veræ pietatis studio, Græciæ sapientum philosophorumque doctores, barbaros, inquam, illos, (si barbari tamen Hebræi sunt,) consulere voluerimus ipsi
18 quoque. Deinceps quibus ipsi temporibus, Moses puta, cæterique post eum prophetæ claruerint, excutiendum erit; cum is qui de viris inter omnes eruditionis ac sapientiæ laude præstantibus sermonem instituat, rem ad suscepti argumenti rationes longe præcipuam facturus videatur, si de illorum antiquitate certi prius aliquid exploratique constituat. Nam ita demum, si quando cum Hebræorum prophetis atque theologis Græci consentient, sine ulla dubitatione intelligas, utros credibile sit aliorum mutuari sententias, antiquioresne juniorum, id est Græcorum Hebræos, barbarosque philosophorum, quorum illi ne vocem quidem audire potuerint: an, quod longe verosimilius est, juniores antiquiorum, adeoque Græcos illos, qui tam

τοὺς τὰ πλεῖστα τῶν ἐθνῶν περιειργασμένους Ἕλληνας καὶ τὰ Ἑβραίων μὴ ἀγνοῆσαι, ἀρχῆθεν ἐπὶ τὴν Ἑλλάδα φωνὴν μεταβεβλημένα.

9 Μωσέως πέρι καὶ τῆς τῶν μετ᾽ αὐτὸν προφητῶν ἀρ- b
χαιότητος πλεῖστοι μὲν ἄλλοι διὰ σπουδῆς τὴν ἀπό-
δειξιν ἐν οἰκείοις καταβέβληνται συγγράμμασιν, ἀφ᾽ ὧν
2 αὐτίκα μάλα σμικρὰ ἄττα παραθήσομαι. Κἀγὼ δὲ και-
νοτέραν παρὰ τοὺς εἰρημένους ὁδεύσας, ταύτῃ χρήσομαι
τῇ μεθόδῳ. Συντρεχόντων ὁμολογουμένως τῶν χρόνων
Αὐγούστου Ῥωμαίων αὐτοκράτορος καὶ τῆς τοῦ Σωτῆ-
ρος ἡμῶν γενέσεως, ἀρχήν τε τῆς εὐαγγελικῆς διδασκα-
λίας τοῦ Χριστοῦ ποιησαμένου κατὰ τὸ πεντεκαιδέκατον
ἔτος Τιβερίου Καίσαρος, εἴ τις ἀπὸ τούτου συναγαγεῖν
ἐθέλοι τὸν τῶν ἐτῶν ἀριθμὸν, προϊὼν ἐπὶ τοὺς ἀνωτέρω c
χρόνους, τοὺς μέχρι Δαρείου τοῦ Περσῶν βασιλέως, καὶ
τῆς κατ᾽ αὐτὸν ἀνανεώσεως τοῦ ἐν Ἱεροσολύμοις νεὼ, ἣ
γέγονε μετὰ τὴν ἀπὸ Βαβυλῶνος ἐπάνοδον τοῦ Ἰουδαίων

p. 483. 2. τὰ πλεῖστα] τὰ om. C. b. τῆς τῶν] τῶν om. I. 4. αὐτίκα μάλα om. B. Tum σμικρὰ B.C.E.F.G.I. 7. Συντρεχόντων] v. Chronol. ed. Scal. p. 87. c. τὸν τῶν] τοῦ τῶν C. 5. τοῦ] τῶν F.G.

curiose gentium plurimarum instituta scrutati sunt, ne scripta quidem Hebræorum, quæ Græcam in linguam fuerint tanto ante conversa, latuisse.

9 Ac Mosis quidem et prophetarum eo posteriorum antiquitatem,
suis in operibus alii complures diligenter admodum ac studiose com-
probatam et contestatam reliquerunt, ex quibus pauca quædam paulo
2 post subjiciam. Sed tamen prius novam ipse viam insistens, cæte-
risque jam tritæ dissimilem, quæ sequitur rationem ac methodum
inire decrevi. Cum Servatoris nostri natalem omnium consensu, in
Augusti imperatoris tempora incidisse, Christum vero circa decimum
quintum Tiberii Cæsaris annum proseminandi evangelii initium
fecisse constet: si quis ab eodem annorum summam ita colligere
voluerit, ut per superiora retro tempora, ad Darium usque Persarum
regem, et instauratum Hierosolymis sub eo templum, id quod post
Judaici populi ex Babylone reditum contigit, numerando perveniat;

Eusebii propria chronologiæ ratio.

ἔθνους εὕροι ἂν ἀπὸ Τιβερίου ἐπὶ τὸ δεύτερον ἔτος Δα-
3 ρείου ἔτη φμη΄. Δαρείου μὲν γὰρ τὸ δεύτερον κατὰ τὸ πρῶτον ἔτος τῆς ξε΄ Ὀλυμπιάδος καταντᾷ· Τιβερίου δὲ
[284] τὸ πεντεκαιδέκατον τῆς Ῥωμαίων βασιλείας κατὰ τὸ δ΄
4 τῆς σα΄ Ὀλυμπιάδος συμπίπτει. Γίνονται τοίνυν αἱ d
μεταξὺ Δαρείου τοῦ Πέρσου καὶ Τιβερίου τοῦ Ῥωμαίων βασιλέως Ὀλυμπιάδες ρλζ΄, αἳ συνάγουσι χρόνον ἐτῶν
5 φμη΄, τετραετίας τῇ Ὀλυμπιάδι λογιζομένης. Ἐπεὶ δὲ κατὰ τὸ δεύτερον ἔτος Δαρείου τὸ ἑβδομηκοστὸν ὑπῆρχε τῆς ἐρημίας τοῦ ἐν Ἱεροσολύμοις νεὼ, καθὼς τὰ τῆς Ἑβραίων ἱστορίας παρίστησι, κἀντεῦθεν πάλιν ἀνατρεχόντων ἀπὸ μὲν τοῦ δευτέρου ἔτους Δαρείου ἐπὶ τὴν πρώτην Ὀλυμπιάδα, ἔτη συνάγοιτ᾽ ἂν σνϛ΄, Ὀλυμπιάδες ξδ΄· τοσαῦτα δ᾽ ἂν εὕροις τὰ ἀπὸ τοῦ ὑστάτου ἔτους τῆς ἐρημίας τοῦ δηλωθέντος ἱεροῦ ἐπὶ τὸ ν΄ ἔτος Ὀζίου τοῦ τῶν Ἰουδαίων βασιλέως ἀνιὼν, καθ᾽ ὃν ἐπροφήτευον

c 6. ἔθνους om. C.F.G. 9. δὲ τὸν] δὲ τὸ I. 10. σγ΄] ᾱ C.F.G. σγ΄ ϛ B. πρώτης D. σᾱ I. Vide Chron. ad Ol. 201, 4. d 2. δαρείου τοῦ Περ.] τοῦ Περ. Δα. B. 3. συνάγουσαι] συνάγουσι B.C.I. cum Steph. consentit D. 4. χρόνον] χρόνους B. 8. παρίστησι] παραδίδωσι B. 12. τοῦ ὑστ.] τοῦ om. C. 13. ἐρημίας] ἐρήμου D. μίας

is a Tiberio ad Darii secundum, annos omnino reperiat quingentos et
3 quadraginta octo. Nam Darii quidem secundus in primum Olympiadis sexagesimæ quintæ, imperii vero Tiberii decimus quintus in
4 quartum ducentesimæ tertiæ Olympiadis incurrit. Quocirca Darium Persam inter, ac Tiberium Romanorum imperatorem, centum ac triginta septem Olympiades intercedunt, quæ summam annorum quingentorum et quadraginta octo conficiunt, quadriennio singulis Olym-
5 piadibus attributo. Et quoniam Darii secundus annus, cum Hierosolymitani templi vastitatis septuagesimo congruebat, ut ex Hebræorum historia liquet: si gradum etiam inde retro flectas, ab anno Darii secundo ad primam usque Olympiadem anni confient omnes quinquaginta sex supra ducentos, Olympiades vero quatuor et sexaginta: quot plane ab ultimo excisi templi anno, ad Osiæ Judæorum regis quinquagesimum numerantur; quo tempore Esaias, Oseas, aliique

Ἡσαΐας καὶ Ὡσηὲ, ὅσοι τε τούτοις γεγόνασι σύγχρο- p. 484
νοι. Ὥστ' εἶναι τὴν πρώτην καθ' Ἕλληνας Ὀλυμ-
πιάδα σύνδρομον Ἡσαΐᾳ τῷ προφήτῃ, καὶ τοῖς τούτῳ
6 συγχρόνοις. Πάλιν δὲ ἀπὸ τῆς πρώτης Ὀλυμπιάδος
ἐπὶ τοὺς ἔμπροσθεν ἀνιὼν χρόνους μέχρι τῆς Ἰλίου
ἁλώσεως εὑρήσεις ἔτη συγκεφαλαιούμενα υη', ὡς αἱ
7 παρ' Ἕλλησι τῶν χρόνων ἀναγραφαὶ περιέχουσι. Καὶ
καθ' Ἑβραίους ἀπὸ πεντηκοστοῦ ἔτους Ὀζίου τοῦ Ἰου-
δαίων βασιλέως ἀνιὼν ἐπὶ τὸ τρίτον ἔτος Λαβδὼν παρ' b
Ἑβραίοις γενομένου κριτοῦ, τὸν ἶσον συνάξεις ἀριθμὸν
ἐτῶν υη'· ὥστ' εἶναι τὴν Ἰλίου ἅλωσιν κατὰ τοὺς
Λαβδὼν τοῦ κριτοῦ χρόνους, ἑπτὰ ἔτεσι πρότερον ἢ
Σαμψὼν ἄρξαι Ἑβραίων, ὃν κατὰ τὴν τοῦ σώματος
ἀλκὴν ἀνυπόστατον γενέσθαι φασὶν, ἐοικότα τῷ βοω-
8 μένῳ παρ' Ἕλλησιν Ἡρακλεῖ. Καὶ ἐντεῦθεν δὲ ἐπὶ
τοὺς ἀνωτέρω βαδίζων, σαυτῷ τε συναγαγὼν ἀριθμὸν

p. 484. 3. τῷ προφ. ἡσ.] ἡσ. τῷ προφ. B.C.F.G. 4. τούτου] τούτῳ B.C.D.F.G. 6. ἀνιὼν χρόνους] χρόνους ἀνιὼν B. 8. υη'] $\overline{υν}$ I. 10. πεντηκοστοῦ] πεντήκοντα B.I. ν' C. Ἰουδ. βασ.] βασ. Ιουδ. C. qui om. ἐπὶ τὸ τρ.—τὸν ἶσον. b. λαβδὼν παρ' Ἑβραίοις] λαβδῶν Ἑβραίων B. 2. συνάξεις] ἴδης B. qui om. ἀριθμὸν—συναγαγών. ἴδῃς D. suprascripto συνάξεις. 4. ἑπτὰ] ξ' C.G. Supra τὸν Λαβδ. E. 6. τὴν om. F. qui mox ὑπόστατον. 9. ἐν ταυτῷ] σαυτῷ C.D.E.F.G.I.

amborum æquales prophetæ claruerunt. Ita prima Græcorum Olym-
6 pias cum Esaia et ipsius æqualibus congruit. Rursus qui ad supe-
riora tempora recurrere voluerit, is ab Olympiade prima ad captam
usque Trojam, annorum summam conficiet octo supra quadringentos,
quem numerum chronologici Græcorum commentarii repræsentant.
7 Similiter apud Hebræos, ab Osiæ Judæorum regis quinquagesimo, si
gradum ad Labdonis Hebræi quondam judicis tertium feceris, æqua-
lem annorum quadringentorum et octo numerum colliges. Atque
ita sub Labdonis judicis tempora, captum Ilium fuerit, septem annis
antequam Samson Hebræis imperaret, quem viribus corporis nihil
non superasse, adeoque omnium ore jactato Græcorum Herculi per-
8 similem fuisse tradunt. Quod si ab illo tempore, annos rursus quad-
ringentos sursum versus numeraveris, Mosem apud Hebræos, apud

ἐτῶν υ', εὕροις ἂν κατὰ μὲν Ἑβραίους Μωσέα, κατὰ δὲ
9 Ἕλληνας Κέκροπα τὸν γηγενῆ. Κατώτερα δὲ τῶν c
Κέκροπος ἱστορεῖται χρόνων τὰ παρ' Ἕλλησι θαυμαζόμενα. Γίνεται γὰρ μετὰ Κέκροπα ὁ κατὰ Δευκαλίωνα κατακλυσμὸς, καὶ ἡ ἐπὶ Φαέθοντος ἐκπύρωσις, Ἐριχθονίου τε γένεσις, Κόρης τε ἁρπαγὴ, καὶ Δήμητρος μυστήρια, Ἐλευσινίων ἵδρυσις, Τριπτολέμου γεωργία, Εὐρώπης ὑπὸ Διὸς ἁρπαγὴ, Ἀπόλλωνος γένεσις, Κάδμου ἐπὶ Θήβας παρουσία, καὶ ἔτι τούτων νεώτεροι, Διόνυσος, Μίνως, Περσεὺς, Ἀσκληπιὸς, Διόσκουροι, Ἡ-
10 ρακλῆς. Τούτων δ' ἁπάντων πρεσβύτερος γεγονὼς d
συνίσταται Μωσῆς, ὡς ἂν κατὰ Κέκροπα τὴν ἡλικίαν ἀκμάσας. Ἀπὸ δὲ Μωσέως πάλιν ἀνιὼν ἐπὶ τὸ πρῶτον ἔτος ζωῆς Ἀβραὰμ, εὑρήσεις ἔτη φέ. Τοσαῦτα δὲ ἀπὸ τοῦ δηλωθέντος ἔτους τῆς Κέκροπος βασιλείας τὸν ἀνωτέρω χρόνον ἀπαριθμούμενος, ἐπὶ Νίνον ἥξεις τὸν Ἀσσύριον, ὃν πρῶτόν φασιν ἁπάσης τῆς Ἀσίας πλὴν Ἰνδῶν κεκρατηκέναι· οὗ Νίνος ἐπώνυμος πόλις, ἣ Νινευὶ παρ' Ἑβραίοις ὠνόμασται, καθ' ὃν Ζωροάστρης

b 11. κέκροπα] κέκροπον C.F.G. δὲ om. E. c 11. ἀσκλήπιος—εἴπερ ὁ B. om. qui pergit εἶτα Σαγχωνίαθων. d 5. ἔτι] ἔτη C. 10. νινευὴ F.G.

Græcos Cecropem illum terrigenam reperies: quo quidem recentiora esse, quæcunque Græci tantopere celebrant, nemo non fatetur.
9 Nam post illum, Deucalionis diluvium, Phaëthontis incendium, ortus Erichthonii, Proserpinæ raptus, mysteria Cereris, Eleusiniorum institutio, Triptolemi agricultura, Europæ ab Jove raptus, natalis Apollinis, Cadmi apud Thebanos adventus, atque iis omnibus juniores Bacchus, Minos, Perseus, Æsculapius, Castor, et Pollux, et Hercules
10 extitere. Quos proinde Moses, cum Cecropis tempore floruerit, ætate omnes anteivit. Porro si ab eodem Mose ad primum usque Abraami vitæ annum recurreris, summam colliges annorum quinque supra quingentos: itemque, totidem ab illo Cecropis regni anno superiora versus tempora numeratis, ad Ninum Assyrium pervenies, quem omnium principem tota passim Asia, si tamen Indos excipias, dominatum esse tradunt. Nomen ab eo Ninus civitas, quam Niniven Hebræi vocant, accepit, ejusdemque temporibus Zoroastres ille Magus

ὁ μάγος Βακτρίων ἐβασίλευσε. Νίνου δὲ γυνὴ καὶ διάδοχος τῆς βασιλείας Σεμίραμις· ὥστ᾽ εἶναι τὸν Ἀβραὰμ κατὰ τούτους.

11 Ταῦτα μὲν οὖν ἀποδεικτικῶς ἐν τοῖς πονηθεῖσιν ἡμῖν Χρονικοῖς Κανόσιν οὕτως ἔχοντα συνέστη. Ἐπὶ δὲ τοῦ παρόντος πρὸς τοῖς εἰρημένοις μάρτυρι τῆς Μωσέως ἀρχαιότητος χρήσομαι τῷ πάντων δυσμενεστάτῳ καὶ πο- p. 485
λεμιωτάτῳ Ἑβραίων τε καὶ ἡμῶν, φημὶ δὲ τῷ καθ᾽ ἡμᾶς φιλοσόφῳ, ὃς τὴν καθ᾽ ἡμῶν συσκευὴν ὑπερβολῇ μίσους προβεβλημένος, οὐ μόνους ἡμᾶς, ἀλλὰ καὶ Ἑβραίους, αὐτόν τε Μωσέα, καὶ τοὺς μετ᾽ αὐτὸν προφήτας ταῖς ἴσαις ὑπηγάγετο δυσφημίαις. Οὕτω γὰρ διὰ τῆς τῶν ἐχθρῶν ὁμολογίας ἀναμφηρίστως ἡγοῦμαι τὴν
12 ἐπαγγελίαν πιστώσασθαι. Γράφει τοίνυν ἐν τῷ τετάρτῳ τῆς καθ᾽ ἡμῶν συσκευῆς ὁ Πορφύριος ῥήμασιν αὐτοῖς τάδε·

d 11. βακτηρίων I. 12. ἐβασίλευε F. 14. τούτους] τούτοις (ους superscr.) D. ἀποδεικτικῶς] ἀποδεικτικὸς C. οὖν om. E.I. 15. ἀπεδείχθη D.
p. 485. 3. δὲ] δὴ D. δὴ (δὲ superscr.) F. 5. μόνους] μόνον D. 8. διὰ γὰρ] οὕτω γὰρ διὰ C.E.F.G.I. 9. ἐπαγγελίαν] ὁμολογίαν C.F.G. D.in textu. πιστώσασθαι] πιστώσεσθαι I. 11 ῥήμασιν om. C.

Bactrianis imperabat. Nini uxor Semiramis eidem successit in regnum: quorum ætate proinde Abraamum vixisse oportuit.

11 Verum hæc a nobis omnia certis argumentis in Chronologicis nostris Canonibus confecta reperies. Nunc quidem confirmandæ Mosis antiquitati, ad superiora illa, unum hominis longe cum Hebræis, tum etiam nobis inimicissimi, atque infensissimi testimonium libet adjungere: philosophum illum æqualem nostrum intelligo, qui eo in opere, quod nostros in homines vis ejus odii magnitudoque vulgavit, non modo nos, sed Hebræos etiam ipsos, nec non et Moysem, prophetasque post illum cæteros, iisdem contumeliis oneravit. Nam ita demum susceptum a nobis argumentum, ipsa hostium confessione testatum, nihil cuiquam dubitationis relicturum esse con-
12 fido. Porphyrius igitur libro sui adversum nos operis quarto hunc in modum, verbis omnino totidem loquitur.

ΠΟΡΦΥΡΙΟΥ

Ἱστορεῖ δὲ τὰ περὶ Ἰουδαίων ἀληθέστατα, ὅτι καὶ τοῖς b [285] τόποις καὶ τοῖς ὀνόμασιν αὐτῶν τὰ συμφωνότατα, Σαγχωνιάθων ὁ Βηρύτιος, εἰληφὼς τὰ ὑπομνήματα παρὰ Ἱερομβάλου τοῦ ἱερέως Θεοῦ Ἰευώ, ὃς Ἀβελβάλῳ τῷ βασιλεῖ Βηρυτίων τὴν ἱστορίαν ἀναθεὶς, ὑπ' ἐκείνου καὶ τῶν κατ' αὐτὸν ἐξεταστῶν τῆς ἀληθείας παρεδέχθη. Οἱ δὲ τούτων χρόνοι καὶ πρὸ τῶν Τρωϊκῶν πίπτουσι χρόνων, καὶ σχεδὸν τοῖς Μωσέως πλησιάζουσιν, ὡς αἱ τῶν Φοινίκης βασιλέων μηνύ- c ουσι διαδοχαί. Σαγχωνιάθων δὲ, ὁ κατὰ τὴν τῶν Φοινίκων διάλεκτον φιλαλήθως πᾶσαν τὴν παλαιὰν ἱστορίαν ἐκ τῶν κατὰ πόλιν ὑπομνημάτων καὶ τῶν ἐν τοῖς ἱεροῖς ἀναγραφῶν συναγαγὼν καὶ συγγράψας, ἐπὶ Σεμιράμεως γέγονε τῆς Ἀσσυρίων βασιλίδος.

13 Ταῦτα ὁ Πορφύριος. Δεῖ δὴ συλλογίσασθαι τὰ προκείμενα ὧδέ πως. Εἴπερ ὁ Σαγχωνιάθων ἐπὶ Σεμιράμεως γέγονεν, ἡ δὲ μακρῷ πρόσθεν τῶν Τρωϊκῶν ὁμολογεῖται, εἴη ἂν καὶ ὁ Σαγχωνιάθων τῶν Τρωϊκῶν

b. ἱστορεῖ] Vide supra p. 31 a. Adde Scaliger. in Vet. Græc. Fragm. post lib. de Emend. Temp. p. 6. ἱστορεῖ δὴ E.F.I. 2. τὰ συμφωνότατα om. C.F.G. τὰ om. Scaliger. 3. Σαγχουνιάθων I. et sic infra. 8. παρεδέχθη] παρεδείχθη C.D.F.G. c. διαδοχαὶ μηνύουσι] μηνύουσι διαδ. C.E.F.G.I. 2. τὴν τῶν] τῶν om. C.G. 8. δεῖ δὴ] δεῖ δὲ C.F. 10. γέγονεν] γέγονε τῆς Ἀσυρίων βασι^λ. ταῦτα ὁ Πορφύριος· δεῖ δὴ συλλογίσασθαι τὰ προκ. ὧδέ πως. ἀλλὰ τοσοῦτον B. 11. ἂν] δ' ἂν C.F.G.

Porro in scribenda, inquit, rerum Judaicarum historia, veritatis amantissimus est Sanchoniatho ille Berytius, quippe qui commentarios cum eorum sive locis sive nominibus maxime congruentes, ab Hierombalo Ieuo Dei sacerdote acceperit: qui suam historiam Abelbalo Berytiorum regi nuncupatam, cum illi ipsi, tum iis etiam, quibus in explorando vero consiliariis atque arbitris utebatur, probavit. Quorum sane tempora Trojanis etiam illis antiquiora sunt, parumque admodum a Mosis ætate disjuncta, ut ex Phœniciæ regum successione cognoscitur. Idem autem Sanchoniatho, qui universam historiam, cum ex publicis urbis, tum e sacris tabulis haustam, summo cum veritatis studio Phœnicia lingua conscripsit, Semiramidis Assyriorum reginæ temporibus floruit.

13 Hæc Porphyrius. Ex quibus ita nos ratiocinari posse intelligo. Si Sanchoniatho Semiramidis temporibus floruit, Semiramidem vero multo ante Trojana regnasse constat, iisdem quoque vetustior San-

14 παλαιότερος. Ἀλλ' οὗτος παρ' ἑτέρων πρεσβυτέρων
αὐτοῦ τοῖς χρόνοις εἰληφέναι λέγεται τὰ ὑπομνήματα· οἱ d
δὲ καὶ αὐτοὶ ἀρχαιότεροι ὄντες αὐτοῦ σχεδὸν τοῖς Μω-
σέως πλησιάζειν χρόνοις εἴρηνται, οὐδὲ αὐτοὶ κατὰ Μω-
σέα γενόμενοι, ἀλλὰ σχεδὸν τοῖς ἐκείνου χρόνοις πλη-
σιάζοντες· ὡς τοσοῦτον πρεσβύτερον εἶναι τὸν Μωσέα
τοῦ Σαγχωνιάθωνος, ὁπόσον ἂν οὗτος λείπηται τῶν αὐ-
τοῦ πρεσβυτέρων, οἳ Μωσεῖ πλησιάζειν ὡμολογήθησαν.
15 Πόσοις δὲ ἄρα ἔτεσιν εἰκὸς ἦν Μωσέα ὑπεράγειν τοὺς
δηλουμένους, ἄπορον εἰπεῖν· διόπερ τοῦτό μοι δοκῶ παρ-
ήσειν. Δοὺς δὲ κατ' αὐτὸν ἐκεῖνον τὸν Σαγχωνιάθωνα
Μωσέα γεγονέναι, καὶ μὴ πρότερον, ὧδε τὸν ἔλεγχον
16 ἐφοδεύσω. Εἴπερ ἐπὶ Σεμιράμεως τῆς Ἀσσυρίων βα-
σιλίδος ὁ Σαγχωνιάθων ἐγνωρίζετο, ἔστω δὲ καὶ Μωσῆς
μηδὲν προάγων, κατὰ δὲ τοῦτον ἠκμακώς, γένοιτ' ἂν οὖν p. 486
17 καὶ αὐτὸς κατὰ Σεμίραμιν. Ἀλλ' ὁ μὲν ἡμέτερος λό-
γος ἐπὶ ταύτης ἐδήλου γενέσθαι τὸν Ἀβραάμ, ὁ δὲ τοῦ

c 12. παλαιότερος] παλαίτερος I. d 3. χρόνοις εἴρηνται] εἴρηνται χρ. C.F.G. 6. πρεσβ. εἶναι] εἶναι πρεσβ. I. τὸν μωσέα] τὸν om. C.F.G.I. Tum μωσῆν B. 7. λείπηται] λείπεται B. 9. ἔτεσιν] ἐστὶν C. πόσους δὲ ἄρα ἐστὶν F.G. 10. ὑπεράγειν—μωσέα om. B. pen. ἔλεγχον] λόγον B. λόγον D. (with ἔλεγχον written above) Tum εἴπερ—Σεμίραμιν om. B. ult. δὲ καὶ] δὲ om. F.

14 choniatho fuerit, necesse est. Atqui eum ab aliis sese adhuc anti-
quioribus commentarios accepisse tradunt, qui etiam ipsi Mosis non
æquales, sed vicini tantum fuisse dicuntur. Sequitur ergo, tanto
saltem intervallo Sanchoniathonem a Mose superari, quanto posterior
15 illis est, quos non nisi Mosis vicinos esse confitentur. Cæterum,
quot annis eosdem antegressus Moses fuerit, quod certo definiri
nequeat, omittendum statuo. Quinetiam, ut demus Sanchoniathonis
æqualem omnino fuisse Mosem, sic tamen colligere atque rem con-
16 ficere liceat. Si regnante in Assyria Semiramide, Sanchoniatho
claruit : Moses certe quidem, ut nihil eo vetustior fuerit, sed prorsus
æqualis, sub ejusdem tamen Semiramidis imperium vixerit, necesse
17 est. Jam, et Abraamum Semiramidis temporibus vixisse antea pro-
bavimus, et Mosem ipsum illa vetustiorem philosophus hic noster

φιλοσόφου παλαιότερον τὸν Μωσέα συνίστησιν. Ἡ δὲ
Σεμίραμις τῶν Τρωϊκῶν ὀκτακοσίοις ὅλοις ἔτεσι δείκνυ-
ται προγενομένη. Καὶ Μωσῆς ἄρα ἔσται τοσούτοις τὰ
18 Τρωϊκὰ προάγων κατὰ τὸν φιλόσοφον. Πρῶτος δὲ
βασιλεύει Ἀργείων Ἴναχος, οὔπω τότε Ἀθηναίων οὔτε
τὴν πόλιν οὔτε τὴν προσηγορίαν ἐχόντων. Ὁ δὲ πρῶ-
τος Ἀργείων ἡγεῖται κατὰ τὸν πέμπτον μετὰ Σεμίραμιν
Ἀσσυρίων βασιλέα, ν′ καὶ ρ′ ὕστερον ἔτεσιν αὐτῆς τε b
καὶ Μωσέως, ἐν οἷς οὐδὲν ἐπίσημον γεγονὸς ἱστορεῖται
παρ᾿ Ἕλλησι. Κατὰ τοῦτο δὲ τοῦ χρόνου παρ᾿ Ἑ-
19 βραίοις ἡγοῦνται οἱ Κριταί. Εἶτ᾿ αὖ πάλιν τριακοσίοις
ἐτῶν ἄλλοις κατώτερον χρόνοις, ἤδη που πλέον ἢ υ′ ἐτῶν
ὅλων συμπληρουμένων ἀπὸ Σεμιράμεως, πρῶτος Ἀθη-
ναίων βασιλεύει Κέκροψ ὁ βοώμενος παρ᾿ αὐτοῖς αὐτό-
χθων, Ἄργους ἡγουμένου Τριόπα, ὃς ἦν ἕβδομος μετὰ
20 τὸν πρῶτον Ἀργεῖον Ἴναχον. Μεταξὺ δὲ τούτων ὁ c
ἐπὶ Ὠγύγου μνημονεύεται κατακλυσμός, πρῶτός τε

p. 486. 6. ὀκτακοσίοις ὅλ. ἔτ. om. B. 7. προγενομένη] προηγου- (προγενομένη) μένη B. προηγούμενος D. ἔσται τοσούτοις] ἔτη τοσοῦτα B. 11. οὐδὲ πρῶτος E. 12. ἡγεῖται] ἡγεῖτο B. b. ἀσσυρίων] ἀργείων B. (ἀσσυρίων) ἀργείων D. 3. Ἕλληνας F. qui mox om. τοῦ. 4. ἡγοῦνται] ἱστοροῦνται B. 5. εἶτ᾿ αὖ—Ἴναχον om. B. τῶν] τριακοσίοις E.F.G.I. Mox ὅλων ἐτῶν G.I. 9. αὐτῶν F. 10. τὸν πρῶτον] τὴν πρώτην E.I.

fuisse confirmat. Trojana vero tempora Semiramis annis integris
octingentis superavit. Ergo totidem illa Moses ex hujus philosophi
18 mente antecesserit. Præterea cum primus apud Argivos Inachus
imperaret, necdum Atheniensibus aut civitas aut nomen erat. Ejus-
dem autem Inachi regnum in quintum a Semiramide Assyriorum
regem incidit, annis post illam atque Mosen centum et quinquaginta,
quibus nihil apud Græcos memoria dignum gestum esse reperitur.
Cæterum eodem temporis, apud Hebræos Judices imperabant.
19 Annis deinde post Semiramidem amplius quadringentis, primus
Athenis regnavit Cecrops, quem indigenam vocant, Triopa regnante
20 Argis, qui septimus ab Inacho regum Argivorum primo fuit. Quo
quidem regum istorum intervallo, Ogygium diluvium contigisse

Ἆπις ἐν Αἰγύπτῳ θεὸς ὠνομάσθη, καὶ Ἰὼ θυγάτηρ Ἰνάχου, ἣν Ἶσιν Αἰγύπτιοι μετονομάσαντες σέβουσι, Προ-
21 μηθεύς τε καὶ Ἄτλας ἐγνωρίζοντο. Ἀπὸ δὲ Κέκροπος ἐπὶ τὴν Ἰλίου ἅλωσιν ἄλλα συνάγεται μικρῷ δέοντα ἔτη υʹ, ἐν οἷς τὰ ἐν Ἕλλησι θαυμάσια μυθολογεῖται, ὁ ἐπὶ Δευκαλίωνος κατακλυσμὸς, καὶ ὁ ἐπὶ Φαέθοντος ἐμπρησμὸς, πολλῶν, ὡς εἰκὸς, φθορῶν γῆς κατὰ τόπους
22 γεγενημένων. Πρῶτος δὲ Κέκροψ λέγεται Ζῆνα κεκληκέναι τὸν θεὸν, μὴ πρότερον οὕτω παρʼ ἀνθρώποις ὠνο- d
μασμένον· ἔπειτα βωμὸν παρʼ Ἀθηναίοις ἱδρῦσαι πρῶτος, καὶ πάλιν πρῶτος Ἀθηνᾶς ἄγαλμα στήσασθαι,
23 ὡς οὐδὲ τούτων ἐκ παλαιοῦ ὑπαρχόντων. Μετὰ δὲ
[286] τοῦτον καὶ οἱ παρʼ Ἕλλησι θεοὶ πάντες γενεαλογοῦνται. Παρʼ Ἑβραίοις δὲ ἐν τούτῳ οἱ ἀπὸ γένους Δαβὶδ ἐβασίλευον, καὶ οἱ μετὰ Μωσέα διέλαμπον προφῆται· ὥστε τὰ πάντα ἀπὸ Μωσέως ἐπὶ τὴν Ἰλίου ἅλωσιν συνάγεσθαι πλεῖον ἢ ἔτη ωʹ, κατὰ τὴν ἐκτεθεῖσαν τοῦ φιλο-
24 σόφου μαρτυρίαν. Ἔτι δὲ πολὺ τῶν Τρωϊκῶν νεώτερα

c 4. Προμηθεύς—γεγενημένων om. B. 5. ἐγνωρίζετο F.G. 9. ὁ ἐπὶ] ὁ om. E F.G. 11. πρῶτος] πρώτως B. d 4. συστήσασθαι] στήσασθαι C.F.G. 11. πλεῖον] πλέον B.D. πλείω C.F.G. Tum ὀκτακόσ. ἔτη C.F.G.I. 12. ἔτι δὲ πολὺ—ἑπτακοσίοις om. B.

narrant, itemque apud Ægyptios primum Apim Deum nominarunt, ac simul Io Inachi filia, quam Isidis nomine colunt Ægyptii, Prome-
21 theus atque Atlas celebrari cœperunt. Jam a Cecrope ad captum Ilium, alii prope quadringenti colliguntur anni, quibus illa Græcorum fabulis decantata miracula, Deucalionis, inquam, diluvium et Phaëthontis incendium contigere; cujus utriusque fingendi occasionem, ex multis, uti verisimile est, crebrisque per ea loca terrarum cladibus
22 arripuerint. Jovem autem ab eodem primum Cecrope deum appellatum esse ferunt, cum nequaquam inter homines id antea nominis habuisset: ab eodem postmodum primam Athenis excitatam aram, primumque Minervæ signum conflatum ac positum fuisse, neque enim pervetustum genus illud rerum extitisse. Itaque post Cecropem
23 tota illa Græcorum numinum genealogia texitur. Apud Hebræos interea, cum Davidis posteri regnabant, tum sequuti Mosem prophetæ florebant. Ita si nostrum hunc philosophum audiamus, a
24 Moyse ad captum Ilium anni amplius octingenti numerentur. Porro

τὰ κατὰ Ὅμηρον καὶ Ἡσίοδον καὶ τοὺς λοιποὺς μνημονεύεται. Χθὲς δὲ καὶ πρώην μετὰ τούτους περὶ τὴν p. 487 πεντηκοστὴν Ὀλυμπιάδα οἱ ἀμφὶ Πυθαγόραν καὶ Δημόκριτον καὶ τοὺς μετὰ ταῦτα φιλοσόφους ὠνομάσθησαν, ἐγγύς που μετὰ τὰ Τρωϊκὰ ἔτεσιν ἑπτακοσίοις.

25 Προτερεῖν ἄρα Μωσῆς καὶ οἱ μετ' αὐτὸν Ἑβραίων προφῆται συνίστανται τῶν παρ' Ἕλλησι φιλοσόφων χιλίοις πεντακοσίοις ἔτεσι, κατὰ τὴν τοῦ δηλωθέντος ἀνδρὸς ὁμολογίαν.

26 Καὶ ταῦτα μὲν ἡμεῖς ἐπιτόμως. Σκέψασθαι δὲ καιρὸς καὶ τὰς τῶν πρὸ ἡμῶν περὶ τῆς αὐτῆς ὑποθέσεως ἀποδείξεις. Γεγόνασι δὴ παρ' ἡμῖν λόγιοι ἄνδρες, καὶ τῶν ἀπὸ παιδείας οὐδενὸς δεύτεροι, τοῖς τε θείοις οὐ b παρέργως καθωμιληκότες, οἳ καὶ τὴν παροῦσαν ὑπόθεσιν ἐπ' ἀκριβὲς διευκρινήσαντες, τῇ παρ' Ἑβραίοις συνέστησαν ἀρχαιολογίᾳ, πλουσίᾳ καὶ ποικίλῃ κατασκευῇ

p. 487. *πεντηκοστὴν*] *γ'* C. *περὶ* om. I. 4. *ἑπτακοσίοις*] *ἑπτακόσια* D. *προτερεῖν*] *καὶ πρ.* C. 5. *καὶ οἱ*] *οἱ* om. F. 11. *δὴ*] *δὲ* C.F.G.I. 12. *λόγιοι ἄνδρες καὶ*] *τινὲς* B. b. *οὐ παρέργως* om. B. qui item om. *καὶ τὴν—διευκρινήσαντες.* 4. *ἀρχαιολογίᾳ*] Seqq. in B. *τὰ γὰρ ἑλληνικὰ τοῖς βαρβάροις συνθέντες καὶ συγκρούσαντες, τὰ παρὰ τοῖς θατέρων χρόνοις πραχθέντα συνεξητάκασι. διὸ καὶ μάλιστα ταῖς αὐτῶν ἡγησάμην δεῖν παραχωρῆσαι φωναῖς τὸν παρόντα λόγον* qui om. rell. 5. *κατασκευῇ κεχ.*] *κεχ. κατασκ.* C.F.G.

longe Trojanis illis temporibus recentiores, Homerum, Hesiodum ac reliquos fuisse constat. Inde nuperi omnino, Pythagoras, Democritus, cæterique deinceps philosophi, circa Olympiadem quinquagesimam, hoc est annis post captum Ilium prope septingentis, emersere.

25 Mosem igitur ac posteriores Mose prophetas, ante omnes Græciæ philosophos annis quingentis supra mille vixisse, ex ejusdem philosophi confessione auferimus.

26 Atque hæc a nobis ita breviter perstricta sunto. Jam tempus est, ut eorum etiam, qui ante nos hac in disputatione versati sunt, argumenta videamus. Homines enimvero apud nos extitere, non diserti modo, sed etiam nulli eruditione secundi, quique plurimum divinis in literis operæ studiique posuerunt. Ii rem istam accurate admodum et enucleate persequuti, antiquitatis Hebraicæ fidem magna

27 κεχρημένοι τῆς ἀποδείξεως. Οἱ μὲν γὰρ ἔκ τινων ὁμο-
λογουμένων ἱστοριῶν τοὺς χρόνους συνελογίσαντο, οἱ
δὲ παλαιοτέροις ἀναγνώσμασι τὴν μαρτυρίαν ἐπιστώ-
σαντο. Καὶ οἱ μὲν Ἑλληνικοῖς, οἱ δὲ καὶ τοῖς τὰ Φοι-
νίκων τά τε Χαλδαίων καὶ Αἰγυπτίων ἀναγράψασι συν-
εχρήσαντο· ὁμοῦ δὲ οἱ πάντες, τὰ Ἑλληνικὰ καὶ τὰ c
βάρβαρα τά τε παρ' αὐτοῖς Ἑβραίοις συναγαγόντες καὶ
τὰς παρὰ πᾶσιν ἱστορίας παραθέντες, θατέρᾳ τε τὴν
ἑτέραν συγκρούσαντες, τὰ παρὰ τοῖς πᾶσιν ὑπὸ τοὺς
28 αὐτοὺς χρόνους πραχθέντα συνεξητάκασιν. Εἶθ' ἕκα-
στος οἰκείαις μεθόδοις τὴν τῶν ἀποδεικνυμένων κατα-
σκευὴν πεποιημένος, σύμφωνον καὶ ὁμολογουμένην τὴν
ἀπόδειξιν εἰσηνέγκαντο. Διὸ καὶ μάλιστα ταῖς αὐτῶν
ἡγησάμην δεῖν παραχωρῆσαι φωναῖς τὸν παρόντα λό-
γον, ὅπως ὁμοῦ τῶν οἰκείων μὴ ἀποστεροῖντο καρπῶν οἱ d
τῶν λόγων πατέρες, καὶ διὰ πλειόνων μαρτύρων, ἀλλὰ

b 9. Ἑλληνικῆς E.F.G. c 4. τε τὴν] τε om. F.G. 6. συνεξητ.] συνεξετ. C. 8. σύμφωνος F. 9. εἰσηνέγκαντο] ἀπηνέγκαντο C.F.G. 10. αὐταῖς] αὐτῶν C.F.G. 11. παραχωρῆσαι] καταχωρίσαι Scaliger. d. ὁμοῦ] ἐμοῦ C.F.G.I. ἀποστέροιντο] ἀποστεροίηντο I.

27 rationum vi ac singulari varietate fecerunt. Alii quippe certis quibusdam ex historiis et omnium consensu approbatis, temporum seriem ordinemque duxerunt: alii suis ipsi testimoniis firmitatem ac robur ex antiquiorum scriptorum auctoritate quæsierunt. Et alii quidem adhæsere Græcis, alii vero ex rerum etiam Phœniciarum, Chaldæarum, et Ægyptiarum historicis argumenta petierunt: at simul universi, Græcis, barbaris, Hebraicisque rebus sub uno collocatis aspectu, omniumque populorum historiis sigillatim inter se propiusque commissis, quæ apud quosque sub idem tempus gesta fuerint,
28 cum aliis alia diligenter expensa contulerunt. Tum suam quique viam ac methodum sequuti, partes suscepti operis singulas ita digesserunt, ut omnes inter sese constanti fuerint ac certa demonstratione complexi. Quocirca locum verbis auctorum ipsissimis hac in disputatione relinquendum putavi, simul ut ne suorum ipsis laborum fructus præripiatur, simul ut suscepta pro veritate defensio, non ex

μὴ δι' ἑνὸς, ὁμοῦ ἡ σύστασις τῆς ἀληθείας ἀναμφίλεκτον λάβοι τὴν ἐπικύρωσιν.

ΑΦΡΙΚΑΝΟΥ

10 Μέχρι μὲν τῶν Ὀλυμπιάδων οὐδὲν ἀκριβὲς ἱστόρηται τοῖς
Ἕλλησι, πάντων συγκεχυμένων, καὶ κατὰ μηδὲν αὐτοῖς τῶν
πρὸ τοῦ συμφωνούντων· αἱ δὲ ἠκρίβωνται πολλοῖς, τῷ μὴ ἐκ
πλείστου διαστήματος, διὰ τετραετίας δὲ τὰς ἀναγραφὰς p. 488
2 αὐτῶν ποιεῖσθαι τοὺς Ἕλληνας. Οὗ δὴ χάριν τὰς ἐνδοξο-
τάτας καὶ μυθώδεις ἐπιλεξάμενος ἱστορίας μέχρι τῆς πρώτης
Ὀλυμπιάδος ἐπιδραμοῦμαι· τὰς δὲ μετὰ ταῦτα συζεύξας κατὰ
χρόνον ἑκάστας, εἴ τινες ἐπίσημοι, ταῖς Ἑλληνικαῖς τὰς Ἑ-
βραϊκὰς, ἐξιστορῶν μὲν τὰ Ἑβραίων, ἐφαπτόμενος δὲ τῶν
Ἑλληνικῶν, ἐφαρμόσω τόνδε τὸν τρόπον· λαβόμενος μιᾶς
πράξεως Ἑβραϊκῆς ὁμοχρόνου πράξει ὑφ' Ἑλλήνων ἱστορη- b
θείσῃ, καὶ ταύτης ἐχόμενος, ἀφαιρῶν τε καὶ προστιθεὶς, τίς
τε Ἕλλην, ἢ Πέρσης, ἢ καὶ ὁστισοῦν τῇ Ἑβραίων συνεχρό-
νισεν, ἐπισημειούμενος, ἴσως ἂν τοῦ σκοποῦ τύχοιμι.

3 Ἑβραίων μὲν οὖν ἡ μετοικία ἐπισημοτάτη, αἰχμαλωτι-

d 3. δὴ] δι' E.F.G. 4. λάβοι] λάβῃ C.D.F.G. 10. ἠκρίβωντο] ἠκρίβωνται B.C.E.F.G.I. 11. τῷ μὴ] τὸ μὴ C.
p. 488. 3. μυθώδεις] μυθιώδεις F. 5. τὰς δὲ μετὰ—ζοροβάβελ om. B. 7. μὲν τὰ] μὲν τὰς C.F.G. 10. Ἑλληνικῆς D. in marg. Ἑβραϊκῆς. b 4. συνεχρόνησεν] συνεχρόνισεν C.E.F.G.I. Vigeri marg.

unius, sed ex plurium testium ore fidem omni dubitatione majorem accipiat. Ordiamur ab Africano.

Vid. Routhii Reliq. Sacr. T. II. p. 155.

10 Ante Olympiadum seriem, inquit ille, Græcorum in historia certi nihil exploratique reperias: usque adeo perturbata sunt omnia, nec ulla secum ex parte consentiunt, quæ antea contigisse memorantur. At in Olympiadibus digerendis accurate multi diligenterque versati sunt, quod non longo intervallo, sed tantum suo cujusque res quadriennio definitas Græci com-
2 prehensasque perscripserint. Quamobrem ex fabulosis illis, quæ ad primam usque Olympiadem fama cæteris et hominum opinione præstiterint, breviter cursimque libatis; quæ postea contigerint, ea si modo insignia videbuntur, ita cum Græcis Hebræa contexam, ut Græcis obiter duntaxat perstrictis, historici more fusius Hebræa pertexam. In quo ejusmodi futura mea ratio est; ut quoties Hebraicam historiam, quæ cum Græca aliqua tempore conveniat, tractandam suscepero, toties in ea constanter hærens, detractis, ubi res tulerit, adjectisve nonnullis, quinam aut Græcorum, aut Persarum, aut populi cujusvis alterius, ejusdem tempore floruerit, aperiam: sic enim ejus me demum quod propositum mihi est, compotem futurum existimo.

3 Primum igitur celebratissima illa Hebræorum migratio, cum a Nabu-

ΑΦΡΙΚΑΝΟΥ

σθέντων ὑπὸ Ναβουχοδονόσορ βασιλέως Βαβυλῶνος, παρ-
έτεινεν ἔτη ο', καθὰ προεφήτευσεν Ἱερεμίας. Τοῦ δὴ Να-
4 βουχοδονόσορ μνημονεύει Βηρωσσὸς ὁ Βαβυλώνιος. Μετὰ
[287] δὲ τὰ ο' τῆς αἰχμαλωσίας ἔτη Κῦρος Περσῶν ἐβασίλευσεν, ᾧ c
ἔτει Ὀλυμπιὰς ἤχθη νε', ὡς ἐκ τῶν Βιβλιοθηκῶν Διοδώρου,
καὶ τῶν Θαλλοῦ καὶ Κάστορος ἱστοριῶν, ἔτι δὲ Πολυβίου
καὶ Φλέγοντός ἐστιν εὑρεῖν, ἀλλὰ καὶ ἑτέρων, οἷς ἐμέλησεν
5 Ὀλυμπιάδων· ἅπασι γὰρ συνεφώνησεν ὁ χρόνος. Κῦρος δ'
οὖν τῷ πρώτῳ τῆς ἀρχῆς ἔτει, ὅπερ ἦν Ὀλυμπιάδος νε' ἔτος
τὸ πρῶτον, διὰ Ζοροβάβελ, καθ' ὃν Ἰησοῦς ὁ τοῦ Ἰωσεδὲκ,
τὴν πρώτην καὶ μερικὴν ἀπόπεμψιν ἐποιήσατο τοῦ λαοῦ,
πληρωθείσης τῆς ἑβδομηκονταετίας, ὡς ἐν τῷ Ἔσδρᾳ παρὰ d
6 τοῖς Ἑβραίοις ἱστόρηται. Αἱ μὲν οὖν ἱστορίαι συντρέ-
χουσι, Κύρου τε βασιλείας, καὶ αἰχμαλωσίας τέλους· καὶ
κατὰ τὰς Ὀλυμπιάδας οὕτως εἰς ἡμᾶς εὑρεθήσεται συμφωνή-
σαντα· τούτοις γὰρ ἑπόμενοι, καὶ τὰς λοιπὰς ἱστορίας κατὰ
7 τὸν αὐτὸν λόγον ἀλλήλαις ἐφαρμόσομεν. Τὰς δὲ πρὸ τού-
των ὧδέ πως τῆς Ἀττικῆς χρονογραφίας ἀριθμουμένης, ἀπὸ

b 7. *βασιλέως βαβ.*] *βαβ. βασ.* C. 8. *ο' καθὰ*] *ο' τῆς καθὰ* F. 11. *ἐβασίλευσεν* E.F.G.I. c 2. *διοδώρου* om. C. qui mox *θαλοῦ* cum F.G.I. *διοδώρου βιβλ.* F.G. 7. *ἔτος*] *ἔτους* C. d. *ἐν τῷ*] *ἐν* om. F.G. 2. *ἱστόρηται*] *ἱστορειται* (*ηται* supra) D. 4. *καὶ κατὰ*] *καὶ τὰ κατὰ* Routhius. 7. *τὰς δὲ*] *τὰ δὲ* Routh. 8. *ὧδέ πως*] *ὡδί πως* B.D.F.G.I.

chodonosore Babylonis rege in servitutem abducti sunt, annos tenuit sep-
tuaginta, uti futurum Hieremias ante prædixerat. Porro Nabuchodono-
4 soris Berosus quoque Babylonius meminit. Exactis illis septuaginta cap-
tivitatis annis, Cyrus Persicum regnum obtinuit, cum Olympias ageretur
quinquagesima quinta, uti ex Diodori Bibliotheca, Thalli et Castoris, nec
non Polybii et Phlegontis historiis, auferre licet; aliisque præterea, qui
Olympiadum seriem texuerunt: omnibus enim in eo tempore definiendo
5 convenit. Cyrus igitur anno imperii sui primo, qui Olympiadis quinqua-
gesimæ quintæ primus item annus erat, per Zorobabelem, cujus etiam
æqualis idem et socius erat Jesus Josedeci filius, expleta jam septuaginta
annorum summa, populi Judaici partem aliquam primum dimisit, ut apud
6 Esdram Hebræum historicum legimus. Et quoniam regni Cyri prin-
cipium cum Judaicæ captivitatis fine, historicorum omnium consensione
concurrit, similis etiam in Olympiadum annis, cum utriusque, tum cæte-
rorum deinceps convenientia ad nos usque ducitur, quippe qui ab eo veluti
cardine progressi, consequentes pariter historias eadem inter sese ratione
7 commissuri contexturique simus. At in superiorum consignandis tempo-
ribus, si Atticæ chronographiæ rationem sequi libet; ab Ogyge, quem

ΑΦΡΙΚΑΝΟΥ

Ὠγύγου τοῦ παρ' ἐκείνοις αὐτόχθονος πιστευθέντος, ἐφ' οὗ γέγονεν ὁ μέγας καὶ πρῶτος ἐν τῇ Ἀττικῇ κατακλυσμὸς Φορωνέως Ἀργείων βασιλεύοντος, ὡς Ἀκουσίλαος ἱστορεῖ, μέχρι πρώτης Ὀλυμπιάδος, ὁπόθεν Ἕλληνες ἀκριβοῦν τοὺς χρόνους ἐνόμισαν, ἔτη συνάγεται χίλια εἴκοσιν, ὡς καὶ τοῖς p. 489
8 προειρημένοις συμφωνεῖ, καὶ τοῖς ἑξῆς δειχθήσεται. Ταῦτα γὰρ Ἀθηναίων ἱστοροῦντες, Ἑλλάνικός τε καὶ Φιλόχορος οἱ τὰς Ἀτθίδας, οἵ τε τὰ Σύρια Κάστωρ καὶ Θαλλὸς, καὶ τὰ πάντων Διόδωρος ὁ τὰς Βιβλιοθήκας, Ἀλέξανδρός τε ὁ Πολυΐστωρ, καί τινες τῶν καθ' ἡμᾶς ἀκριβέστερον ἐμνήσθησαν, καὶ τῶν Ἀττικῶν ἁπάντων. Εἴ τις οὖν ἐν τοῖς χιλίοις εἴκοσιν ἔτεσιν ἐπίσημος ἱστορία τυγχάνει, κατὰ τὸ χρήσιμον ἐκλεγήσεται.

9 Καὶ μετὰ βραχέα ἐπιλέγει·

Φαμὲν τοίνυν ἔκ τε τοῦδε τοῦ συγγράμματος, Ὤγυγον, ὃς b
τοῦ πρώτου κατακλυσμοῦ γέγονεν ἐπώνυμος, πολλῶν διαφθαρέντων διασωθεὶς, κατὰ τὴν (ἀπ') Αἰγύπτου τοῦ λαοῦ μετὰ

p. 489. συνάγεται] συνάγονται B. Mox Routhius, ὃ καὶ τ. π. συμφωνεῖν. 3. Ἀθηναίων] οἱ τὰ Ἀθηναίων Routhius, collato Justin. Mart. Cohort. c. 9. qui mox Φιλ. ὁ τὰς Ἀτθ. et καὶ ὁ τὰ πάντων. 4. τε καὶ] τε om. F. 5. οἵτε τὰ—Αἴγυπτον om. B. θαλλὸς] θαλὸς C.F.G. 6. τῶν βιβλιοθηκῶν D. 7. τε ὁ] τε καὶ ὁ F. καί τινες] οἵτινες Routhius. 12. ἐκ τε] ἔκ γε Routhius ex Syncello p. 148. b 4. Αἴγυπτον] ἀπ' Αἰγύπτου Routhius ex Syncello, et sic Scaliger. Αἰγύπτου F.G.

indidem satum esse credunt, sub quo ingens illud primumque diluvium, regnante Argis Phoroneo, Atticam invasisse Acusilaus auctor est, ad primam usque Olympiadem, unde Græci accuratam sibi temporum seriem ducendam putaverunt, anni colliguntur viginti supra mille; qui numerus et cum superioribus optime congruit, et ex sequentium declaratione con-
8 stabit. Hæc enim Hellanicus et Philochorus, qui res Atticas, itemque Castor et Thallus, qui Syriacas prosequuti sunt, quique gentium omnium historiam in Bibliothecam suam inclusit Diodorus, et Alexander Polyhistor memoriæ prodiderunt: quorum etiam, e nostris præterea nonnulli, diligentius quam Attici omnes, accuratiusque meminere. Itaque, si quæ mille ac viginti annorum spatio paulo insignior occurret historia, eam commode suo loco dabimus.

9 Idemque paucis interjectis,

Volumus igitur, inquit, scripti etiam hujus auctoritate freti, Ogygem illum, qui quod haustis aquarum vi quamplurimis, salvus et incolumis evaserat, primo diluvio nomen dedit, circa tempus illud, quo populus ex

ΑΦΡΙΚΑΝΟΥ

10 Μωσέως ἔξοδον γεγενῆσθαι, τόνδε τὸν τρόπον. Ἐπὶ τὴν πρώτην Ὀλυμπιάδα τὴν προειρημένην ἀπὸ Ὠγύγου ἔτη δειχθήσεται ͵ακ΄· ἀπὸ δὲ τῆς πρώτης Ὀλυμπιάδος ἐπὶ τῆς νε΄ ἔτος πρῶτον, τουτέστιν ἐπὶ Κύρου βασιλείας ἔτος πρῶτον, ὅπερ ἦν αἰχμαλωσίας τέλος, ἔτη σιζ΄. Ἀπὸ Ὠγύγου τοίνυν ἐπὶ Κῦρον ἔτη ͵ασλζ΄. Εἰ δ' ἀναφέροι τις ἐπιλογιζόμενος c ἀπὸ τοῦ τέλους τῆς αἰχμαλωσίας ͵ασλζ΄ ἔτη, κατὰ ἀνάλυσιν εὑρίσκεται ταυτὸν διάστημα ἐπὶ τὸ πρῶτον ἔτος τῆς ἀπὸ Αἰγύπτου διὰ Μωσέως ἐξόδου Ἰσραὴλ, ὅσον ἀπὸ τῆς πεντηκοστῆς πέμπτης Ὀλυμπιάδος ἐπὶ Ὤγυγον, ὃς ἔκτισεν Ἐλευσῖνα. Ὅθεν ἐπισημότερόν ἐστι καταλαβεῖν τὴν Ἀττικὴν χρονογραφίαν.

11 Καὶ μεθ' ἕτερα·

b 5. πρώτην etc.] τὴν πρώτην ἔτη δειχ. B. τὴν ά C.F.G. 7. πρώτης] τῆς ᾱ C.F.G. qui mox ἓν pro πρῶτον. 9. βασιλέως] βασιλείας C.D.F.G.I. 10. τέλος] ἔτος C.F.G. 11. ἀναφέρει] ἀναφέροι B. C.E.F.G. c 3. τὸ πρῶτον] τὸ om. B.C.F.G. 6. ὤγυγον] ὠγύγου B. 7. ἐπισημώτερον] ἐπισημότερον B.C.I. 8. χρονογραφίαν] Post h. v. addit Scaliger in marg.: ὀλίγα δὲ τούτων ἐν Ἀσσυρίοις λόγοις ἀρχαιότερα μυθεύεται. Πρῶτος ἦρξε Νίνος ἁπάσης τῆς Ἀσίας πλὴν Ἴνδων ἔτεσι τριακοσίοις οὐ πολὺ πρότερον Ὠγύγου. τοῦτον διεδέξατο Σεμίραμις ἡ διαβόητος, ἣ πολλαχοῦ τῆς γῆς ἤγειρε χώματα προφάσει μὲν διὰ τοὺς κατακλυσμούς· τὰ δ' ἦν ἄρα τῶν ἐρωμένων ζώντων κατορυσσομένων οἱ τάφοι, ὡς Κτησίας ἱστορεῖ· ὥστε οὐδὲν ἀξιομνημόνευτον Ἕλλησιν ἱστορεῖται πρὸ Ὠγύγου, πλὴν Φορωνέως τοῦ συγχρονίσαντος αὐτῷ, καὶ Ἰνάχου τοῦ Φορωνέως πατρὸς, ὃς πρῶτος Ἄργους ἐβασίλευσεν, ὡς Ἀκουσίλαος ἱστορεῖ. τούτου θυγατὴρ Ἰὼ, ἣν Ἶσιν μετονομάσαντες σέβουσιν. καὶ τοσαῦτα μὲν πρὸ Ὠγύγου. κατὰ δὲ τοὺς τούτου χρόνους ἐξῆλθεν Μωσῆς ἀπ' Αἰγύπτου. Quæ sumpta sunt ex G. Syncello p. 64 b. ed. Paris.

Ægypto cum Mose migravit, extitisse. Id quod hunc in modum conficimus. Ab Ogyge ad primam Olympiadem anni putantur viginti supra mille: ab Olympiade prima ad primum quinquagesimæ quintæ annum, qui primus item Cyri regis annus est, idemque captivitatis Judaicæ finis, anni septemdecim supra ducentos: ergo ab Ogyge ad Cyrum usque, anni triginta septem supra mille ac ducentos omnes colliguntur. Jam, qui sursum versus ab exitu captivitatis annos retexere voluerit, is triginta septem supra mille ac ducentos revolvendo numerabit, hoc est idem prorsus intervallum ad eum usque annum, quo primum ex Ægypto per Moysem eductus Israel est, quod abs quinquagesima quinta Olympiade ad Ogygem, qui Eleusinem condidit, excurrere dictum est. Atque inde quidem insignius Atticæ chronologiæ principium duci potest.

11 Iterumque post alia quædam.

Καὶ τοσαῦτα μὲν πρὸ Ὠγύγου. Κατὰ δὲ τοὺς τούτου ΑΦΡΙΚΑΝΟΥ
χρόνους ἐξῆλθε Μωσῆς ἀπ' Αἰγύπτου· καὶ ὡς οὐκ ἄπιστον
12 τότε ταῦτα συμβῆναι, δείκνυμεν οὕτως. Ἀπὸ τῆς ἐξόδου
Μωσέως ἐπὶ Κῦρον, ὃς ἐβασίλευσε μετὰ τὴν αἰχμαλωσίαν, d
ἔτη ͵ασλζ'. Μωσέως γὰρ ἔτη τὰ λοιπὰ τεσσαράκοντα·
Ἰησοῦ τοῦ μετ' ἐκεῖνον ἡγησαμένου, ἔτη κε'· πρεσβυτέρων
ἔτη λ' τῶν μετὰ Ἰησοῦν Κριτῶν· τῶν τε ἐν τῇ βίβλῳ τῶν
Κριτῶν περιεχομένων, ἔτη υϛ'. Ἱερέων δὲ Ἡλεὶ καὶ Σαμουὴλ ἔτη ϛ'. Τῶν δὲ ἑξῆς βασιλέων Ἑβραίων ἔτη τετρακόσια ϛ'. (Τῆς δ' αἰχμαλώσεως ἑβδομήκοντα) ἧς τὸ τελευταῖον ἔτος ἦν Κύρου βασιλείας ἔτος πρῶτον, ὡς προειρήκα-
13 μεν. Ἐπὶ δὲ τὴν πρώτην Ὀλυμπιάδα ἀπὸ Μωσέως ἔτη ͵ακ', p. 490
εἴπερ ἐπὶ πεντηκοστῆς πέμπτης ἔτος πρῶτον ἔτη ͵ασλζ'·
14 κἂν τοῖς Ἑλληνικοῖς συνέδραμεν ὁ χρόνος. Μετὰ δὲ Ὤγυγον, διὰ τὴν ἀπὸ τοῦ κατακλυσμοῦ πολλὴν φθορὰν, ἀβασί-

c 10. ἀπ' Αἰγύπτου Μωσῆς I. 11. καὶ ὡς] ὡς om. C.F.G. Mox τότε om. B. 12. συμβῆναι] συμβαίνειν C.G. d 2. μωσέως γὰρ ἔτη] ἔτη γὰρ Μωσ. B. 3. τὰ λοιπὰ ἔτη I. 4. ἔτη κε'] ἔτη om. C. F.G.I. κατ' E. pro μετ'. κε'] f. κζ' Routh. 5. ἰησοῦ] ἰησοῦν B. C.F. τῶν δὲ] τῶν τε B.C.F.G. κριτῶν δὲ τῶν Clintonus F. H. t. I. p. 308. 7. ἱερέων—τετρακόσια ϛ om. B.I. 9. τῆς δ'] Hæc verba excidisse existimat Vigerus. εἶτα τῆς αἰχμαλωσίας ō addit Scaliger. 10. ἔτος πρῶτον] πρῶτον om. B.

p. 490. πρώτης Ὀλυμπιάδος] πρώτην Ὀλυμπιάδα C.E.F.G.I. 2. εἴπερ ἐπὶ τὴν πεντ. πέμπτον ἔτος E. πέμπτης] πέμπτον I. 3. κἂν] καὶ F. 4. ὤγυγον] τὸν ὤγ. B.

Verum de tempore Ogygem antegresso hactenus. Cæterum illius tempore, excessit ab Ægypto Moses, id quod veri quam simile sit, hunc in
12 modum ostendimus. Ab exitu Mosis ad Cyrum, qui post captivitatem regnavit, anni putantur mille ac ducenti cum triginta septem. Mosis enim reliqui ab egressu anni quadraginta sunt: Jesu, qui secundum illum populo deducendo præfuit, quinque ac viginti: seniorum, qui post Jesum Judices fuere, triginta: Judicum omnium, qui proprio ipsorum libro continentur, nonaginta supra quadringentos: sacerdotum Eli et Samuel, nonaginta: consequentium regum Hebræorum, nonaginta supra quadringentos, sequuntur captivitatis septuaginta: cujus postremus annus, regni
13 Cyri primus fuit, ut jam ante diximus. Jam a Mose ad Olympiadem primam anni fluunt viginti supra mille, cum ab eodem ad quinquagesimæ quintæ annum primum, mille ducenti cum triginta septem numerentur, in
14 quo nobis etiam cum Græcorum temporibus optime convenit. At vero post Ogygem, quod ingens ab illo diluvio consequuta vastitas esset, quæ nunc Attica dicitur, ea sine regibus annos centum et octoginta novem, ad Ce-

ΑΦΡΙΚΑΝΟΥ

λευτος ἔμεινεν ἡ νῦν Ἀττικὴ μέχρι Κέκροπος ἔτη ρπθ'. Τὸν
γὰρ μετὰ Ὤγυγον Ἀκταῖον, ἢ τὰ πλασσόμενα τῶν ὀνομά-
[288] των, οὐδὲ γενέσθαι φησὶ Φιλόχορος.

15 Καὶ αὖθις·

Ἀπὸ Ὠγύγου τοίνυν ἐπὶ Κῦρον, ὁπόσα ἀπὸ Μωσέως ἐπὶ
τὸν αὐτὸν χρόνον, ἔτη ͵ασλζ'. Καὶ Ἑλλήνων δέ τινες ἱστο- b
ροῦσι κατὰ τοὺς αὐτοὺς χρόνους γενέσθαι Μωσέα· Πολέμων
μὲν ἐν τῇ πρώτῃ τῶν Ἑλληνικῶν ἱστοριῶν λέγων, ἐπὶ Ἄπι-
δος τοῦ Φορωνέως μοῖρα τοῦ Αἰγυπτίων στρατοῦ ἐξέπεσεν
Αἰγύπτου, οἳ ἐν τῇ Παλαιστίνῃ καλουμένῃ Συρίᾳ οὐ πόρρω
16 Ἀραβίας ᾤκησαν, αὐτοὶ δηλονότι οἱ μετὰ Μωσέως. Ἀπίων
δὲ ὁ Ποσειδωνίου, περιεργότατος γραμματικῶν, ἐν τῇ κατὰ
Ἰουδαίων βίβλῳ, καὶ ἐν τῇ τετάρτῃ τῶν ἱστοριῶν φησὶ, κατὰ
Ἴναχον Ἄργους βασιλέα, Ἀμώσιος Αἰγυπτίων βασιλεύον-
17 τος, ἀποστῆναι Ἰουδαίους, ὧν ἡγεῖσθαι Μωσέα. Μέμνηται c
δὲ καὶ Ἡρόδοτος τῆς ἀποστασίας ταύτης καὶ Ἀμώσιος ἐν τῇ
δευτέρᾳ· τρόπῳ δέ τινι καὶ Ἰουδαίων αὐτῶν, ἐν τοῖς περι-

a 9. Φιλόχορος] Φιλόχωρος C. 11. αὐτὸν om. F. ἔτη om. I. b. αὐτοὺς] αὐτοῦ I. 2. Πολέμων μὲν] μὲν excidit ex ed. Viger. 4. τῶν Αἰγ. E.I. 6. ἀραβίας] συρίας B. 7. ᾤκησαν] ὤκισαν D. 8. ἀπίων—παραλλαγὴ om. B. 9. ἐν τοῖς κατὰ Ἰουδαίων φησι D. c. Ἡρόδοτος] Vid. Wesseling. ad II. 162. ἀποστάσεως (ἀποστασίας) D. et mox Ἄμωσις.

cropem usque permansit. Actæum enim illum, qui post Ogygem recensetur, quæque deinceps finguntur nomina, Philochorus ne extitisse quidem omnino confirmat.

15 Et rursus :

Ergo ab Ogyge, inquit, ad Cyrum usque tantundem numeres, quantum
ad eundem a Mose, hoc est annos ducentos et triginta septem supra mille.
Et vero Græcorum sane nonnulli Mosem sub eadem tempora vixisse
testantur. Nam Polemo quidem, libro Græcarum historiarum primo,
conceptis verbis habet, Apidis Phoronei filii tempore, exercitus Ægyptiaci
partem sese ab Ægypto subduxisse, atque in Palæstina, quam Syriam
vocant, haud procul ab Arabia consedisse : illos nimirum ipsos intelligens,
16 qui Mose duce profecti sunt. Apio vero Posidonii filius, idemque grammaticorum omnium curiosissimus, libro adversus Judæos, et historiarum
quarto scribit, Inacho Argis regnante, Judæos duce Mose, ab Amosi
17 Ægyptiorum rege defecisse. Cujus etiam defectionis, simulque Amosis,
libro secundo Herodotus meminit : imo et ipsorum quoque Judæorum,

ΑΦΡΙΚΑΝΟΥ

τεμνομένοις αὐτοὺς καταριθμῶν, καὶ Ἀσσυρίους τοὺς ἐν τῇ
18 Παλαιστίνῃ ἀποκαλῶν, τάχα δι' Ἀβραάμ. Πτολεμαῖος δὲ ὁ Μενδήσιος, τὰ Αἰγυπτίων ἀνέκαθεν ἱστορῶν, ἅπασι τούτοις συντρέχει· ὥστε οὐδ' ἐπίσημος ἐπὶ πλέον ἡ τῶν χρόνων
19 παραλλαγή. Σημειωτέον δέ, ὡς ὅ τι ποτὲ ἐξαίρετον Ἕλλησι δι' ἀρχαιότητα μυθεύεται, μετὰ Μωσέα τοῦθ' εὑρίσκε- d ται, κατακλυσμοί τε, καὶ ἐκπυρώσεις, Προμηθεύς, Ἰώ, Εὐρώπη, Σπαρτοὶ, Κόρης ἁρπαγὴ, μυστήρια, νομοθεσίαι, Διονύσου πράξεις, Περσεύς, ἆθλοι Ἡράκλειοι, Ἀργοναῦται, Κένταυροι, Μινώταυρος, τὰ περὶ Ἴλιον, Ἡρακλειδῶν κάθο-
20 δος, Ἰώνων ἀποικία, καὶ Ὀλυμπιάδες. Ἔδοξε δή μοι τῆς Ἀττικῆς βασιλείας τὸν προειρημένον ἐκτιθέναι χρόνον, παρατιθέναι μέλλοντι ταῖς Ἑβραϊκαῖς ἱστορίαις τὰς Ἑλληνικάς. Ἐξέσται γὰρ τῷ βουλομένῳ, παρ' ἐμοῦ τὴν ἀρχὴν κομιζομένῳ, λογίζεσθαι τὸν ἀριθμὸν ὁμοίως ἐμοί.

21 Οὐκοῦν τῶν χιλίων καὶ εἴκοσι ἐτῶν, τῶν μέχρι πρώτης p. 491 Ὀλυμπιάδος ἀπὸ Μωσέως τε καὶ Ὠγύγου ἐκκειμένων, πρώτῳ μὲν ἔτει τὸ Πάσχα καὶ τῶν Ἑβραίων ἔξοδος ἡ ἀπ' Αἰγύπτου, ἐν δὲ τῇ Ἀττικῇ ὁ ἐπὶ Ὠγύγου γίνεται κατακλυσμός·

c 6. δὲ om. F. d. εὑρίσκεσθαι E. τε καὶ] τε om. I. 4. διονύσου] διονυσίου B. Mox ἆθλοι Ἡρ. ante Ἀργον. in B.C.E.F.G.I. et sic edidi. Vulgo post Ἴλιον. 8. δέ μοι] δή μοι B.C.G.I.
p. 491. 3. τὸ πάσχα] τῷ π. B.

quos in circumcisorum classem reponit, ac Palæstinæ Assyrios nominat,
18 ducta fortassis ex Abraamo utriusque caussa. Quibuscum omnibus Ptolemæo quoque Mendesio, qui ab ultimis usque temporibus Ægyptiorum ducit historiam, ita convenit, ut inter ipsos nulla fere nisi levissima tem-
19 porum differentia notari possit. Cæterum, hic observandum etiam est, quicquid paulo rarius ob vetustatem Græci fabulantur, id omne Mose posterius inveniri, diluvia, incendia, Prometheum, Io, Europam, * Proserpinæ raptum, mysteria, legum sanctiones, Bacchi gesta, Perseum, Argonautas, Centauros, Minotaurum, res Trojanas, Herculis certamina, Hera-
20 clidarum reditum, Ionum migrationem, et Olympiadas. Ac mihi quidem Græcas historias cum Hebraicis committere statuenti, ea potissimum Attici regni tempora describere visum est. Sic enim cuivis omnino liceat, qui modo principium ex meis ducere voluerit, eandem mecum in colligendo numero rationem inire.

21 Illorum igitur mille ac viginti annorum, quos ab Mose et Ogyge ad primam usque Olympiadem fluxisse diximus, anno primo, uti Hebræorum Pascha, et discessus ab Ægypto, sic Ogygium in Attica diluvium contigit.

ΑΦΡΙΚΑΝΟΥ

22 καὶ κατὰ λόγον. Τῶν γὰρ Αἰγυπτίων ὀργῇ Θεοῦ χαλάζαις τε καὶ χειμῶσι μαστιζομένων, εἰκὸς ἦν μέρη τινὰ συμπάσχειν τῆς γῆς, ὅτι τε Ἀθηναίους τῶν αὐτῶν Αἰγυπτίοις ἀπολαύειν εἰκὸς ἦν, ἀποίκους ἐκείνων ὑπονοουμένους, ὥς φασιν
23 ἄλλοι τε, καὶ ἐν τῷ Τρικαράνῳ Θεόπομπος. Ὁ δὲ μεταξὺ χρόνος παραλέλειπται, ἐν ᾧ μηδὲν ἐξαίρετον Ἕλλησιν ἱστό- b ρηται. Μετὰ δὲ τέσσαρα καὶ ἐννενήκοντα ἔτη ἦν Προμηθεύς, ὥς τινες, ὃς πλάσσειν ἀνθρώπους ἐμυθεύετο· σοφὸς γὰρ ὤν, εἰς παιδείαν αὐτοὺς ἀπὸ τῆς ἄγαν ἰδιωτείας μετέπλαττε.

Ταῦτα μὲν ὁ Ἀφρικανός. Μεταβῶμεν δ' ἡμεῖς ἐφ' ἕτερον.

II

ΤΑΤΙΑΝΟΥ

Νῦν δὲ προσήκειν μοι νομίζω παραστῆσαι πρεσβυτέραν c τὴν ἡμετέραν φιλοσοφίαν τῶν παρ' Ἕλλησιν ἐπιτηδευμάτων. Ὅροι δ' ἡμῖν κείσονται Μωσῆς καὶ Ὅμηρος. Τῷ γὰρ ἑκάτερον αὐτῶν εἶναι παλαίτατον, καὶ τὸν μέν, ποιητῶν καὶ

a 6. καὶ κατὰ λόγον om. B. 7. χειμῶσι] χειμῶνι B. χειμόσι C. 8. μαστιζομένων] μαστιγομένων F. 9. ὅτι τε] ὅτε Syncell. ἔτι τε conj. Routh. ἴσ. τοὺς Vigeri margo. 10. ἀπολαύειν εἰκὸς ἦν] εἶκος ἦν ἀπ. C.F.G. 11. ἐν τῷ τρικ.—ἔτη ἦν om. B. Τρικαρήνῳ] Τρικαράνῳ F.G. Syncell. Hic non fabulæ titulus est sed historici operis inscriptio, monente Meinekio Hist. Crit. Com. Gr. p. 243. b 2. τέσσαρα] μ' C. 3. Προμηθεὺς] ὁ Πρ. B. 5. μετέπλαττε] μετέπλασε C.F.G. 6. μὲν οὖν] μὲν ὁ C.F.G.I. οὖν om. B. qui mox μεταβατέον δ' ἐφ' ἕτερον. Desunt in B. seqq. capita hujus libri. ὁ Ἀφ. et deinde μεταβατέον D. ὁ Ἀφρ. E. c 4. ἐπιτηδευτῶν] ἐπιτηδευμάτων C.D.F.G. 6. τῷ γὰρ] τὸ γὰρ C.D. Mox τῶν D. Tum εἶναι παλ. αὐτῶν I.

22 Et convenienter id quidem. Nam cum Ægyptios grandinibus ac tempestatibus Dei præpotentis ira percelleret, fieri vix poterat, quin simul in quasdam terræ partes calamitatis inde aliquid redundaret. Ac præsertim Athenienses Ægyptiacæ cladis partem aliquam subire verius erat, quos Ægyptiorum coloniam habitos esse, cum alii, tum vero Theopompus in
23 Tricareno commemorat. Tempus inde medium prætermissum est, quod in eo nihil a Græcis memoria dignum referatur. Post annos vero quatuor et nonaginta, ut nonnulli tradunt, Prometheus extitit, quem, quod homines ad disciplinæ cultum ab nimia simplicitate solerter ingenioseque traduxerit, homines propterea finxisse fabulantur.

Tatian. c. 31. p. 168. ed. Paris. 1742.

Hactenus Africanus. Jam vero Tatianum audiamus.

Jam, inquit, agendum nobis id videtur, ut nostram quoque philosophiam exquisitis illis Græcorum artibus antiquiorem esse demonstremus. Qua in re Mosem et Homerum summos veluti cardines terminosque statuemus.
II Cum enim sit uterque vetustissimus, et alter quidem poetas et historicos

ἱστορικῶν εἶναι πρεσβύτατον, τὸν δὲ πάσης σοφίας βαρβά- TATIANOY
ρου ἀρχηγὸν, καὶ ὑφ' ἡμῶν νῦν εἰς σύγκρισιν παραλαμβα-
2 νέσθωσαν. Εὑρήσομεν γὰρ οὐ μόνον τῆς Ἑλλήνων παιδείας d
τὰ παρ' ἡμῖν, ἔτι δὲ καὶ τῆς τῶν γραμμάτων εὑρέσεως ἀνώ-
τερα· μάρτυράς τε οὐ τοὺς οἴκοι παραλήψομαι, βοηθοῖς δὲ
μᾶλλον Ἕλλησι καταχρήσομαι. Τὸ μὲν γὰρ ἄγνωμον, ὅτι
μηδ' ὑφ' ὑμῶν παράδεκτον· τὸ δὲ, ἂν ἀποδεικνύηται, θαυ-
[289] μαστὸν, ὁπότ' ἂν ὑμῖν διὰ τῶν ὑμετέρων ὅπλων ἀντερείδων
3 ἀνυπόπτους καθ' ὑμῶν τοὺς ἐλέγχους παραλαμβάνω. Περὶ
γὰρ τῆς Ὁμήρου ποιήσεως γένους τε αὐτοῦ καὶ χρόνου καθ'
ὃν ἤκμασε προηρεύνησαν πρεσβύτατοι μὲν Θεαγένης τε ὁ
Ῥηγῖνος κατὰ Καμβύσην γεγονὼς, καὶ Στησίμβροτος ὁ Θά-
σιος, καὶ Ἀντίμαχος ὁ Κολοφώνιος, Ἡρόδοτός τε Ἁλικαρ-
νασεὺς, καὶ Διονύσιος Ὀλύνθιος· μετὰ δὲ ἐκείνους Ἔφορος ὁ p. 492
Κυμαῖος, καὶ Φιλόχορος ὁ Ἀθηναῖος, Μεγακλείδης τε καὶ
Χαμαιλέων οἱ Περιπατητικοί· ἔπειτα γραμματικοὶ, Ζηνόδο-
τος, Ἀριστοφάνης, Καλλίμαχος, Κράτης, Ἐρατοσθένης,
4 Ἀρίσταρχος, Ἀπολλόδωρος. Τούτων δὲ, οἱ μὲν περὶ Κρά-

c 7. *πρεσβύτατον*] *πρεσβύτερον* D. 9. *ἡμῶν*] *ἡμῶν νῦν* C.D.F.G.I. 10. *οὐ μόνον* om. E. qui statim *τῆς τῶν* Ἑ. d. *ἐστι* D. 3. *τε*] *δὲ* F.G. 5. *ὑμῶν*] *ἡμῶν* D.F. 6. *ἀποδεικνύηται*] *ἀποδείκνυται* C.F.G. *ἀναποδείκνυται* D. 7. *ἡμῖν—ἡμέτερον* D. pen. *στησύμβ.*] *στησίμβ.* C.D.G.I. Mox reposui Ἀντίμαχος ex Tatiano pro Καλλίμαχος.
p. 492. 2. Κυμαῖος] Κυμβαῖος E. 3. *χαμελέων*] *χαμαιλέων* C.F.G.I. *χαμελεων* (superscript *αι*) D.

omnes tempore antecedat, alter vero barbaræ omnis sapientiæ dux prin-
2 cepsque fuerit : juvat etiam amborum contentionem instituere. Enimvero non doctrina modo Græcorum, sed ipsa quoque literarum inventione res nostras priores esse cognoscemus. Neque tamen domesticos eam in rem testes dabimus, sed Græcorum ipsorum auctoritate abutemur. Nam ut illud minus consultum foret, quod minime vobis probaretur; ita hoc si efficere modo poterimus, singulare prorsus egregiumque futurum est, ut vestris vos armis oppugnando, argumentis extra suspicionem omnem
3 positis urgeamus. Ac de Homeri quidem poesi, genereque simul ac tempore quo floruerit, omnium antiquissimi Rheginus ille Theagenes, qui sub Cambyse vixit, Stesymbrotus Thasius, Callimachus Colophonius, Herodotus Halicarnassensis, et Dionysius Olynthius jam diligenter ante quæsierunt. Quibus eadem in opera successere Ephorus Cumæus, Philochorus Atheniensis, Megaclides et Chameleon Peripatetici : tum Zenodotus, Aristophanes, Callimachus, Crates, Eratosthenes, Aristarchus, Apollodorus,
4 grammatici omnes. Quos inter, Crates ipsum ante Heraclidarum reditum,

ΤΑΤΙΑΝΟΥ

τητα πρὸ τῆς Ἡρακλειδῶν καθόδου φασὶν αὐτὸν ἠκμακέναι, μετὰ τὰ Τρωϊκὰ ἐνδοτέρω τῶν ὀγδοήκοντα ἐτῶν· οἱ δὲ περὶ τὸν Ἐρατοσθένην μετὰ ἑκατοστὸν ἔτος τῆς Ἰλίου ἁλώσεως· b οἱ δὲ περὶ τὸν Ἀρίσταρχον κατὰ τὴν Ἰωνικὴν ἀποικίαν, ἥ ἐστι μετὰ ἑκατὸν τεσσαράκοντα ἔτη τῶν Ἰλιακῶν· Φιλόχορος δὲ μετὰ τὴν Ἰωνικὴν ἀποικίαν ἔτεσι μ΄, ἐπὶ ἄρχοντος Ἀθήνησιν Ἀρξίππου, τῶν Ἰλιακῶν ὕστερον ἔτεσιν ἑκατὸν ὀγδοήκοντα· οἱ δὲ περὶ Ἀπολλόδωρον μετὰ τὴν Ἰωνικὴν ἀποικίαν ἔτεσιν ἑκατόν, ὃ γένοιτ' ἂν ὕστερον τῶν Ἰλιακῶν ἔτεσι διακοσίοις τεσσαράκοντα· τινὲς δὲ πρὸ τῶν Ὀλυμπιάδων ἔφασαν αὐτὸν γεγονέναι, τουτέστι μετὰ τὴν Ἰλίου ἅλω- c σιν ἔτεσι τετρακοσίοις· ἕτεροι δὲ κάτω τὸν χρόνον ὑπήγαγον, σὺν Ἀρχιλόχῳ γεγονέναι τὸν Ὅμηρον εἰπόντες· ὁ δὲ Ἀρχίλοχος ἤκμασε περὶ Ὀλυμπιάδα τρίτην καὶ εἰκοστήν, κατὰ Γύγην τὸν Λυδόν, ὕστερον τῶν Ἰλιακῶν ἔτεσι πεντακοσίοις. Καὶ περὶ μὲν τῶν χρόνων τοῦ προειρημένου ποιητοῦ, λέγω δὴ Ὁμήρου, στάσεώς τε καὶ τῶν εἰπόντων τὰ περὶ αὐτὸν ἀσυμφωνίας τοῖς ἐπ' ἀκριβὲς ἐξετάζειν δυναμένοις αὐτάρκως ἡμῖν ὡς ἐπὶ κεφαλαίῳ εἰρήσθω. Δυνατὸν γὰρ παντὶ ψευδεῖς ἀποφαίνεσθαι καὶ τὰς περὶ τοὺς λόγους δόξας. d

a 10. μετὰ] μετὰ τὸ D. b 4. ἔτεσι] ἔτη E.I. 10. πρὸ] περὶ E.I. 11. γεγονέναι] εἶναι C. c 7. λέγω δὲ] λέγω δὴ C. Tat. 9. ἀσυμπανῶς D. 11. δυνατὸν] εἰκὸς γὰρ ψευδῆ D. Supra κεφαλαίων F.G.

intra annos a Trojanis temporibus octoginta floruisse auctor est. Eratosthenes vero non nisi post annum ab excidio Trojano centesimum. Aristarchus Ionicæ tantum coloniæ temporibus, quæ annis post Trojana illa centum et quadraginta deducta est. Philochorus post eandem coloniam quadraginta, archonte Athenis Arxippo, annis post eversam Trojam centum et octoginta. Apollodorus annis ab ista colonia centum, quo modo Trojanis eum temporibus juniorem fuisse oporteret, annis quadraginta supra ducentos. Nec desunt, qui paulo ante Olympiadas natum illum esse velint, hoc est annis ab expugnata Troja quadringentis. Imo sunt etiam, qui longe recentiorem et Archilochi æqualem eum faciant: Archilochus autem circa Olympiadem tertiam ac vigesimam celebratus est, Gygæ Lydi temporibus, annis post Trojana illa quingentis. Ac de Homeri quidem ætate, deque eorum, qui res ipsius memoriæ prodiderunt, contentione atque dissidio, hæc summatim attigisse sufficiat, cum alioqui rem accurate, si liberet, investigare possemus. Nam vel ex eo quivis istorum omnium narrationes vanitatis mendaciique convincat. Qui enim semel in

Παρ' οἷς γὰρ ἀσυνάρτητός ἐστιν ἡ τῶν χρόνων ἀναγραφὴ, παρὰ τούτοις οὐδὲ τὰ τῆς ἱστορίας ἀληθεύειν δύναται. TATIANOΥ

6 Καὶ μετὰ βραχέα·

Πλὴν Ὅμηρος ἔστω μὴ μόνον ὕστερος τῶν Ἰλιακῶν, ἀλλὰ κατ' ἐκεῖνον αὐτὸν ὑπειλήφθω γεγονέναι τὸν τοῦ πολέμου καιρὸν, ἔτι δὲ, καὶ τοῖς περὶ Ἀγαμέμνονα συνεκστρατεῦσθαι, κἂν βούληταί τις, καὶ πρὶν τῶν στοιχείων τὴν εὕρεσιν γεγονέναι· φανήσεται γὰρ ὁ προειρημένος Μωσῆς αὐτῆς μὲν τῆς Ἰλιακῆς ἁλώσεως πρεσβύτερος πάνυ πολλοῖς ἔτεσι, τῆς δὲ γεγονυίας Ἰλίου κτίσεως, καὶ τοῦ Τρωὸς, καὶ Δαρδάνου λίαν
7 ἀρχαιότερος. Ἀποδείξεως δὲ ἕνεκα, μάρτυσι χρήσομαι Χαλ-
δαίοις, Φοίνιξιν, Αἰγυπτίοις. Καὶ τί μοι λέγειν πλείονα; Χρὴ γὰρ τὸν πείθειν ἐπαγγελλόμενον συντομωτέρας ποιεῖσθαι τὰς περὶ τῶν πραγμάτων πρὸς τοὺς ἀκούοντας διηγή-
8 σεις. Βηρωσσὸς ἀνὴρ Βαβυλώνιος, ἱερεὺς τοῦ παρ' αὐτοῖς p. 493
Βήλου, κατὰ Ἀλέξανδρον γενόμενος, Ἀντιόχῳ τῷ μετὰ Σέλευκον τρίτῳ τὴν Χαλδαίων ἱστορίαν ἐν τρισὶ βιβλίοις

d 7. ὑπειλήφθω] ὑπηλείφθω D. qui infra καὶ εἰ pro κἂν cum F. 8. τοῖς] ταῖς I. συνεκστρατεῦσαι] συνεκστρατεῦσθαι C.F.G. συνεστρατεῦσθαι E. συστρατεύεσθαι Tat. συνεστρατεῦσαι I. 9. βούληται] βούλεται C.F. 13. Δαρδάνου] Πανδάρου D. 14. ἕνεκεν D.F.G. Tat. pen. χρήσομαι] χρῶμαι D. με] μοι C.D.E.F.G.I. Mox δεῖ om. C.E. cum mss. concordat Tat. πλείονα χρὴ γὰρ om. D. ἐπαγγελλόμενον] ἐπαγγελλόμενος F. ult. περὶ om. D.

temporum descriptione titubarit, is nunquam historiæ veritatem retinere possit.

6 Idemque paucis interjectis. c. 36.

At esto sane, demus, inquit, Homerum non modo non eversione Trojana posteriorem, sed etiam ipsomet belli Trojani tempore vixisse, imo etiam Agamemnonem in illa expeditione sequutum, ac si quis ita velit, ipsa literarum inventione priorem fuisse: Mosem enim certo constabit, non solum permultis annis captum Ilium antecessisse, verum etiam ejusdem conditu,
7 adeoque Troe simul et Dardano longe antiquiorem extitisse. Quam in rem Chaldæorum, Phœnicum, Ægyptiorum testimonia proferam. Quid enim plura commemorem, cum eum qui fidem se facturum esse recipiat, paucis
8 omnino rem auditoribus declarare oporteat? Berosus ergo vir Babylonius, Berosus Babylonius.
idemque Beli, quod ipsorum numen erat, sacerdos, qui Alexandri temporibus vivebat, in ea quam tribus libris Antiocho post Seleucum tertio,

ΤΑΤΙΑΝΟΥ

καταταξας, καὶ τὰ περὶ τῶν βασιλέων ἐκτιθέμενος, ἀφηγεῖταί
τινος αὐτῶν ὄνομα Ναβουχοδονόσορ, τοῦ συστρατεύσαντος
ἐπὶ Φοίνικας καὶ Ἰουδαίους, ἅ τινα διὰ τῶν καθ' ἡμᾶς προφη-
τῶν ἴσμεν κεκηρυγμένα, γεγονότα μὲν πολὺ τῆς Μωσέως
ἡλικίας κατώτερα, πρὸ δὲ τῆς Περσῶν ἡγεμονίας ἔτεσιν
9 ἑβδομήκοντα. Βηρωσσὸς δέ ἐστιν ἀνὴρ ἱκανώτατος· καὶ b
τούτου τεκμήριον Ἰόβας, ὃς Περὶ Ἀσσυρίων γράφων παρὰ
Βηρωσσοῦ φησὶ μεμαθηκέναι τὴν ἱστορίαν· εἰσὶ δ' αὐτῷ
βίβλοι Περὶ Ἀσσυρίων δύο.

10 Μετὰ δὲ τοὺς Χαλδαίους τὰ Φοινίκων οὕτως ἔχει. Γε-
γόνασι παρ' αὐτοῖς ἄνδρες τρεῖς, Θεόδοτος, Ὑψικράτης,
Μῶχος. Τούτων τὰς βίβλους εἰς Ἑλληνίδα κατέταξε φω-
νὴν Λαῖτος, ὁ καὶ τοὺς βίους τῶν φιλοσόφων ἐπ' ἀκριβὲς
[290] 11 πραγματευσάμενος. Ἐν δὴ ταῖς τῶν προειρημένων ἱστο- c
ρίαις δηλοῦται κατά τινα τῶν βασιλέων Εὐρώπης ἁρπαγὴ
γεγονέναι, Μενελάου τε εἰς τὴν Φοινίκην ἄφιξις, καὶ τὰ περὶ
Εἴραμον, ὅστις Σολομῶνι τῷ Ἰουδαίων βασιλεῖ πρὸς γάμον
δοὺς τὴν ἑαυτοῦ θυγατέρα καὶ ξύλων παντοδαπῶν ὕλην εἰς
12 τὴν τοῦ νεὼ κατασκευὴν ἐδωρήσατο. Καὶ Μένανδρος δὲ ὁ

p. 493. 5. ἐκτιθέμενος] ἐκτεθέμενος D. ἐντιθέμενος E. 8. ἅ τινα] ἃ D. 10. κατώτερον] κατώτερα C.D.E.F.G.I. Tat. quod temere mutavit editor Parisiensis. b 4. φησι om. E. 9. ἄσιτος] ἄδιτος C.E.F.G.I. ΛΔΙΤΟΣ i. e. Λαῖτος, quomodo legitur in Clem. Alex. Strom. I. p. 387, 3. Χαῖτος Tatianus. c 4. ἄφιξις] αὔξησις D.

scripsit Chaldæorum historia, ubi regum ipsorum gesta commemorat, Nabuchodonosoris cujusdam meminit, qui adversus Phœnicas et Judæos expeditionem susceperit, quam a prophetis quoque nostris celebratam esse novimus, quæque cum longe post Moysem contigerit, tum vero Persarum
9 imperium annis septuaginta præcesserit. Atqui Berosus ille quidem omni fide dignissimus est, uti vel ex Jobæ testimonio intelligere possumus, qui De Assyriis scribens, illorum sese historiam ex Beroso didicisse profitetur. Duos autem ille De Assyriis conscripsit libros.

c. 37. Theodotus, Hypsicrates, et Mochus, Phœnicii historici, ab Asito Græce conversi.

10 Phœnices vero quod attinet; tres apud eos viri floruere, Theodotus, Hypsicrates, et Mochus, quorum libros Græce vertit Asitus, is qui philo-
11 sophorum vitam summa diligentia studioque conscripsit. Qui quidem omnes suis in historiis, sub uno aliquo rege, simul et Europæ raptum, et Menelai profectionem in Phœniciam, et Irami fœdus ac societatem contigisse tradunt, cum is Salomoni Judæorum regi filia jam matrimonio conjuncta, vim insuper omnis lignorum generis maximam ad templum ædifi-
12 candum sponte donavit: quarum etiam rerum Menander ille Pergamenus

Περγαμηνὸς περὶ τῶν αὐτῶν τὴν ἀναγραφὴν ἐποιήσατο. Τοῦ δὲ Εἰράμου ὁ χρόνος ἤδη που τοῖς Ἰλιακοῖς ἐγγίζει· Σολομῶν δὲ ὁ κατ' Εἴραμον πολὺ κατώτερός ἐστι τῆς Μωσέως ἡλικίας. TATIANOY

13 Αἰγυπτίων δ' εἰσὶν ἀκριβεῖς χρόνων ἀναγραφαί. Καὶ d
τῶν κατ' αὐτοὺς γραμμάτων ἑρμηνεὺς Πτολεμαῖος, οὐχ ὁ βασιλεὺς, ἱερεὺς δὲ Μένδητος, οὗτος τὰς τῶν βασιλέων πράξεις ἐκτιθέμενος, κατὰ Ἄμωσιν Αἰγύπτου βασιλέα γεγονέναι Ἰουδαίοις φησὶ τὴν ἐξ Αἰγύπτου πορείαν εἰς ἅπερ ἤθελον
14 χωρία, Μωσέως ἡγουμένου. Λέγει δὲ οὕτως· ὁ δὲ Ἄμωσις ἐγένετο κατὰ τὸν Ἴναχον τὸν βασιλέα. Μετὰ δὲ τοῦτον Ἀπίων ὁ γραμματικὸς, ἀνὴρ δοκιμώτατος, ἐν τῇ τετάρτῃ τῶν Αἰγυπτιακῶν, (πέντε δέ εἰσιν αὐτῷ γραφαὶ,) πολλὰ μὲν καὶ ἄλλα, φησὶ δ' ὅτι κατέσκαψε τὴν Αὔαριν Ἄμωσις, κατὰ τὸν Ἀργεῖον γενόμενος Ἴναχον, ὡς ἐν τοῖς Χρόνοις ἀνέγραψεν
15 ὁ Μενδήσιος Πτολεμαῖος. Ὁ δὲ ἀπὸ Ἰνάχου χρόνος ἄχρι p. 494
τῆς Ἰλίου ἁλώσεως ἀποπληροῖ γενεὰς εἴκοσι. Καὶ τὰ τῆς ἀποδείξεως τοῦτον ἔχει τὸν τρόπον.

d 4. Μένδητος] ἐκ Μένδητος D. 5. κατὰ] καὶ F. 6. Ἰουδαίοις] Ἰουδαίους D.E. 7. ἤθελον] ἦλθον Tatian. 9. τὸν Ἴναχον] τὸν om. D.G. ult. κατέσκαψε] κατέστρεψε C.D.F.G. Αὔαριν] μαρίαν Tatiani edd. vet. Αὐαρίαν ms. Paris. λυαρίαν ms. Mut. ἀθυρίαν Clem. Alex. Strom. I. p. 378, 21. v. Josephum infra p. 501 b.
p. 494. 2. Ἰλίου] Ἰδίου E.

suis memoriam scriptis consignavit. Jam Irami tempora non longe a Trojanis absunt, cum tamen Salomon ejusdem æqualis, multo fuerit Mose posterior.

13 Ægyptiorum denique commentarii, accurate in primis ac diligenter elaborati sunt. Quorum e numero, literarum suarum interpres Ptolemæus fuit, non rex ille quidem, sed sacerdos Mendetis. Is in regum Ægyptiorum historia, sub Amose rege, duceque Mose, Judæos quocunque libitum
14 fuisset, ex Ægypto profectos esse testatur. Amosin autem illum Inachi temporibus regnasse constat. Ptolemæum sequitur Apio grammaticus, clarissimi vir nominis, qui libro Ægyptiacarum historiarum quarto, quinque enim eo argumento scripsit, cum alia pleraque, tum hoc in primis docet; ab Amosi eversam Avarim fuisse, eundemque Argivi Inachi vixisse temporibus, uti Ptolemæus Mendesius suis in Annalibus testatum reliquit.
15 Quod si ab Inacho ad captum Ilium temporum seriem ducere volueris, ætates viginti numerabis. Atque hujus demonstrandæ veritatis prompta hæc et explicata ratio est.

Ptolemæus Ægyptius historicus.

Apio grammaticus.

TATIANOY 16 Γεγόνασιν Ἀργείων βασιλεῖς οἵδε· Ἴναχος, Φορωνεὺς,
Ἆπις, Ἀργεῖος, Κρίασος, Φόρβας, Τριόπας, Κροτωπὸς,
Σθενέλαος, Δαναὸς, Λυγκεὺς, Ἄβας, Προῖτος, Ἀκρίσιος,
Περσεὺς, Εὐρυσθεὺς, Ἀτρεὺς, Θυέστης, Ἀγαμέμνων, οὗ κατὰ
17 τὸ ὀκτωκαιδέκατον ἔτος τῆς βασιλείας Ἴλιον ἑάλω. Καὶ
χρὴ τὸν νουνεχῆ συνιέναι μετὰ πάσης ἀκριβείας, ὅτι κατὰ b
τὴν Ἑλλήνων παράδοσιν οὐδ' ἱστορίας τις ἦν παρ' αὐτοῖς
ἀναγραφή. Κάδμος γὰρ ὁ τὰ στοιχεῖα τοῖς προειρημένοις
18 παραδοὺς μετὰ πολλὰς γενεὰς τῆς Βοιωτίας ἐπέβη. Μετὰ
δὲ Ἴναχον ὑπὸ Φορωνέως μόλις τοῦ θηριώδους βίου καὶ νομά-
δος περιγραφὴ γέγονε, μετεκοσμήθησάν τε οἱ ἄνθρωποι.
Διόπερ εἰ κατὰ Ἴναχον πέφηνεν ὁ Μωσῆς γεγονὼς, πρεσβύ-
19 τερός ἐστι τῶν Ἰλιακῶν ἔτεσι τετρακοσίοις. Ἀποδείκνυται
δὲ τοῦθ' οὕτως ἔχον ἀπό τε τῆς τῶν Ἀττικῶν βασιλέων
διαδοχῆς, Μακεδονικῶν τε, καὶ Πτολεμαϊκῶν, ἔτι δὲ καὶ c
Ἀντιοχικῶν. Ὅθεν εἰ μετὰ τὸν Ἴναχον αἱ διαφανέστατοι
πράξεις παρ' Ἕλλησιν ἐγράφησάν τε καὶ γινώσκονται, δῆ-
20 λον ὡς καὶ μετὰ Μωσέα. Κατὰ μὲν γὰρ Φορωνέα τὸν μετ'

a 4. Ἀργείων om. I. 5. Ἆπις] Vid. Clintoni F. H. t. I. p. 8. 6. κροτωπὸς] κροτοπὸς C. Qui σθενέλαος inserit post Περσεὺς cum F.G. et sic Tatiani ed. 7. Δαναὸς—Περσεὺς om. I. 11. Ἴλιος F. συνιέναι] συνεῖναι C.F.I. et sic Tatiani mss. b. τὴν τῶν] τῶν om. C. F.G. Tat. 8. εἰ κατὰ] οὐ μετὰ C.F.G. c 2. κατὰ] μετὰ I. Tat. 5. γὰρ om. F.

c. 39. 16 Argis olim regnarunt, qui sequuntur, Inachus, Phoroneus, Apis, Argius,
Criasus, Phorbas, Triopas, Crotopus, Sthenelaus, Danaus, Lynceus, Abas,
Prœtus, Acrisius, Perseus, Eurystheus, Atreus, Thyestes, Agamemnon,
17 cujus anno decimo octavo Troja capta est. Atque hic prudenti et inge-
nioso lectori diligenter in primis observandum erit, vel ex ipsa Græcorum
hominum traditione constare, nullam tum apud illos perscriptam adhuc
historiam fuisse. Nam qui literarum formam ipsis et rationem tradidit
18 Cadmus, non nisi multis post ætatibus pervenit in Bœotiam. Post Inachum
vero, Phoronei ductu atque auspiciis, homines ab ferino vagoque vitæ
genere ad humaniorem ac liberaliorem cultum vix tandem aliquando tra-
ducti sunt. Quare si Mosem Inacho æqualem fuisse habebimus, idem
19 Trojana tempora quadringentis annis antecesserit, necesse est. Id vero
manifeste ex regum non Atticorum modo, sed etiam Macedonicorum,
Ptolemaicorum, et Antiochenorum successione conficitur. Unde illud
etiam colligas, si clarissima quæque Græcorum sub Inachi tempus et
scriptis mandari, et in hominum cognitione versari cœpere, id ipsum
20 pariter sub Mosis ætatem contigisse. Nam Phoroneo, qui post Inachum

Ἴναχον μνημονεύεται παρ' Ἀθηναίοις Ὤγυγος, ἐφ' οὗ κατα- TATIANOY
κλυσμὸς ὁ πρῶτος· κατὰ δὲ Φόρβαντα Ἀκταῖος, ἀφ' οὗ
Ἀκταία ἡ Ἀττική· κατὰ δὲ Τριόπαν, Προμηθεὺς, καὶ
Ἐπιμηθεὺς, καὶ Ἄτλας, καὶ ὁ διφυὴς Κέκροψ, καὶ ἡ Ἰώ·
21 κατὰ δὲ Κροτωπὸν, ἡ ἐπὶ Φαέθοντος ἐκπύρωσις, καὶ ἡ ἐπὶ d
Δευκαλίωνος ἐπομβρία· κατὰ δὲ Σθενέλαον, ἥ τε Ἀμφι-
κτύονος βασιλεία, καὶ ἡ εἰς Πελοπόννησον Δαναοῦ παρουσία,
καὶ ἡ ὑπὸ Δαρδάνου τῆς Δαρδανίας κτίσις, ἥ τε ἐκ Φοινίκης
22 τῆς Εὐρώπης εἰς τὴν Κρήτην ἀνακομιδή· κατὰ δὲ Λυγκέα,
τῆς Κόρης ἡ ἁρπαγὴ, καὶ ἡ τοῦ ἐν Ἐλευσῖνι τεμένους καθί-
δρυσις, καὶ ἡ Τριπτολέμου γεωργία, καὶ ἡ Κάδμου εἰς Θήβας
23 παρουσία, Μίνωός τε βασιλεία· κατὰ δὲ Προῖτον, ὁ Εὐ-
μόλπου πρὸς Ἀθηναίους πόλεμος· κατὰ δὲ Ἀκρίσιον, Πέ-
λοπος ἀπὸ Φρυγίας διάβασις, καὶ Ἴωνος εἰς τὰς Ἀθήνας
ἄφιξις, καὶ ὁ δεύτερος Κέκροψ, αἵ τε Περσέως πράξεις·
κατὰ δὲ τὴν Ἀγαμέμνονος βασιλείαν Ἴλιον ἑάλω.
24 Οὐκοῦν πέφηνεν ὁ Μωσῆς ἀπό γε τῶν προειρημένων πρεσ- p. 495
βύτατος ἡρώων, πόλεων, δαιμόνων. Καὶ χρὴ τῷ πρεσβεύοντι

c 8. ἀκταῖος] ὁ ἀκτ. C.F.G. 10. καὶ ἄτλας om. C. 11. ἐκπύ-ρωσις] ἐκπύρωσιν C. ἐκπυρώσης F. Mox om. ἐπὶ C.F.G. d 2. τοῦ ἀμφικτ.] τοῦ om. C.D.F.G. τάμφ. I. 4. Δαρδάνου] Πανδάρου D. δαρδανείας] δαρδανίας C. 5. εἰς τὴν Κρήτην] ἐπὶ Κρήτης C.F.G. ult. Ἴλιον] Ἴλιος C.F.G.

p. 495. 3. πρεσβυτεύοντι I.

regnavit, supparem Athenienses Ogygem faciunt, sub quo primum diluvium accidit: tum Phorbanti Actæum, a quo Attica Actææ nomen habuerit: Triopæ deinde Prometheum, Epimetheum, Atlantem, geminum Ce-
21 cropem, et Io. Ad Crotopi ævum, et Phaëthontis incendium, et Deucalionis diluvium referunt: cum Sthenelao, Amphictyonis regnum, Danai in Peloponnesum adventum, conditam a Dardano Dardaniam, et Europæ ex Phœnicia deportationem in Cretam temporis societate conjungunt.
22 Sub Lynceo, Proserpinæ raptum, Eleusinii delubri ædificationem, agriculturam Triptolemi, Cadmi Thebanam in civitatem adventum, et Minois
23 regnum collocant. Ad Prœtum Eumolpi bellum adversus Athenienses; ad Acrisium Pelopis trajectionem ex Phrygia, Ionis Athenas adventum, Cecropem alterum juniorem, Perseique res gestas revocant. Postremo regnante Agamemnone captum est Ilium.
24 Ergo ex superioribus, Mosem, heroibus, civitatibus, ac dæmonibus ipsis c. 40.
antiquiorem fuisse, manifesto intelligitur. Verius autem profecto est,

[291] TATIANOT κατὰ τὴν ἡλικίαν πιστεύειν μᾶλλον, ἤπερ τοῖς ἀπὸ πηγῆς ἀρυσαμένοις Ἕλλησιν οὐ κατ' ἐπίγνωσιν τἀκείνου δόγματα.

25 Πολλοὶ γὰρ οἱ κατ' αὐτοὺς σοφισταὶ κεχρημένοι περιεργίᾳ, οἱ ὅσα παρὰ τῶν κατὰ Μωσέα καὶ τῶν ὁμοίως αὐτῷ φιλοσοφούντων ἔγνωσαν παραχαράττειν ἐπειράθησαν, πρῶτον μὲν ἵνα τι λέγειν ἴδιον νομισθῶσι, δεύτερον δ' ὅπως τὰ ὅσα μὴ συνίεσαν, διά τινος ἐπιπλάστου ῥητολογίας παρακαλύπτον- b τες, ὡς μυθολογίαν τὴν ἀλήθειαν παραβραβεύσωσι.

26 Περὶ μὲν οὖν τῆς καθ' ἡμᾶς πολιτείας, ἱστορίας τε τῆς κατὰ τοὺς ἡμετέρους νόμους, ὅσα τε εἰρήκασιν οἱ παρὰ τοῖς Ἕλλησι λόγιοι, καὶ πόσοι καὶ τίνες εἰσὶν οἱ μνημονεύσαντες, ἐν τῷ πρὸς τοὺς ἀποφηναμένους τὰ περὶ Θεοῦ δειχθήσεται·

27 τὸ δὲ νῦν ἔχον, σπευστέον μετὰ πάσης ἀκριβείας σαφηνίζειν, ὡς οὐχ Ὁμήρου μόνον πρεσβύτερός ἐστιν ὁ Μωσῆς, ἔτι δὲ καὶ τῶν πρὸ αὐτοῦ συγγραφέων, Λίνου, Φιλάμμωνος, Θαμύ- c ριδος, Ἀμφίονος, Ὀρφέως, Μουσαίου, Δημοδόκου, Φημίου, Σιβύλλης, Ἐπιμενίδου τοῦ Κρητὸς, ὅστις εἰς τὴν Σπάρτην ἀφίκετο, Ἀρισταίου τοῦ Προκοννησίου, καὶ τοῦ τὰ Ἀρι-

a 4. μᾶλλον om. D.F.G.I. 6. πολλοὶ] πολλοὶ D. qui infra κεχρημένη. 8. αὐτῷ] αὐτῶν D. 10. ἐπειράθησαν] ἐπεχείρησαν C.F.G.
b 4. καὶ τῶν ἡμετέρων νόμων D. 5. παρὰ] περὶ D. 8. σπευστέον] πευστέον C I. nescio an σαφηνιστέον D. πευστέων F.G. c 5. προικονν.] προικονη. C.D.F.G. δριμώσπια] δριμάσπια C.F.G.I. δρυμώσπια D. Ἀριμάσπια Scaliger et al.

homini ætate plurimum antegresso fidem habere, quam Græcis, qui ejus dogmata ut ex ipsomet fonte hauserint, minus tamen veræ scientiæ ductum sequuti sunt.

25 Sophistas enim permultos habuere, qui curiositati suæ obsequuti, quæcunque vel a Mose, vel ab similis philosophiæ professoribus acceperant, adulterare omnia conati sunt: primum ut singulare aliquid ac proprium dicere viderentur, deinde ut quæ minus assequerentur, ea commentitiæ dictionis specie involvendo, fabularum instar veritatem ipsam traducerent.

26 Verum de reipublicæ nostræ forma, deque legum nostrarum historia, quod Græcorum eruditissimi quique scripserint, quot quive illius meminerint, adversus eos qui de rebus divinis disputarunt in medium afferemus.

c. 41. 27 Nunc vero agendum id nobis est, ut quam diligentissime fieri poterit ostendamus, non Homero solum antiquiorem fuisse Mosem, verum etiam vetustioribus Homero scriptoribus, Lino, Philammone, Thamyride, Amphione, Orpheo, Musæo, Demodoco, Femio, Sibylla, Epimenide Cretensi, qui Spartam migravit, Aristæo Prœconnesio, Arimaspiorum auctore,

μάσπια συγγράψαντος, Ἀσβόλου τε τοῦ Κενταύρου, καὶ TATIANOY
Ἰσάτιδος, Δρύμωνός τε, καὶ Εὔκλου τοῦ Κυπρίου, καὶ Ὥρου
28 τοῦ Σαμίου, καὶ Προναπίδου τοῦ Ἀθηναίου. Λίνος μὲν γὰρ
Ἡρακλέους ἐστὶ διδάσκαλος· ὁ δὲ Ἡρακλῆς μιᾷ τῶν Τρωϊκῶν προγενέστερος πέφηνε γενεᾷ. Τοῦτο δέ ἐστι φανερὸν d
ἀπὸ τοῦ παιδὸς αὐτοῦ Τληπολέμου, τοῦ στρατεύσαντος ἐπὶ
29 Ἴλιον. Ὀρφεὺς δὲ κατὰ τὸν αὐτὸν χρόνον Ἡρακλεῖ γέγονεν· ἄλλως τε καὶ τὰ εἰς αὐτὸν ἐπεισφερόμενα φασὶν ὑπὸ Ὀνομακρίτου τοῦ Ἀθηναίου συντετάχθαι, γενομένου κατὰ τὴν Πεισιστρατιδῶν ἀρχὴν, περὶ τὴν πεντηκοστὴν Ὀλυμ-
30 πιάδα. Τοῦ δ' Ὀρφέως Μουσαῖος μαθητής. Ἀμφίων δὲ δυσὶ προάγων γενεαῖς τῶν Τρωϊκῶν τοῦ πλείονα πρὸς τοὺς φιλομαθεῖς συντάττειν ἡμᾶς ἀπείργει. Δημόδοκός τε καὶ Φήμιος κατ' αὐτὸν τὸν Τρωϊκὸν πόλεμον γεγόνασι· διέτριβον γὰρ, ὁ μὲν, παρὰ τοῖς μνηστῆρσι· ὁ δὲ, παρὰ τοῖς Φαίαξι. Καὶ ὁ Θάμυρις καὶ ὁ Φιλάμμων, οὐ πολὺ τούτων
31 εἰσὶν ἀρχαιότεροι. Περὶ μὲν οὖν τῆς καθ' ἕκαστον λόγον πρα- p. 496
γματείας, χρόνων τε καὶ ἀναγραφῆς αὐτῶν, ὡς οἶμαι, σφόδρα

c 6. συγγράψαντος] γράψαντος D. 8. εὔκλου] εὔπλου C.G. 9. προταινίδου] προαιτίδου C. προναιτίδου E.F.G.I. Vigeri marg. προναυτίδου mss. vett. Tatiani. Προναπίδης Diod. Sic. III. 67. necnon grammat. in Bekkeri Anecd. p. 783, 24. 786, 17. 11. πέφηνε] γέγονε C.D. F.G. d. φανεροῦται D. 7. τὴν τῶν] τῶν om. C.F.G. 8. Μουσαῖος om. D. 10. πλείονα] πλείονος E. 11. Δημόδοκος] Δημόκριτος D. qui mox δὲ cum F.G. ult. φιλάμμων] φιλήμων C.F.G. φιλάμνων D. p. 496. 2. χρόνων τε] χρόνων τε καὶ D.F.G.I. Tat.

Asbolo Centauro, Isatide, Drymone, Euclo Cyprio, Oro Samio, et Protæ-
28 nide Atheniensi. Linus enim Herculis magister fuit, Hercules vero Trojana tempora ætate duntaxat una antecessit; ut vel ex eo intelligi potest, quod Tlepolemus Herculis filius Græcorum adversus Trojanos expeditionis
29 socius fuerit. Ejusdem Herculis Orpheus æqualis fuit: tametsi quæ vulgo ipsi tribuuntur, ab Onomacrito Atheniensi, qui sub Pisistratidarum dominatu, circa Olympiadem quadragesimam vixit, conscripta ferant.
30 Orphei porro discipulus Musæus fuit. At Amphion, qui duabus Trojana tempora ætatibus antegressus est, plures a nobis ad priores illos doctrinæ studiosos adjungi non patitur. Jam Demodocus et Femius sub ipsum Trojani belli tempus extitere, cum alter apud procos, apud Phæacas alter versaretur. Quo utroque Thamyris ac Philammon haud multo antiquiores
31 fuere. Ac de singulorum quidem in quolibet genere studiis, deque ipsa temporum ratione, vobis, ni fallor, quam accuratissime fieri potuit dispu-

TATIANOY

μετὰ πάσης ὑμῖν ἀκριβείας ἀνεγράψαμεν. Ἵνα δὲ καὶ τὸ
μέχρι νῦν ἐνδέον ἀποπληρώσωμεν, ἔτι καὶ περὶ τῶν νομιζομέ-
32 νων Σοφῶν ποιήσομαι τὴν ἀπόδειξιν. Μίνως μὲν γὰρ, ὁ
πάσης προύχειν νομισθεὶς σοφίας ἀγχινοίας τε καὶ νομοθε-
σίας, ἐπὶ Λυγκέως τοῦ μετὰ Δαναὸν βασιλεύσαντος γέγονεν,
ἑνδεκάτῃ γενεᾷ μετὰ Ἴναχον. Λυκοῦργος δὲ πολὺ μετὰ τὴν
Ἰλίου γεννηθεὶς ἅλωσιν, πρὸ τῶν Ὀλυμπιάδων ἔτεσιν ἑκατὸν b
33 νομοθετεῖ Λακεδαιμονίοις. Δράκων δὲ περὶ Ὀλυμπιάδα
τριακοστὴν καὶ ἐννάτην εὑρίσκεται γεγονώς· Σόλων δὲ περὶ
μ ʹ· Πυθαγόρας κατὰ τὴν ἑξηκοστὴν δευτέραν. Τὰς δὲ
Ὀλυμπιάδας ὕστερον τῶν Ἰλιακῶν ἔτεσιν ἀπεδείξαμεν γεγο-
34 νυίας τετρακοσίοις ἑπτά. Καὶ δὴ τούτων οὕτως ἀποδε-
δειγμένων, διὰ βραχέων ἔτι καὶ περὶ τῆς τῶν ἑπτὰ Σοφῶν
ἡλικίας ἀναγράψομεν. Τοῦ γὰρ πρεσβυτάτου τῶν προειρη-
μένων Θάλητος γενομένου περὶ τὴν πεντηκοστὴν Ὀλυμ- c
πιάδα, καὶ τὰ περὶ τῶν μετ᾽ αὐτὸν σχεδὸν ἡμῖν συντόμως
εἴρηται.
35 Ταῦθ᾽ ὑμῖν, ἄνδρες Ἕλληνες, ὁ κατὰ βαρβάρους φιλοσο-

a 6. ποιήσωμεν] ποιήσομαι C.F.G. Tat. ποιήσωμαι D. Mox ἅλωσιν—Λακεδαιμονίοις om. C. 8. Λυγκέως] γλυκέως F. 9. Δαναὸν] τὸν Δαναὸν D. b 2. μετὰ D. 3. ἐννάτην] ἕκτην E.I. In I. om. εὑρίσκεται—μϛʹ. 4. Σόλων περὶ μ̄ κ̄ ϛ̈ F. Σόλων περὶ μ̄ καὶ ϛʹ G. 6. γεγονέναι D. 9. ἀναγράψωμεν D. 10. πρεσβυτέρου .... τότων D. c 2. τὰ περὶ ταυτὸν D. κατ᾽ αὐτὸν] μετ᾽ αὐτὸν C.F.G.I. Tat.

tavimus. Sed tamen ne quid a nobis in præsentia desideretur, pauca de
eorum insuper, qui sapientes apud vos habiti sunt, ætate subjungam.
32 Minos igitur, quem omnis cum sapientiæ, tum solertiæ, adeoque legum
sanctionis principem fuisse putant, Lynceo, qui Danao successit, regnante
florebat, ætate post Inachum undecima. Lycurgus vero, longe post captum
Ilium, annis ante Olympiades haud amplius centum, Lacedæmonios legibus
33 instituit. Draconem circa Olympiadem nonam supra trigesimam fuisse
reperies, Solonem vero circa sextam et quadragesimam, Pythagoram deni-
que circa sexagesimam secundam. Olympiades autem annis septem supra
34 quadringentos post Trojana tempora institutas fuisse ostendimus. His
certo constitutis, septem quoque sapientum ætatem facile breviterque defi-
niemus. Nam cum vetustissimum eorum Thaletem, circa Olympiadem
quinquagesimam vixisse constet, simul etiam uno quasi compendio cæte-
rorum, quos ille suppares habuit, ætatem colligimus.
35 Hæc vobis ego, viri Græci, Tatianus ille, qui barbarorum philosophiæ

ΤΑΤΙΑΝΟΥ

φῶν Τατιανὸς συνέταξα, γεννηθεὶς μὲν ἐν τῇ τῶν Ἀσσυρίων γῇ, παιδευθεὶς δὲ πρῶτον μὲν τὰ ὑμέτερα, δεύτερον δὲ ἅτινα νῦν κηρύττειν ἐπαγγέλλομαι. Γινώσκων δὲ λοιπὸν τίς ὁ Θεὸς, καὶ τίς ἡ κατ' αὐτὸν ποίησις, ἕτοιμον ἐμαυτὸν ὑμῖν πρὸς τὴν ἀνάκρισιν τῶν δογμάτων παρίστημι, μενούσης μοι τῆς κατὰ Θεὸν πολιτείας ἀνεξαρνήτου.

[292] Τοσαῦτα καὶ ὁ Τατιανός. Μετίωμεν δὲ καὶ ἐπὶ Κλήμεντα.

ΚΛΗΜΕΝΤΟΣ

12 Εἴρηται μὲν οὖν περὶ τούτων ἀκριβῶς Τατιανῷ ἐν τῷ d Πρὸς τοὺς Ἕλληνας, εἴρηται δὲ καὶ Κασσιανῷ ἐν τῷ πρώτῳ τῶν Ἐξηγητικῶν. Ἀπαιτεῖ δ' ὅμως τὸ ὑπόμνημα καὶ ἡμᾶς
